ἄλλο ἢ πεπυκνωμένη τίς καὶ ἔνθεος ἀνερεύνησις, καὶ ὄντως ἔχουσα τὸ ἀξιάγαστον, καὶ πανταχόθεν ἀπαστράπτουσα τοῖς νοήμασι, πεποικιλμένη τε τῷ θείῳ κάλλει, καὶ τῇ ὡραιότητι τῶν γραφικῶν νοημάτων, φωτίζουσα καὶ τοὺς πόρρωθεν; ἐγὼ μὲν ἐπὶ πολὺ ὤκνουν καὶ νῦν ἐγχειρῆσαι σου τὰ ἐπιτάγματα· τῇ δὲ ἀνενδότῳ ὀχλήσει ὑμῶν εἴξας, ἐπαποκριθῆναι τούτοις ἐν κυρίῳ πρόκειμαι.

β. Ἡ μὲν οὖν ἐκκλησία ἡμῶν, ὑπ' αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καταφυτευθεῖσα, καὶ τῷ θείῳ ἅλατι τὴν δυσωδη τῆς δαιμονικῆς πλάνης ἀποθεμένη δυσσέβειαν, πεπυκασμένη τε ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐν ταῖς αὐλαῖς αὐτοῦ ἐξανθοῦσα ὁσημέραι, εἰς κάλλος ἀμήχανον ἐπεδίδου τε καὶ προέκοπτεν· ἄρτι δὲ ὁ πονηρὸς καὶ δόλιος δράκων ἐξ αὐτῆς ἐλασθεὶς, καὶ μὴ φέρων τὴν ἀποπλάνησιν, ἐπιφερόμενος τοὺς ἑαυτοῦ κύνας, πάλιν ἐπειρᾶτο προσρίβεσθαι αὐτῇ, καὶ τοῖς καλοῖς δόγμασιν αὐτῆς ἐπιφύεσθαι· τῆς τε γὰρ τῶν ἰουδαίων σκαιότητος, τοῖς προφητικοῖς ἐλέγχοις κατατρωθείσης,

quod gravis et divinitus inspirata planeque admirabilis scrutatio sit, sensuum radiis quaquaversus relucens, divina pulchritudine ornata, et decoris sumptis de scriptura sacra sententiis longinquos etiam illuminans? Equidem diu, et nunc etiam, iussa tua facere obtorpui; sed iam demum instantiae vestrae morem gerens, interrogationibus istis in Domino occurram.

2. Igitur ecclesia nostra ab ipso domino nostro Iesu Christo plantata, et divini vi salis a diabolici erroris foetore purgata, atque in eius domicilio exornata, et in eiusdem atriis quotidie florens, in summum pulchritudinis decus provecta succrescebat. Sed enim improbus fraudulentusque draco, ex ea nuper expulsus, minime exilium ferens, canibus suis secum adsumptis, rursus illi negotium facessere, eiusque egregiis dogmatibus semet interponere conatus est. Iam enim iudaica duritie

ἔτι δὲ καὶ τῆς ἑλληνικῆς ἀπάτης ἐξελεγχθείσης, αὐτὴν ἡμῶν τὴν καλὴν ἄμιλλαν λυμήνασθαι ἑαυτῷ ἐπενόησε, καὶ τὰ τέκνα ταῦτα τὰ γνήσια τὸ γνήσιον ἀποθέμενα, καὶ τὸ νόθον εἰσδεξάμενα, κατὰ τῆς εἰκείας μητρὸς ἐξώπλιζεν.

γ. Εὐθέως οὖν Σίμωνα τὸν μάγον κατ' αὐτῆς ἐξανέζησεν, ὅς τις τῇ τοῦ μεγάλου ἀποστόλου Πέτρου γλώσσῃ, μᾶλλον δὲ τοῦ ἐν αὐτῷ λαλοῦντος θεοῦ κατατιτρώσκεται, καὶ εἰς τέλειον ἀπωλείας βυθὸν ἀποπέμπεται· δοκῶν γὰρ εἶναι ὁ δείλαιος δύναμις θεοῦ ἡ μεγάλη, καὶ θεὸς μέγας, οὐδὲ κνωδάλων καὶ ἑρπετῶν τὴν ἰσχὺν ἔχειν ἀπελέγχεται, τελείως αὐτοῦ ἐξαφανισθέντος, ὥσπερ οὐδὲ ἦρχθαι αὐτὸν δοκεῖν τοὺς πολλοὺς τῆς ἡμετέρας πίστεως. Κήρινθός τε μετὰ ταῦτα, ἔτι δὲ καὶ οἱ λεγόμενοι Νικολαΐται, Βασιλείδης, καὶ Καρποκράτης, καὶ οἱ τούτων ὁμόφρονες ἀνεφύοντο, τὴν ἑλληνικὴν εἰκαιομυθίαν μᾶλλον εἰσδεξάμενοι, καὶ ῥυπαρίας βίωσιν μᾶλλον ὡς νομίμων τῷ βίῳ νομοθετήσαντες, καὶ καινοὺς

propheticis argumentis contrita, ethnico insuper errore convicto, hanc ipsam nobis praeclaram victoriam a se corrumpendam decrevit; ita ut ipsi germani filii, germano sensu deposito, contra matrem suam eo stimulante armarentur.

3. Statim itaque Simonem magum contra ecclesiam concitavit, qui magni apostoli Petri lingua, immo a loquente Deo per apostolum, vulneratur, et in profundam perditionis abyssum proiicitur. Nam quum miser, Dei sibi magna virtus, Deusque magnus esse videretur, ne beluarum quidem aut brutorum humi repentium vim habere convictus est, atque ita funditus deletus, ut multi nostrae fidei adseclae ne coepisse quidem eum existimarent. Deinde Cerinthus extitit, nec non Nicolaitae, et Basilides, atque Carpocrates, atque horum consectanei, qui stultas admiserunt ethnicorum fabulas, vel turpitudinem potius morum, tamquam legitimam vivendi nor-

τινας αἰῶνας, καὶ βυθὸν σκότους εἰσηγησάμενοι· οἵ τινες αὐτίκα δὴ ὑπό τε αὐτῶν τῶν μακαρίων ἀποστόλων, καὶ μάλιστα Ἰωάννου τοῦ τῆς βροντῆς υἱοῦ, καὶ τῶν τούτοις μαθητευθέντων τὴν καταστροφὴν ὑπομεμενήκεισαν.

δ. Ἔτι δὲ Μανιχαῖοι καὶ Μοντανοὶ, καὶ οἱ τούτοις πρσόμοιοι, ἀνέστησαν κατ' αὐτῆς, οὐ τοὺς τυχόντας αὐτῇ παρέχοντες ἀγῶνας· τοῦ μὲν Μανιχαίου πολλὴν ματαιοσύνην καὶ πλάνην καὶ ῥυπαρίαν τοῖς ἑαυτοῦ δόγμασιν ἀναμίξαντος, καὶ τέλος τὴν μὲν ἑαυτοῦ παλαιὰν νομοθεσίαν, καὶ αὐτὴν τὴν κτίσιν κακοῦ τινὸς καὶ οὐκ ἀγαθοῦ εἶναι λέγοντος ἐπίταγμα· ἀγαθοῦ δὲ μᾶλλον τὴν νέαν ἢ τὴν μέλλουσαν, καὶ βίαν τινὰ ὑπομένειν ἐκείνην ἐκ τούτου· ὡς καὶ δύο φύσεις νομοθετεῖν ἐν τῷ κόσμῳ, τουτέστιν ἀγαθήν τε καὶ πονηράν· καὶ μὴ ἐξ ἀγαθοῦ εἶναι τὴν τοῦ ἀνθρώπου κατασκευὴν ἔργον, μήτε τὴν ἄλλην ὡς εἴρηται κτίσιν ὑπὸ φθορὰν καὶ ἀλλοίωσιν οὖσαν· καὶ πλήρεις ἀσεβείας τοὺς ἑαυτοῦ λόγους

mam, proposuerunt; novos praeterea quosdam aeonas, et tenebrarum nescio quam abyssum excogitarunt: qui tamen illico a beatis apostolis, praecipueque a tonitrui filio Iohanne, horumque discipulis profligati fuerunt.

4. Manichaei item atque Montanistae, aliique horum similes, adversus ecclesiam insurrexerunt, eique non leves conflictus intulerunt. Manes quidem insaniam multam ac fraudem et turpitudinem dogmatibus suis admiscuit; eoque devenit ut antiquae legis latorem, ipsamque rerum creationem mali cuiusdam, non boni genii, iussu factam esse contenderet; novum vero potius testamentum, vel futurum, bono genio esse tribuendum: atque ex his geniis seu principiis unum ab altero vim pati. Sic igitur duas constituit in mundo naturas, bonam scilicet atque malam. Porro neque hominis fabricam, neque aliam quamlibet ut dictum est creaturam, utpote corruptioni

ἐμπλήσαντος, καταδύσεις τινὰς ἐναγεῖς, καὶ νεκτερινὰς τελετὰς, καὶ ἀποβλήτους μίξεις ἐπιτηδεύσαντος, τὰ τῶν ἑλλήνων μάταια δόγματα κυρώσαντος, καὶ εἱμαρμένην εἰσάγοντος, καὶ μετενσωματώσεις νομοθετήσαντος, καὶ τὸν Χριστὸν ἐν σαρκὶ γεγονέναι μὴ βουληθέντος· κἀντεῦθεν τέλος ἐπάξιον τῆς τοιαύτης αὐτοῦ νομοθεσίας ἀπενεγκαμένου, ὑπό τινος τῶν ἐθνικῶν βασιλέων, ζῶντος ἔτι τὴν δορὰν ἀποσπασθῆναι, ὡς φασὶν, οὕτως τὲ τῷ θανάτῳ παραδοθῆναι· μάλιστα δὲ Κύριλλος ὁ Ἱεροσολύμων τὴν τούτου κατεγράψατο καὶ ἐστηλίτευσεν ἀσεβῆ διάνοιαν, αὐτὰ τὰ γράμματα τῆς μιαρᾶς αὐτοῦ καὶ ἀσέμνου διατάξεως, κατὰ λεπτὸν προτάξας, καὶ εἶθ' οὕτως τὸν ἔλεγχον ἐπαγαγὼν τοῖς ἀθέοις αὐτοῦ καὶ παρανόμοις διδάγμασιν (1)· ὁ γὰρ ἀσεβὴς οὗτος ἐτόλμησε καὶ ἑαυτὸν ἀπόστολον ὀνομάσαι, καὶ τέσσαρα συντάξαι βιβλία, ἃ καὶ ἐπεκάλεσε τὸ εὐαγγέλιον, τῶν θησαυρῶν βιβλίον, τῶν μυστηρίων, ἕτερον τῶν τελετῶν.

conversionique obnoxiam, habuisse sui artificem bonum genium. Idem sermones suos impietate replevit; nam et execrabiles quasdam sub terra latebras, et nocturnas initiationes, et nefandos concubitus adinvenit, et stulta ethnicorum dogmata sancivit, et fati doctrinam invexit, et corporum transformationes docuit, et Christum in carne extitisse negavit. Quamobrem dignam postea mercedem doctrinarum suarum retulit a rege quodam ethnico, quem viventi cutem detrahi iussisse aiunt, atque ita necari. Cyrillus apprime hierosolymitanus impiam Manetis mentem patefecit publiceque improbavit, cuius hominis commentarios ipsos impura atque indecora instituta eius continentes ad litteram proposuit, moxque singulos atheismi eius scelerisque articulos refutavit. Etenim impius hic apostolum quoque semet nominavit, et quatuor conscripsit libros, quorum primum appellavit evangelium, al-

(1) Legatur Cyrilli hieros. catechesis sexta.

ε. Τῶν δὲ Μοντανῶν διάφορος εἶναι λέγεται δόξα, καὶ οὐ μονομερὴς ἀλλὰ πολύτροπος· τὸ δὲ τέλειον αὐτῶν δόγμα ἐν τούτοις ἐστίν, ὅτι τὲ αὐτὸν τὸν Μοντανὸν λέγουσιν εἶναι τὸ πνεῦμα τὸ ἅγιον, καὶ πάλιν τὸν αὐτὸν λόγον καὶ πνεῦμα· ἔτι δὲ καὶ ὀκτὼ οὐρανοὺς εἶναι νομοθετοῦσι, κολαστήριά τε φοβερὰ ἐν τῷ μέλλοντι αἰῶνι ἐξηγοῦνται, δράκοντάς τινας καὶ λέοντας ἐκ τῶν μυκτήρων πῦρ ἀποπέμπειν μέλλοντας, καὶ κατακαίειν τοὺς ἀδίκους, καὶ ἑτέρους ἀπασκρέμμασθαι ἀπὸ τῶν σαρκῶν, καὶ ἄλλα τινα πλήρη ματαιοσύνης μυθολογοῦσιν· εἰς κρίσιν δὲ τοὺς ἐκ πορνείας ἢ μοιχείας γεννηθέντας ἄγεσθαι καὶ κολάζεσθαι, ὑπὸ κολαστήρια τὰ δεινότατα, ὅτι τὲ μόνον ἐκ τούτων γεγέννηνται, κἂν αὐτῶν ὁ βίος μὴ παράνομος πέφυκεν· ἀλλ' οὐδὲ τοὺς ἁμαρτάνοντας ἔτι εἰς μετάνοιαν δέχονται, ἢ τοὺς διγαμοῦντας συναχθῆναι μετ' αὐτῶν ἐν ταῖς συναγωγαῖς αὐτῶν ἀνέχονται, καὶ ἕτερα δὲ πάμπολλα παρόμοια τούτων ἐπιτελεῖται αὐτοῖς· ταῦτα δὲ οἱ τῆς ἐξαιρέτου αὐτῶν τῷ δοκεῖν μοίρας ἐπείγονται δια-

terum thesaurorum librum, tertium mysteriorum, quartum initiationum.

5. Iam vero Montanistarum non una sed varia ac multiformis dicitur esse doctrina. Praecipuum tamen dogma est, quod Montanum aiunt esse Spiritum sanctum, immo et unum quid putant Verbum ac Spiritum. Praeterea caelos octo existere adfirmant, et horrenda futuri saeculi supplicia narrant, dracones quosdam fore atque leones ignem naribus efflantes, quo iniustos amburent; horum vero alios carnibus suis suspensum iri; atque alia huiusmodi cassa nuce vaniora fabulantur. Natos autem de fornicatione vel adulterio homines in iudicium adductum iri, et gravissimis poenis fore adficiendos hoc uno nomine quod eo genere nati fuerint, etiamsi mores ipsorum ab honestate non discrepuerint. Sed neque peccatores

πράττεσθαι τῶν λοιπῶν, καὶ ἕτερα πλείω τούτων δεδρακότων ἔργα ἀσεβείας, καὶ τῷ βίῳ ἐπισφαλῆ, καὶ κρημνῶν πλήρεις ἀτραπούς ἐξηπλωκότων· ἐλέγχεται δὲ καὶ τούτων ἡ σκοτώδης νομοθεσία καὶ ὑπὸ τῶν πάλαι γεγενημένων διδασκάλων ἡμῶν· ἔτι δὲ καὶ σῶμα τινὸς ἱερέως τῆς Θράκης αὐτοψεὶ παραγεγονότος ἐν τῇ Ἀσίᾳ πρὸς Μοντανόν, Γρατεῦ τότε ἀνθυπατεύοντος, καὶ τὸν λαλοῦντα δι' αὐτοῦ καὶ τῆς Μαξιμίλλης δαίμονα ἐλέγξαντος (1)· λοιπὸν δὲ καὶ ὑπὸ Βασιλείου τοῦ μεγάλου, καὶ Ἐπιφανίου τοῦ κυπρίου μάλιστα κατὰ πασῶν τῶν αἱρέσεων πραγματείαν ἔγγραφον ἐκδεμένου.

ς. Ἔτι δὲ ἡμῶν ἐλυμήναντο τὴν ἐκκλησίαν, καὶ Μαρκίων καὶ Παῦλος ὁ Σαμοσατῶν, καὶ Οὐαλεντῖνος καὶ Μάρκελλος, οἳ μὲν δοκήσει καὶ οὐ κατὰ ἀλήθειαν τὴν τοῦ κυρίου σάρκωσιν λέγουσιν· ἔτι δὲ καὶ τὸν ὑπὲρ ἡμῶν αὐτοῦ ἑκούσιον θάνατον, καὶ τὰ θαύματα αὐτοῦ γεγενῆσθαι, καὶ ἐκ στοι-

ad paenitentiam recipiunt, neque bigamos in conventibus secum congregari patiuntur, permultaque alia his similia perpetrant. Haec, inquam, isti qui sectam secundum ipsos electam amplexi sunt, adiguntur committere; immo et his plura scelesta admittunt, et lubricam vitam agunt, et per semitas praecipitii plenas gradiuntur. Quin senex quoque quidam e Thracia sacerdos, Montano in Asia corporaliter apparens, Grato tunc ibi proconsule, loquentem Montani Maximillaeque ore daemonem coarguit. Deinde vero etiam a magno Basilio coargutus est, maximeque ab Epiphanio cyprio, qui tractatum contra omnes haereses edidit.

6. Marcion quoque, et Paulus samosatensis, et Valentinus, ac Marcellus, ecclesiam nostram polluerunt; qui non veram sed phantasticam Domini incarnationem fuisse aiunt, idemque de voluntario eius pro nobis obitu, et de eiusdem miraculis putant. Ac Valentinus quidem Deum ex elementis

(1) Confer Eusebium hist. eccl. lib. V. 16. et 18.

χείων καὶ ἀριθμῶν θεὸν συγκείμενον, καὶ καινοὺς αἰῶνας καὶ μύθους εἰσηγησάμενος, καὶ δυάδα τινὰ καὶ τριακάδα τιμήσας τῶν ἀριθμῶν, καὶ ἰσαρίθμους αἰῶνας τούτοις ἀναπλάσας· ὥσπερ καὶ Σίμων ὁ τούτου διδάσκαλος· ἀλλὰ καὶ αὐτὸς ὑπὸ τῶν τότε ἡμῶν ἐξελέγχεται καὶ ἀποδιώκεται πατέρων· Οὐαλεντίνου δὲ ἡ ἄθεος τοῦ ἑνὸς θεοῦ εἰς δύο κατατομὴ, εἰς ἀγαθὸν καὶ δημιουργὸν ληρῳδοῦντος, ἀποδιώκεται· δηλονότι ὡς τοῦ δημιουργοῦ κατ' αὐτὸν μὴ ἀγαθοῦ τινὸς ὑπάρχοντος, καὶ ὁ βυθὸς καὶ σιγὴ καὶ οἱ μυθικοὶ αἰῶνες· τὰ βυθοῦ καὶ σιγῆς ὡς ἀληθῶς κατὰ τὸν εἰπόντα ἄξια.

ζ. Παῦλος δὲ ὁ Σαμοσατῶν, ἐκ τῆς ἀχράντου καὶ δεσποίνης ἡμῶν θεοτόκου ἔλεγε τὴν ἀρχὴν εἰληφέναι τῆς θείκης ὑπάρξεως τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, καὶ μὴ προεῖναι πρὸ τοῦ κατὰ σάρκα τῷ γένει τῶν ἀνθρώπων ἐπιφανῆναι· αὐτίκα δὲ σύνοδος τοπικὴ κατ' αὐτοῦ ἐν Ἀντιοχείᾳ συνίσταται, πρεσβεύοντος ἐν αὐτῇ τοῦ μεγά-

numerisque conflat, novosque aeonas et fabulas comminiscitur, et dyadem quandam, et tricenarium numerum in honore habens, totidem simul aeonas confingit; veluti fecit et Simon huius magister. Verumtamen hic etiam a nostris qui tunc vivebant patribus exsufflatus fuit. Dei quoque ab eodem Valentino impie excogitata in duo divisio reiicitur; quippe unum esse bonum genium, alium vero creatorem nugatur; ita ut, secundum eius doctrinam, qui est creator, non sit bonus. Eodem pretio habita sunt, tum eius abyssus atque silentium, tum fabulosi aeones; quae omnia vere digna sunt abysso illa et silentio, de quibus is loquitur.

7. Iam Paulus samosatensis ex inviolata domina nostra Deipara aiebat sumpsisse divinae existentiae initium dominum nostrum Iesum Christum Dei filium, neque ante extitisse quam humano generi in carne apparuerit. Igitur sine mora provin-

λου πατρὸς ἡμῶν καὶ Θαυματουργοῦ τῆς Νεοκαισαρέων γεγονότος πόλεως· τούτῳ δὲ συνῆν καὶ Λέων (1) Ταρσοῦ, καὶ Μάξιμος Βόστρης, Ἱεροσολύμων Μάγνης τίς ἱερεὺς (2), καὶ τῆς Καππαδοκίας (3) Φιρμιλιανὸς ὁ Θαυμάσιος· σὺν τούτοις συνηριθμεῖτο καὶ Θεότεκνος ὁ Παλαιστίνης, καὶ Φωτεινὸς, καὶ Μάρκελλος, τῆς αὐτῆς ἐν τούτῳ γεγονότες ἀθεΐας, ψιλὸν ἄνθρωπον καὶ αὐτὸν τὸν κύριον ὡρισάμενοι, καὶ ἀπὸ Μαρίας ἀρχόμενον.

η. Καὶ τούτων τοίνυν ἐλευθερωθεῖσα ἡμῶν ἡ ἐκκλησία, καὶ τὴν κεφαλὴν πρὸς ὕψος ἄρασα, καὶ τῆς πλάνης ἁπάσης κατεξαναστᾶσα, καὶ τὰ ἴδια τέκνα τὰ γνήσια ἐναγκαλιζομένη, καὶ εἰς ὕψος ἄφατον ἐκτείνασα ἑαυτὴν, Σαβέλλιος ὁ λίβυς κατεξανίσταται αὐτῆς, ἀνάχυσίν τινα καὶ κατάπεσιν ἐπιτηδεύσας νομοθετῆσαι, τὸν πατέρα καὶ Θεὸν λέγων σχη-

cialis synodus contra ipsum Antiochiae coacta fuit, praesidente ei magno patre nostro Thaumaturgo neocaesariensis urbis episcopo; cui aderant Leo tarsensis, Maximus bostrensis, Magnes quidam Hierosolymorum sacerdos, et ex Cappadocia nostra admirabilis Firmilianus; atque horum in numero Theotecnus quoque Palaestinae antistes erat. Porro et Photinus atque Marcellus praedictorum impietatem aemulantes, merum ipsi quoque hominem fuisse Dominum adfirmabant, qui de Maria sumpserit initium.

8. Horum demum importunitate depulsa, quum ecclesia nostra caput erexisset, atque omni errore convicto, genuinos filios suos ulnis complecteretur, seque in immensum fastigium extenderet; ecce libs Sabellius contra stetit, confusionem quandam et quasi catapotium conficere studens, dum videlicet Deum

(1) Catalogus synodorum apud Iustellum T. II. p. 1172., et epistola synodica Ἐλενός.

(2) Epistola synodica verius Ὑμέναιος, qui erat episcopus.

(3) Ergo Germanus cappadox gente erat; immo et domo caesariensis ut cap. 13.

ματίζεσθαι καὶ ἐκτείνεσθαι ποτὲ μὲν εἰς υἱὸν, ποτὲ δὲ εἰς πνεῦμα· καὶ οὕτως ἐξαπλούμενον, πάλιν συστέλλεσθαι, καὶ ἕνα μόνον εἶναι οὕτως Θεὸν λέγεσθαι, μηδαμῶς ἐν ἰδίᾳ ὑποστάσει θεωρούμενον τοῦ τε λόγου αὐτοῦ καὶ υἱοῦ, ἔτι δὲ καὶ τοῦ ἁγίου πνεύματος· κατὰ τοῦτο πολλοὶ μὲν καὶ ἄλλοι τῶν γνησίων ἡμῶν θηρευτῶν, τὰ ἑαυτῶν ἐξέτειναν λῖνα· ἔτι δὲ καὶ Διονύσιος ὁ Ἀλεξανδρείας (1) καὶ τὸν θῆρα τοῦτο ἀγρεύσαντες, τῇ ἰδίᾳ μαχαίρᾳ τοῦ λόγου κατέθυσαν, οὐ πρὸς βρῶσιν ἐπιτήδειον, ἀλλὰ πρὸς ἀπρῤῥιφὴν καὶ νέκρωσιν ἑτοιμότατον· πᾶσι τοῦ θηρὸς τὰ μέλη ἐμφανῆ καταστήσαντες, καὶ τὴν φαρέτραν αὐτοῦ τῆς ἀλαζονείας ἐκτινάξαντες, καὶ πατεῖσθαι ὑπὸ πάντων ποιήσαντες· πολλὴν δὲ τὴν κατ' αὐτοῦ ἀπληστίαν ἐνδειξάμενος ὁ λεχθεὶς Διονύσιος, σπέρματα μᾶλλον τῇ ἀφυεῖ διασάσει τῶν ὑποσάσεων παρασχὼν Ἀρείῳ τῷ δυσσεβεῖ, ὡς φησὶ Βασίλειος (2) ὁ ἀκρότατος καὶ μέγας

patrem formas quasdam induere diceret, ac semet extendere modo in Filium, modo in Spiritum sanctum: cumque ita se dilatasset, rursus solere contrahi, atque ita unum tantummodo dici Deum; neque in propria quemque persona spectari, Verbum scilicet seu Filium, neque item Spiritum sanctum. Adversus hunc, cum alii multi nostrarum partium germani venatores retia sua tetenderunt, tum nominatim Dionysius alexandrinus episcopus. Hi captam feram proprio sermonis gladio confecerunt, haud equidem esui aptam, sed caede proiectuque dignissimam, eiusque discerpta membra spectaculo cunctis proposuerunt; pharetram denique superbiae eius omnium pedibus conculcandam dederunt. Iam quum Sabellium infinita vi argumentorum Dionysius urgeret, semina quaedam iecit, unde falsam personarum differentiam impius Arius suscitaret, ut

(1) Scripserat quatuor adversus Sabellium libros Dionysius alex. qui iamdiu vixerunt. Dionysium decertantem cum Sabellio memorat vita S. Petri alex. a nobis edita in hoc Spicilegio T. III. p. 682.

(2) In epistola ad Maximum ed. Garner. T. I. p. 90.

πατὴρ ἡμῶν· κἂν ὅτι μάλιστα ὑπεραπολογεῖται αὐτοῦ Ἀθανάσιος ὁ ἀοίδιμος (1), τοὺς ἀγῶνας αὐτοῦ ἐξηγούμενος, καὶ μὴ γνώμης κακότητι, ἁπλῆς δὲ διανοίας τρόπῳ, τοῦτο ὑπομεμενηκέναι αὐτόν· φαίνεται δὲ ὁ Μάρκελλος καὶ εἰς τὸ τούτου πῶς ἐμπεσὼν δόγμα.

θ. Εὐθέως οὖν μετὰ τοῦτον, ἢ καὶ πρὸ τούτου, Ὠριγένης ὁ ματαιόπονος καὶ λῆρος ἀνέφυ, τὰ τῶν ἀμφοτέρων κυρῶν, καὶ ἀρειανίζων· καὶ προὔπαρξιν τῶν ψυχῶν καὶ μεταποίησιν, καὶ αἰώνων τινῶν ἐναλλαγήν, καὶ ἀναστάσεως τοῦ πεσόντος ζώου ἄρνησιν· σφαιροειδῆ δέ τινα σώματος ἔγερσιν, καὶ μὴ αὐτὴν τὴν πλάσιν τοῦ ἀνθρώπου ἐν τῷ ἰδίῳ σχήματι ἀνίστασθαι μυθευόμενος, ὡς ἔστι καταμαθεῖν ἐκ τοῦ πονηθέντος κατ' αὐτοῦ λόγου Μεθοδίῳ τῷ μεγάλῳ (2)· καὶ ἕτερα δὲ μυρία ἀσεβείας πλήρη δόγματα καταφορτώσας εἰς

ait summus pater noster Basilius: quamquam Dionysii patrocinium apprime gerit inclytus Athanasius, dum eius certamina enarrat, eumque haud prava sententia imbutum, sed simplici suae mentis ratione sic elocutum contendit. Constat autem Marcellum quoque in Sabellii dogma consensisse.

9. Protinus post hunc, vel etiam antea, Origenes vano se labore fatigans et nugans exortus est, utriusque doctrinam adprobans, et arianismum redolens. Hic animarum praeexistentiam et instaurationem, atque aeonum quorumdam alternationem docuit: defuncti vero animantis resurrectionem negavit, sed sphaericam nescio quam corporis suscitationem, non autem ipsam hanc hominis machinam in sua naturali forma resurrecturam commentus est; quam rem cognoscere licet ex eo libro, quem adversus Originem magnus Methodius elaboravit. Is sexcenta alia impietate scatentia dogmata congerens

(1) Extat haec pro Dionysio scripta ab Athanasio apologia.

(2) Libri huius S. Methodii de resurrectione adversus Originem, nunc nonnisi fragmenta, ampla tamen, apud Epiphanium et Photium supersunt, praeter alia apud alios minora.

μέσον κατέρριψε, καὶ τοῖς δι' αὐτοῦ τὴν παρόδιον τρίβον ποιουμένοις δολερῶς, ἐπότισε καὶ ἀνέτρεψεν· ὅμως καὶ μᾶλλον τιτρώσκεται ὑπὸ Πέτρου τοῦ μεγάλου ἐπισκόπου καὶ μάρτυρος Ἀλεξανδρείας (1), ἔτι δὲ καὶ Ἡρακλᾶ καὶ Δημητρίου (2) καὶ ἑτέρων τινῶν· κἂν ὅτι μάλιστα ὁ πολυμαθὴς, ἢ οὐκ οἶδ' ὅπως εἰπεῖν, Εὐσέβιος ὁ Παμφίλου συνίσταται τούτῳ ὑπεραπολογούμενος αὐτοῦ (3), καὶ κυρῶν μᾶλλον τήν τε ληρῳδίαν αὐτοῦ καὶ τῆς ἄλλης τῆς τε ἀρειανικῆς καὶ τῆς ἑλληνικῆς εἰκαιομυθίας τὸ ἔκλυτον, ὡς ἐν πλάσματι ἀπολογίας ταῦτα συνϊεῖσιν, ὡς ἔστι καταμαθεῖν ἐκ τοῦ πονηθέντος λόγου Ἀντιπάτρῳ τῷ βοστρηνῷ σαφῶς ταῦτα διαγορεύοντι (4).

ι. Ἄρειος οὖν πάλιν ὁ Ἀλεξανδρείας πρεσβύτερος, ἐπεμάνη τῆς ἐκκλησίας ἡμῶν, καὶ ἤρξατο μὲν ἀπὸ Ἀλεξανδρείας, ἐξέτεινε δὲ τὴν αὐτοῦ ἀσέβειαν ὡς εἰπεῖν εἰς τὰ πέ-

in medium protulit, atque illis propinavit, eosque enutriit qui viam minime ab ipso remotam malitiose terebant. Hunc naviter refutavit magnus Petrus Alexandriae episcopus et martyr, nec non Heraclas, et Demetrius, aliique nonnulli. Sed enim doctissimus (nam quo alio titulo appellem nescio) Eusebius Pamphili patronus consurrexit, nugas eius confirmans, aliosque errores, quos inter arianismum, et paganicarum fabularum futilitatem, sub apologiae specie defendens; id quod intelligere possumus ex commentario Antipatri bostrensis haec perspicue narrantis.

10. Ecce autem Arius quoque presbyter alexandrinus adversus ecclesiam nostram furere coepit; qui ducto ab urbe Alexandria initio, haeresim suam usque ad orbis ut ita dicam

(1) Non supersunt Petri alex. adversus Originem scripta.

(2) Vide Eusebium hist. eccl. VI. 8., et Hieronymum script. eccl. cap. 54. In vita S. Petri alex. retro citata uterque tam Heraclas quam Demetrius (qui fuerunt alex. episcopi) ponuntur inter adversarios Origenis.

(3) Non extat haec Eusebii pro Origene apologia nisi partim latine.

(4) Scilicet in deperdita refutatione apologiae eusebianae pro Origene.

ρατα τῆς γῆς, ὑπὸ πολλῶν κρατυνουμένην καὶ περιεπομένην βασιλέων τε καὶ ἀρχόντων καὶ σοφῶν καὶ ἐλλογίμων, ἐξ ὧν ὑπῆρχε τότε καὶ ὁ ἐπιμνησθεὶς Εὐσέβιος, ὡς τὰ τούτων δηλοῦσι συγγράμματα· ἀναθεματίζεται δὲ ὁ εἰρημένος Ἄρειος ὑπό τε τοῦ προλεχθέντος Πέτρου τοῦ θαυμασίου, μὴ προσηκαμένου τοῦτον μήτε ἐν αὐτῷ τῷ καιρῷ τοῦ μαρτυρίου (1), πολλῶν γονυπετούντων αὐτὸν καὶ περὶ τοῦ δεχθῆναι αὐτὸν καθικετευόντων, ὅτε καὶ τὸν κύριον ὁ μάρτυς ἔλεγεν ὀφθῆναι αὐτῷ, ἐῤῥηγμένους χιτῶνας ἀμπεχόμενον, καὶ πρὸς αὐτοῦ προσερωτηθέντα, τίς σε περιέσχισεν κύριε; εἰπεῖν, Ἄρειός με περιέσχισεν· ἀλλὰ μὴ προσδέξῃ αὐτὸν, εἶναι γὰρ τοῦτον κατακεκριμένον ἔλεγε καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι· καὶ πάντας παρήγγειλεν ἀποςρέφεσθαι τῆς πρὸς αὐτὸν κοινωνίας· αὐτὸς γὰρ ὁ Ἄρειος ἔφασκε κτίσμα εἶναι τὸν υἱὸν τοῦ Θεοῦ· καὶ εἶναι καιρὸν ὅτε οὐκ ἦν ὁ υἱὸς· καὶ προτερεύειν τούτου τὸν χρόνον καὶ τὴν θέλησιν· γενέσθαι δὲ αὐ-

terminos propagavit, quam firmarunt foveruntque reges, magistratus, sapientes clarique homines, quorum in numero supradictus quoque Eusebius fuit, ut eius scripta demonstrant. Anathemate autem perculsus fuit Arius a praedicto admirabili Petro, qui eum negavit recipere vel in ipso martyrii procinctu, multis licet ad eius genua advolutis, et pro illius reconciliatione rogantibus. Tunc quippe narravit martyr, Dominum sibi coram conspectum laciniosa tunica indutum; quem quum interrogasset: quis te, Domine, ita lacerum fecit? Arius, inquit Dominus, me laceravit: sed tu cave, ne eum recipias, est enim tam praesente quam futuro in saeculo condemnatus. Itaque Petrus mandavit omnibus, ut communionem cum Ario vitarent. Nempe Arius aiebat creaturam esse filium Dei, tempusque fuisse quo filius non erat, atque illo antiquiora esse

(1) Extat haec narratio cum alibi tum in memorata vita S. Petri alex.

τὸν ὑπὸ τοῦ πατρὸς· καὶ διὰ τὸ κτίσαι ἡμᾶς μὴ δύνασθαι, ἔλεγε τοῦ Θεοῦ καὶ πατρὸς τὴν κτίσιν ὑπενεγκεῖν τὴν Θεότητα· καὶ λοιπὸν ἐπιτηδευθῆναι μετ' αὐτὸν τί κτίσμα, τῆς τε ἀνθρωπίνης καὶ τῶν λοιπῶν κτισμάτων φύσεως, καὶ τὸν υἱὸν τοῦ Θεοῦ· ὥστε δύνασθαι κτιζομένην πελάζειν αὐτῷ τὴν κτίσιν, καὶ μὴ ἐξαπλεῦσθαι τῇ ἀκροτάτῃ τοῦ Θεοῦ καταφλεγομένην δυναστείᾳ, εἴπερ ἄρα ὑπ' αὐτοῦ τοῦ πατρὸς εἰς τὸ εἶναι παρήγετο.

ια. Τότε, ἢ καὶ μικρὸν πρὸ τούτου, καὶ τῷ μεγάλῳ ἡμῶν πατρὶ καὶ θαυματουργῷ Γρηγορίῳ ἐπιζητοῦντι περὶ τούτων, ἡ τοῦ δόγματος ἐξεκαλύφθη θαυμάσιος διδασκαλία, ὅτε τὴν ἁγίαν παρθένον καὶ Θεοτόκον Μαρίαν καὶ Ἰωάννην τὸν παρθένον καὶ ἀπόστολον ἐθεάσατο· φανερῶς ὑποδεικνυόντων αὐτῷ τὴν τῶν ἐπιζητουμένων ἀκρίβειαν· αὕτη ἐστὶν ἡ διδασκαλία ἡ παρὰ πᾶσιν ᾀδομένη τοῖς πέρασι, καὶ τὴν ἀπαρχὴν ἐκ τῆς πατρικῆς θεότητος ποιουμένη, εἷς Θεὸς λέγων πατὴρ λόγου

tum tempus tum patris voluntatem, ipsumque a patre esse factum; et quia ipse facere nos nequibat, idcirco aiebat Dei patris creaturam assumpsisse sibi divinitatem. Deinde vero et ipsum Dei filium creasse post patrem aliquid tum humanarum tum reliquarum naturarum, ut sic posset condita ab eo creatura ad ipsum accedere, quin dissiparetur a sublimi veluti comburente eam Dei potestate, si forte ab ipso patre producta fuisset.

11. Tunc vero, vel paulo ante, magno quoque nostro patri et thaumaturgo Gregorio de his meditanti, mira illa dogmatis revelata fuit expositio, cum sanctam virginem Deiparam, Iohannemque item virginem atque apostolum per visum conspexit, manifeste sibi quaestionum suarum solutionem tradentes. Haec est illa fidei expositio, in orbe toto celebrata, quae a patris divinitate sumit initium: unus Deus, inquit, pater Verbi viventis, sapientiae subsistentis ac virtutis et cha-

ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως καὶ χαρακτῆρος ἰδίου· (1) ὁμόδοξόν τε καὶ πνεῦμα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ διδάσκοντος· καὶ μηδὲν εἶναι κτίσμα ἢ δοῦλον ἢ ἐπείσακτον ἐν τῇ τριάδι διαγερεύοντος, ὡς πρότερον μὲν οὐκ ὄν, ὕστερον δὲ ἐπεισέλθον· ἄκτιστόν τε καὶ ἀθάνατον εἶναι ἀεὶ τὴν τριάδα τρανῶς διδαχθέντος αὐτοῦ καὶ διδάξαντος (2)· τότε καὶ Βασιλεὺς ὁ Ἀμασείας ἐπίσκοπος (3), ὁ ὄντως βασιλεὺς τῷ φρονήματι τῆς πίστεως, καὶ τῷ λόγῳ τῆς διδασκαλίας, καὶ ὁμολογίᾳ τοῦ μαρτυρίου, ἐν Νικομηδείᾳ τῇ πόλει ὑπὸ Λικιννίου ἀχθεὶς καὶ μαρτυρήσας, τοῖς ἐρωτήσασιν αὐτὸν περὶ τῆς τοιαύτης ἐρωτήσεως, τὴν ἔψομον ἐποιήσατο ἀπόκρισιν, ὁμοούσιον τὴν τριάδα διαγορεύων, καὶ δαιμονικῆς πλάνης ἀνάμεσον τὴν ἀρειανικὴν λέγων φληναφίαν εἶναι, ὡς ἔστι καταμαθεῖν ἐκ τῆς ἐμφερομένης ἐν τῷ μαρτυρίῳ αὐτοῦ διδασκαλίας.

ιβ. Καὶ Ναυάτος πρὸ Ἀρείου καὶ ἑτέρων αἱρέσεων, πρεσ-

racteris proprii. Nec non pari gloria cum patre et filio frui Spiritum docet, nihilque in Trinitate creatum esse aut servum aut additum praedicat, quod quidem antea non fuerit, postea vero subintraverit. Scilicet increatam immortalem sempiternamque esse Trinitatem, et ipse Gregorius edoctus fuit et docuit. Tunc etiam Basileus (Rex) Amaseae episcopus, vere rex, mentis sententia et sermone doctrinae ac martyrica confessione, in urbe Nicomedia a Licinio ad martyrium perductus, sciscitantibus se de hac fidei controversia, iustum dedit responsum, consubstantialem Trinitatem esse pronuncians, arianam vero insaniam diabolica fraude scatere; ut comperimus ex illa fidei confessione, quae in eiusdem martyrii actis refertur.

12. Ante Arium quoque aliasque haereses, Novatus roma-

(1) In editis Gregorii thaum. *ἀϊδίου aeterni.*
(2) De hac narratione Germani videsis quae diximus in praefatione p. VII.
(3) Basilei plenam notitiam dat Lequinius Or. ch. T. I. p. 524-525.

βύτερος Ῥώμης γενόμενος, τὴν μετάνοιαν ἐκ τῆς ἐκκλησίας ἐκκήρυκτον ἐποιήσατο, καὶ μήτε τοὺς ἐν τῷ διωγμῷ παραπεσόντας ἀνθρώπους μετανοοῦντας, μήτε ἐν ἄλλῳ ἁμαρτήματι ἢ πορνείᾳ ἢ διγαμίᾳ τῆς μεταλήψεως ἠξίου μεταδίδοσθαι, κἂν ἄξια τῆς μετανοίας ἔργα ἐπιδείξοιντο· ὅς τις εὐθέως κατάκριτος γίνεται, συμφρονησάντων καὶ τῶν τῆς ἀνατολῆς ἐπισκόπων (1)· περὶ αὐτοῦ καὶ ὁ μέγας ἡμῶν ποιμὴν ἐπεμνήσθη Γρηγόριος ἐν ἑνὶ τῶν πανηγυρικῶν αὐτοῦ λόγων (2), τελείως τὴν αἵρεσιν αὐτοῦ βδελυξάμενος.

ιγ. Τοῦ δὲ ἀρειανικοῦ καπνοῦ εἰς μεγάλην πυρὰν ἀναφθέντος, καὶ πανταχόσε διαδραμόντος, καὶ τὴν οἰκουμένην δακρύων ἐμπλήσαντος, θεόθεν αἰθρίας ἡμῖν ἐκ τῶν διωγμῶν γεγενημένης, καὶ τοῦ ἐπιφανοῦς βασιλέως Κωνσταντίνου τοῦ μεγάλου τὸ βασίλειον ἀναδησαμένου κράτος, κἀνταῦθα παραγεγονότος, ἀνδρὸς ἐναρέτου καὶ πλήρη τὸν τοῦ θεοῦ φόβον ἐν τῇ καρδίᾳ κατέχοντος, τῷ κόσμῳ καὶ τῇ ἐκκλησίᾳ ἡμῶν

nus presbyter paenitentiam ab ecclesia proscripsit; et lapsos in persecutione, quamquam postea paenitentes, item alio peccato pollutos, vel fornicatos, vel bigamos, communione sacrorum excludebat, etiamsi egregia paenitentiae documenta darent. Igitur et hic confestim damnatus fuit, consentientibus etiam orientis episcopis. Eiusdem meminit magnus quoque pastor noster Gregorius in quodam suo panegyrico sermone, ubi eius haeresim penitus exsecratur.

13. Iam quum arianus fumus in magnam flammam arsisset, atque ubique diffusus orbem lacrimis opplevisset, divinitus accidit ut quies a persecutionibus nobis fieret, et inclytus imperator magnus Constantinus ad imperium evectus, et in orientem veniens, vir insigni virtute praeditus, et plenum Dei timore cor gestans, mundo ac praesertim nostrae

(1) Veluti fecit synodus antiochena Demetrii, in catalog. synod. n. 23.
(2) In oratione trigesima nona; quae est in sancta lumina.

μάλιστα ἐπιφανέντος, τὴν τῶν ἱερῶν ὁμήγυριν συνήγαγε, καὶ σύνοδον ἐν Νικαίᾳ συγκροτεῖσθαι προσέταξεν, ἣ τις ἤδη ἐπὶ αὐτοῦ καὶ γεγένητο, παρόντος αὐτῷ καὶ τοῖς ἱερεῦσι συνεδρεύοντος· Ἀλέξανδρος ὁ μέγας πατριάρχης Ἀλεξανδρείας παρῆν ἐκεῖσε, Ἀθανάσιος ὁ τούτου διάκονος, Ἰούλιος Ῥώμης (1), Εὐστάθιος Ἀντιοχείας (2), Μακάριος Ἱεροσολύμων, Ὅσιός τε ὁ Κορδούβης, Μέμνων (3) Ἐφέσου, Λεόντιος ὁ τῆς ἡμετέρας Καισαρείας τῶν Καππαδοκῶν, Παφνούτιός τε ὁ θαυμαστὸς ὄντως ἀνὴρ, καὶ Σπυρίδων ὁ θαυματουργὸς, καὶ ἕτεροι πλεῖστοι, οἳ τὸν ἀριθμὸν τῶν τιη ἀνεπλήρουν πατέρων· λέγεται δὲ καὶ Ἀλέξανδρος ὁ μέγας, τότε διάκονος ὢν ἐκ τῆς ἡμετέρας ταύτης πόλεως, παρὰ Μητροφάνους τοῦ μεγάλου, ὡς ἐν κλίνῃ τούτου διὰ τὸ γῆρας κατακειμένου, ἐκεῖσε ἀπεσταλῆναι, καὶ συνεδρεύειν αὐτοῖς·

ecclesiae affulgeret; qui sacerdotum coetum congregans, synodum Nicaeae fieri mandavit, quae sub eo reapse celebrata fuit, praesente ipso et cum sacerdotibus considente. Aderant ibi magnus Alexandriae patriarcha Alexander, Athanasius eius diaconus, Iulius Romae, Eustathius Antiochiae, Macarius Hierosolymorum, Hosius Cordubae, Memnon Ephesi, Leontius Caesareae nostrae Cappadocum, et vere admirandus vir Paphnutius, et Spyridon thaumaturgus, aliique plurimi, qui numerum CCC. et XVIII. patrum explebant. Aiunt magnum quoque Alexandrum, tunc diaconum, ex hac nostra civitate illuc missum a magno Metrophane, qui in lecto ob senium decumbebat, cum ceteris consedisse. Multi vero ex episcopis

(1) Aut labitur memoria Germanus in nomine Iulii romani, sicut ipsemet se in similibus errare veretur cap. 46, aut Iulius nicaeno concilio nonnisi presbyter vel diaconus interfuit (sicuti Athanasius et Alexander byzantinus) missus fortasse a Silvestro cum romanis legatis. Sed certe Iulius in numero CCCXVIII. patrum non apparet.

(2) In Theodori lectoris catalogo patrum nic. Σελευκείας.

(3) Mendose fortasse apud Theodorum Μηνόφαντος.

πολλοὶ δὲ τῶν ἐκεῖσε συνδεδραμηκότων ἐπισκόπων, ὁμολογηταὶ τῆς πίστεως ἐτύγχανον, ἐν τοῖς διωγμοῖς ἀκρωτηριασθέντες ὑπὸ τῶν ἀσεβῶν καὶ ἀνόμων βασιλέων, καὶ τῶν μὲν τὰ νεῦρα τῶν ποδῶν, τῶν δὲ οἱ ὀφθαλμοὶ, καὶ ἑτέρων ἄλλα μέλη τοῦ σώματος ἀποτετμημένα ἐτύγχανον, ὑπὲρ τῆς εἰς Χριστὸν αὐτὸν πίστεως καὶ ὁμολογίας καὶ δημοσίας ἐνστάσεως· ἦσαν δὲ τότε ἐν αὐτῇ τῆς ἀριανικῆς ὑπέρμαχοι μανίας, Εὐσέβιος ὁ Νικομηδείας, καὶ Ἐλεύσιος (1), καὶ Εὐσέβιος τὸ πρότερον ὁ τοῦ Παμφίλου λεγόμενος, καὶ Θεόγνιος ὁ Νικαίας, καὶ ἕτεροι πλεῖστοι ῥήτορές τε καὶ σοφοὶ, τὴν αἵρεσιν εἰς τὸ ἀκρότατον συγχωροῦντες.

id. Πολλῆς δὲ τῶν δογμάτων ἐκεῖσε ἐξαπλώσεως καὶ ζητήσεως γεγενημένης, καὶ ὑπὸ τῶν προλεχθέντων πατέρων καὶ ὁμολογητῶν ἐμφρόνως καὶ εὐλαβῶς προτεινομένης, κυροῦται μᾶλλον τὸ δόγμα τῶν ὀρθοδόξων, καὶ ὁμοούσιον τοῦ πατρὸς τὸν υἱὸν ἐκφωνήσαντες, καὶ τοὺς λέγοντας προτερεύειν χρόνῳ τοῦ υἱοῦ, ἢ ὅτι ἦν ποτὲ καιρὸς ὅτε οὐκ ἦν ὁ

ibi congregatis, fidei confessores fuerant, et inter persecutiones ab iniustis impiisque imperatoribus mutilati, partim quidem nervis pedum succisis, partim oculis erutis, partim aliis corporis membris deminutis, ob fidem in Christum et confessionem, et publicam principum iussis contradictionem. Arianae vesaniae tunc defensores erant Eusebius nicomediensis, Eleusius, et alter Eusebius qui Pamphili dicebatur, Theognius nicaenus, aliique plurimi rhetores ac sapientes atque eruditi, qui ei haeresi summe favebant.

14. Quum illic igitur multa dogmatum ventilatio explicatioque facta esset, et a praedictis patribus atque confessoribus pie sapienterque exposita, orthodoxorum dogma vehementius est confirmatum: etenim filium patri consubstantialem

(1) Eleusius Cyzici episcopus arianus. Socrat. hist. eccl. lib. II. 40. Sozom. lib. IV. 15.

υἱὸς ἐπιφημίζοντας, ἀναθεματίσαντες σὺν τῷ Ἀρείῳ, οὕτως τὴν ἑαυτῶν σύνοδον ἔλυσαν, συμφρονήσαντος αὐτοῖς καὶ Εὐσεβίου τοῦ λεγομένου Παμφίλου· καὶ φέρεται αὐτοῦ ἐπιστολὴ πρὸς τὴν οἰκείαν γεγραμμένη πόλιν, καὶ ἑτέροις τισὶν, ἐν αἷς πρότερον ἀπαναχωρῶν, ἔγγραφον καταλέλοιπε πίστιν, τρανῶς ὁμοούσιον κηρύττουσαν, καὶ οὐ ξένην εἶναι τὴν λέξιν διαγορεύουσαν· καὶ τούτου ἕνεκεν, ἵνα μὴ τῇ προτέρᾳ αὐτοῦ ἐξακολουθοῦντες πίστει, ἀπωθοῦνται τὸ ὁμοούσιον· ἔτι δὲ καὶ ἄλλαι τινὲς πρὸς τοῦτο ὕστερον ἀντιῤῥήσεις αὐτοῦ πρός τινας τοὺς τὸν υἱὸν κτίσμα λέγοντας γεγενῆσθαι· κἂν ὅτι μάλιστα πάντα αὐτοῦ τὰ λοιπὰ συγγράμματα, ἐν οἷς δογμάτων ἐν αὐτοῖς γένηται μνήμη, τὴν ἀρειανικὴν δηλοῦσιν αἵρεσιν· ταύτης γὰρ ὁ ἀνὴρ τῆς δόξης εἶναι ἐν ἅπασιν αὐτοῦ τοῖς συγγράμμασι φαίνεται· ἓν μόνον ἐν τοῖς κατὰ Μαρκέλλου τοῦ γαλάτου ποσῶς τὴν τοιαύτην ὑπέφυγεν ὑπόληψιν, πάντως τοῦτο τὸ σύνταγμα μετὰ τὴν σύνοδον πεπονηκότος αὐτοῦ,

proclamantes, et illos cum Ario anathemati subiicientes, qui patrem tempore praecessisse filio aiebant, ac tempus fuisse quo filius non extitisset, ita demum suam synodum dissolverunt. Pamphili quoque Eusebius ipsis consensit: feruntur enim eius tum suae civitati tum aliis scriptae litterae, in quibus primo resipiscens talem fidei confessionem exponit, quae homousion manifeste praedicat, idque vocabulum haud novum esse affirmat; quod idcirco ait, ne quis priori eius confessioni adhaerens, homousion aversetur. Extant eiusdem aliae post id tempus refutationes illorum qui filium creaturam dicebant. Nihilo tamen minus, reliqua omnia scripta eius, ubi dogmatum mentio incidit, arianam haeresim ostendunt. Etenim hominem in hac secta fuisse, cunctae eius lucubrationes demonstrant; in uno vix adversus Marcellum galatam opere hanc suspicionem vitat, quod sine dubio scriptum post synodum elaboravit; quam

ὡς οἱ τῷ πονήματι τούτῳ ἐντυχόντες παραδεδώκασιν ἡμῖν· εἰς ἡμετέρας γὰρ χεῖρας οὐκ ἐλήλυθεν ἡ τειαύτη αὐτοῦ πραγματεία ὅλη· ἔστι δὲ ὁ ἀνὴρ εὐστομίᾳ καταπεποικιλμένος, καὶ κάλλει ὑπαγορείας περιεστιλβωμένος, ἀρχαίων τὲ πραγμάτων μνήμης ὡς ἀληθῶς ἀξίαν τὴν διαγόρευσιν ποιούμενος· ὅμως ἐν τῇ τῶν ψαλμῶν ἑρμηνείᾳ πολὺ παρὰ τὸ εἰκὸς εἰς τινὰ μέρη, τὴν ἑαυτοῦ ἐξεκάλυψε φρόνησιν (1) λογικοὺς ἀστέρας καὶ ἕτερα τινὰ προσειπών· διὰ ταύτας γὰρ αὐτοῦ τὰς λεχθείσας δόξας, καὶ οἱ τὴν βιβλιοθήκην ἡμῖν κατασκευάσαντες, οὐδαμῶς τοῖς ὀρθοδόξων πονήμασι τὰ βιβλία αὐτοῦ συναπέθεντο, ἀλλὰ χωρὶς μετὰ τὸ πλήρωμα τούτων, εἰς τὴν ἀπαρχὴν τῶν αἱρετικῶν βιβλίων ἐν τῷ ἰδίῳ κιβωτίῳ ἐγκατέθετο (2).

ιε. Τοῦ δὲ ἐτιμνησθέντος Κωνσταντίνου τοῦ μεγάλου

rem ii mihi significarunt qui id viderunt; namque in manus quidem meas universum id opus nondum devenit. Ceteroqui hic vir eloquentia pollet, stilique elegantia nobilitatur, rerumque antiquarum historiam digna enimvero narratione evolvit. Attamen in psalmorum expositione satis imprudenter nonnullis in locis suam mentem aperit, dum intellectualia sidera et alia huiusmodi commenta narrat. Ob quas eius sententias, ii qui nobis bibliothecam construxerunt, scripta Eusebii nequaquam cum orthodoxorum libris collocaverunt, sed seorsum potius post universam illorum seriem, in capite haereticorum librorum, peculiari in arcula condiderunt.

15. Porro quum iam memoratus magnus imperator noster

(1) De Eusebii doctrina in commentario ad psalmos, copiose Montfauconius editor in prolegomenis.

(2) Notemus antiquam consuetudinem separandi in bibliothecis libros haereticorum vel ethnicorum ab illis orthodoxorum. Sic Virgilius tolosanus a nobis editus AA. class. T. V. p. 41. *Hunc morem ex apostolicorum auctoritate virorum romana tenuit ac servavit ecclesia, ut christianorum libri philosophorum, sepositi a gentilium scriptis haberentur* etc. *ut duabus librariis compositis, una fidelium libros, altera gentilium scripta contineret* etc.

ἡμῶν βασιλέως, εὐλαβείας τρόπῳ ἀναγκάζοντες Ἀθανάσιον τὸν μέγαν, ἤδη πατριάρχην Ἀλεξανδρείας γεγενημένον, δέξασθαι Ἄρειον εἰς κοινωνίαν τῶν πρεσβυτέρων, ὡς ἅτε μετανοοῦντος αὐτοῦ, ὡς ἐνόμιζε, καὶ ἵνα μὴ καταλίπῃ σχίσμα τῇ ἐκκλησίᾳ, τῇ δὲ ἀληθείᾳ ἐκείνου αὐτοῦ Ἀρείου μᾶλλον τὴν οἰκείαν ἀσέβειαν κρυπτῶς ἐπικυρσῶντος, αὐτίκα τοῦ Ἀθανασίου τοῦτο μὴ καταδεξαμένου, διὰ τὸ κρυπτόμενον αὐτοῦ τῆς ἀθεΐας ὡς λέλεκται ἄθεσν, ἐξερίζεται τοῦ οἰκείου θρόνου ὁ ἅγιος, μάλιστα καὶ διὰ τὰς κατ' αὐτοῦ γενομένας συστάσεις ὑπὸ τῶν κρυπτῶς ἀρειανιζόντων, φοβηθέντος τοῦ βασιλέως, μή πως ἐπιβουλεύσαντες ἀπακτείνωσι τὸν Ἀθανάσιον· καὶ τότε τοὺς κατ' αὐτοῦ συγγράφει λόγους, καὶ τῶν τὴν ὁμοίαν αὐτῷ νοσούντων ἀσέβειαν· λέγεται γὰρ αὐτὸς ὁ Ἄρειος συντάξαι ἐν μικρῷ χάρτῃ τὴν οἰκείαν ἀσέβειαν, καὶ οὕτως ὑπὸ τὸν φελώνην ἐγκατακρύψαι, καὶ τῇ χειρὶ ἐπαγόμενον τοῦτον, προσελθεῖν τῷ βασιλεῖ· καὶ τῷ δακεῖν αὐτῷ ὀμνύειν πιστεύειν οὕτως, ἐπιφερόμενος κρυπτῶς τὸν χάρτην,

Constantinus, pietate veluti sua impulsus, Athanasium magnum iam Alexandriae factum patriarcham adigeret ad Arium in presbyterii communionem recipiendum, utpote quem resipuisse putabat, ne schisma post se in ecclesia relinqueret, quum contra Arius potius impietatem suam clam retineret; quum, inquam, hunc Athanasius non reciperet, propter latentem ut diximus in ipso atheismi impietatem, sede pellitur sanctus episcopus, ob id maxime quod facta contra eum conspiratione ab iis qui occulte Ario favebant, timuit imperator ne insidiis structis Athanasium occiderent; qui eo tempore libros suos adversus Arium, aliosque eodem morbo contaminatos scripsit. Fertur et ipse Arius haeresim suam parva in scheda exarasse, quam penula obvolutam manu praeferens, ad imperatorem accessit; dumque hic Arium putat fidem sin-

καὶ τῇ χειρὶ περιδεδραγμένον ἕτερον καὶ ἐπισείοντα (1)· οὐ μετ' οὐ πολὺ δὲ ἀποθνήσκει Κωνσαντῖνος ὁ μέγας βασιλεὺς, βαπτισθεὶς ὑπό τινος ἀρειανοῦ πρεσβυτέρου, ἐκείνου μὴ ἐπεγνωκότος τοιοῦτον εἶναι τὸν πρεσβύτερον· ἦν γὰρ ὁ ἅγιος ἐπιθυμίαν ἔχων μεγίστην εἰς αὐτὸν τὸν Ἰορδάνην κατελθεῖν ποταμὸν, κἀκεῖσε τὸ σωτήριον δέξασθαι βάπτισμα, ἐν τῷ τόπῳ ἔνθα καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὅτε μεθ' ἡμῶν σαρκὶ ἐγένετο, τὸ τοιοῦτον ἐπλήρωσε μυστήριον· τότε δὲ τοῦ θανάτου κατεπείγοντος αὐτὸν, ἐκεῖσε ἐβαπτίσατο, καὶ μετ' αὐτῶν τῶν ἐμφωτίων ὡς εἰπεῖν, τῷ τάφῳ τὸ σῶμα αὐτοῦ παρεπέμφθη.

ις. Καὶ διαδέχεται τὴν τῆς ἀνατολῆς βασιλείαν Κωνστάντιος ὁ υἱὸς αὐτοῦ, τῇ τοῦ εἰρημένου πρεσβυτέρου ὑπαχθεὶς σεβεῖ αἱρέσει· ἦν γὰρ αὐτὸς ὁ πρεσβύτερος τὴν τοῦ πατρὸς αὐτοῦ ἐγχειρισθεὶς διαθήκην, ἐν ᾗ ἐγέγραπτο ἑτέρας μοίρας εἶναι τὸν Κωνστάντιον βασιλέα, τῆς δὲ ἀνατολῆς

ceram iure iurando profiteri, schedam haereticus clam obtulit, manuque aliam fidei professionem retraxit atque amovit. Neque diu post magnus imperator Constantinus obiit, ab ariano quodam presbytero baptizatus, quem ipse tali infectum haeresi nesciebat. Etenim sanctus vir maxima erat cupiditate incensus ad Iordanem fluvium veniendi, ibique salutare baptisma recipiendi, eodem nimirum loco quo dominus noster Iesus Christus, carne nostra indutus, mysterium hoc consummavit. Verumtamen urgente obitu, in qua statione tunc erat, baptizatus, et cum ipsis ut ita dicam albis tumulo illatus fuit.

16. Huic successit in orientis imperio Constantius filius, qui iam dicti presbyteri seductus fuerat impia haeresi. Huic autem presbytero supremae Constantini tabulae commendatae fuerant, in quibus alia pars imperii Constantio ad regnandum adsignabatur, alii Constantini filio oriente adtributo: verum-

(1) Conferatur Socrates lib. I. 28.

ἄλλον τῶν υἱῶν αὐτοῦ· ὁ δὲ πρεσβύτερος τοσοῦτον μετέθηκεν εἰς τὴν ἀνατολὴν (1), τὸ ἔγγυον ὑπ' αὐτοῦ λαβών, τῆς αἱρετικῆς αὐτοῦ ἕνεκεν βλασφημίας· καὶ τότε πολὺς ὁ πόλεμος τῶν ἐπισκόπων τῶν ὀρθοδόξων ἐγεγόνει, καὶ τῶν ἰδίων αὐτῶν θρόνων ἐκδιωγμὸς· τῶν δὲ ἀρειανῶν ἡ ἐπικράτησις, πανταχοῦ διεφαίνετο· Μελετίου τοῦ μεγάλου καὶ Εὐσταθίου καὶ ἑτέρων τινῶν, καὶ αὐτοῦ Ἀθανασίου πάλιν τῆς ἐπισκοπῆς ἐκδιωχθέντων, ἐπειδὴ ἦν ὁ ἅγιος Ἀθανάσιος κεκρατηκὼς τοῦ ἰδίου θρόνου, Κώνστα ἐν Ῥώμῃ βασιλεύοντος, καὶ ἐκ τῶν Γαλλίων πρὸς τὴν ἰδίαν πόλιν αὐτὸν ἀποστείλαντος, τοῦτο καὶ ἰδίου πατρὸς βεβουλῆσθαι, ὡς αὐτὸς φησὶ, διαπράξασθαι· ἐκείνου δὲ τελευτήσαντος, εἰς μνήμην αὐτοῦ τοῦτον τὰς αὐτοῦ ἐντολὰς ἀποπληρῶσαι (2) τῆς συνόδου (3) πικρῶς ἀναθεματιζομένης· καὶ κατ' αὐτοῦ Ἀθανασίου δικα-

tamen presbyter Constantium ad orientem transtulit, fideiussorem se tantae rei praebens, propter arianam ab hoc adamatam blasphemiam. Tunc magnum adversus orthodoxos episcopos bellum coepit, atque ipsorum de sedibus expulsiones, praevalentibus ubique Arianis. Itaque Meletius magnus, et Eustathius, et alii nonnulli, et ipse rursus Athanasius de suis ecclesiis exturbati fuerunt. Nam sanctus Athanasius sedem suam paulo ante recuperaverat, Constante Romae imperante, eumque e Galliis ad alexandrinam civitatem remittente; quandoquidem et a patre suo Constantino ita decretum fuisse aiebat; sed enim eo mortuo, se patris memorem mandata eius esse exsequutum, synodo acerbe increpita. Contra ipsum vero Athanasium iudicia sunt instituta, quo tempore multis calum-

(1) Theodoretus hist. eccl. lib. II. 3, et Photius cod. 256. p. 1416.

(2) Haec dicit Constantinus iunior apud Athan. op. dict. n. 87. Suspicor heic confusionem aliquam diversorum Caesarum et diversorum redituum Athanasii. Revera enim etiam a Constante remissus ex Gallia Alexandriam fuit.

(3) Synodum tyriam increpuit ob Athanasium Constantinus senior. Athan. apol. contra Ar. n. 86.

στήρια συνεισάμενα, ὅτε καὶ κατεψεύσθη ὁ ἅγιος πάμπελλα, ὡς δηλοῦσιν αἱ περὶ αὐτοῦ συγγραφαὶ· λέγεται δὲ καὶ Εὐσέβιον τὸν Παμφίλου, συνασπιστὴν εἶναι τῶν κατ' αὐτοῦ κινησάντων τὸν διωγμὸν, καὶ πρωτερεύειν ἐν τῇ καθέδρᾳ τῶν κατ' αὐτοῦ συλλόγων, ὡς οἱ παραθέμενοι ἐν τῷ λόγῳ τοῦ μεγάλου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου, τῷ πονηθέντι αὐτῷ εἰς αὐτὸν Ἀθανάσιον διαγρεύουσι, καὶ ἕτεροί τινες ἱστορικοί· ἐκεῖνος γὰρ, ὡς λέγει, τὸ ὄνομα ἑκουσίως ὑπερτίθεται φανερῶσαι, αἰδούμενος τὸ τοῦ ἀνδρὸς πολυμαθὲς, καὶ μὴ ὀνομάσαι τοῦτον ὑπέρμαχον τῶν Ἀρειανῶν καὶ συναπιστὴν ἐθέλων (1).

ιζ. Τότε καὶ Μακεδόνιος ὁ ἀσεβὴς, προστάτης ἦν τῆς ἀσεβείας, τοῦ μεγάλου βασιλέως Κωνσταντίνου τὸ σῶμα ἐκβαλὼν καὶ μεταθήσειν ἑτέρωσε βουληθεὶς, τοῦ δὲ ὀρθοδόξου λαοῦ οὐκ ἐνεγκόντος τὸ τοιοῦτον ἐγχείρημα, εἰς ἔργον

niis patuit, ut scripta quae de eo feruntur demonstrant. Aiunt etiam Eusebium Pamphili conspirasse cum iis qui Athanasium persequebantur, atque in conventiculis adversus eum celebratis primum locum tenuisse; cuius rei testes sunt, cum alii historici, tum certe ii qui Gregorii theologi orationem de Athanasio enarraverunt. Namque ipse quidem, ut ait, nomen ipsum pronunciare de industria omittit, viri infinitam doctrinam reverens, et ne hunc nominatim inter Arianorum favitores patronosque numeret.

17. Tunc etiam impius Macedonius coryphaeum se haereseos exhibuit, qui magni quoque Constantini corpus tumulo eiicere, atque aliò transferre conatus est; quod facinus populus orthodoxus non ferens, dolorem suum opere demonstra-

(1) In oratione Nazianzeni XXI. ed. Bill. T. I. p. 381. et 386. Porro nomen Eusebii recitat Nicetas Nazianzeni interpres, cuius latina excerpta dedit Bill. T. II. p. 790. Attamen Nicetam, posteriorem hominem; Germanus non vidit, sed antiquiores interpretes, puta Maximum et Eliam, quos Nicetas postea expilavit.

τὴν λύπην ἐξέφερεν, καὶ κωλύειν τοῦτον παρεβιάζοντο· ἐπιστάντος τε αὐτοῖς τοῦ ἀρειανικοῦ σμήνους, πλεῖστος μὲν ἐγεγόνει φόβος, καὶ αἱμάτων οὐ τῶν τυχόντων ἔκχυσις· μόλις δὲ τὸ σῶμα διαφυγὸν ταῖς εὐτρεπισθείσαις ἐναπετέθη θήκαις, μετὰ πολλῆς εἰμωγῆς καὶ δακρύων συνεχῶν (1).

ιη. Ἄρειον δὲ τὸν τῆς μανίας ἐπώνυμον, τέως ἔτι τῷ βίῳ ἐνδιατρίβοντα, βασιλεὺς Κωνστάντιος ἐβιάζετο τοὺς τῆς ἐκκλησίας ἡμῶν εἰσδέχεσθαι, καὶ κοινωνικὸν αὐτὸν προσλαμβάνεσθαι· τοῦ δὲ μεγάλου ἡμῶν πατρὸς καὶ πατριάρχου Ἀλεξάνδρου (2) πρὸς τῷ θυσιαστηρίῳ τὰς χεῖρας εἰς ὕψος ἀνατείναντος, καὶ ἐστηλωμένου ὥσπερ ἑστῶτος, καὶ τῷ θεῷ τὴν δέησιν προσάγοντος, ἐλεῆσαι τὸν αὐτοῦ λαὸν καὶ λυτρώσασθαι τῆς ἀρειανῆς δολιότητος ἱκετεύοντος, ἐκείνου μετὰ πολλῆς προπομπῆς εἰσιόντος, καὶ ἐν τῷ φόρῳ ἤδη γεγενημένου, πλήθους δὲ οὐ τοῦ τυχόντος παρεπομένου, καὶ τῶν ἰδίων αὐτοῦ συναγωνιστῶν, ἀπ' αὐτοῦ βασιλέως καὶ ἑτέρων

vit, vi Macedonium cohibens: quumque ariana turba in incepto persisteret, maxima trepidatio fuit, et non ignobilium hominum sanguis effusus: ipsum vero cadaver vix ita evasit, ut parata in theca claudi potuerit multo cum luctu et continentibus lacrimis.

18. Interim Arium, qui Martis (Ἄρεως) rabiem ipso nomine innuit, adhuc in vivis agentem imperator Constantius in ecclesiam nostram recipi vehementer iubebat, et communionis participem fieri. Sed dum magnus noster patriarcha Alexander, erectis ante altare manibus, columnaeque instar perstans, Deum precibus fatigaret, ut populum suum clementer ab ariana fraude expediret; interim Arius praeeuntibus multis ad ecclesiam adventabat, iamque in forum pervenerat, non sine magna hominum sequela, tum eorum qui ipsi adhaere-

(1) Socrates lib. II. 38.
(2) Socrates lib. I. 37, et Theodoretus lib. I. 14.

πλείσων παραθαρρούντων τὸν δείλαιον καὶ ἐπιγελώντων ἡμῶν, θεόθεν γίνεται ἡ τῶν καταπονουμένων ἐκδίκησις· πρὸς γὰρ τὴν λεγομένην φῶσσαν ἀπονεύσας ὁ ἄθλιος, ὥστε αὐτὸν τὰ περιττὰ τῆς γαστρὸς ἀποτινάξασθαι, τὴν κοιλίαν αὐτοῦ καὶ τὰ ἐντὸς αὐτοῦ συγκαταφέρει ὁ ἄνομος, καὶ τῶν τῆς γλώσσης ἁμαρτημάτων τὸν μισθὸν κομίζεται τοῦτον, ἐπαξίως τῆς αὐτῆς δυσωδίας τὴν ζωὴν διαλύσας πρὸς τὸν θάνατον ἀπενεχθεὶς· οὕτως τῆς ἐκεῖσε κολάσεως· κἀνταῦθα τὰ ἐπίχειρα τῆς αὐτοῦ ζωῆς δεξάμενος· τινὲς δὲ ἐπ' αὐτοῦ Κωνσταντίνου τοῦτο ὑπομεῖναι τὸν Ἄρειον ἀποδεδώκασιν (1), εἴτε δὲ ἐπ' ἐκείνου εἴτε ἐπὶ τούτου οὗτος ὁ ἀσεβὴς τὴν τοῦ Ἰούδα ῥῆξιν ὑποστὰς, τοῦ παρόντος ἀπελαύνεται βίου· ἐγὼ δὲ ἐπὶ Κωνσταντίου τοῦτο φημὶ γενέσθαι· τοῦτο ἡμῶν ὁ μέγας Γρηγορίου ὁ θεολόγος ἐξηγεῖται τὸ θαῦμα (2), ὡς ἐν στήλῃ τινὶ περιβοήτῳ θριαμβεύων τὴν ἔννομον καὶ δικαίαν

bant, tum aliorum plurimorum ab imperatore submissorum, qui animos infelici addebant, nosque irridebant. Ecce autem divina suscepti facinoris ultio extitit; nam quum miser ille ad fossam, uti appellatur, divertisset, ut onus ventris egereret, ventrem ipsum et viscera scelestus egessit, et fulmineae linguae suae hanc mercedem retulit, ut congruum foetori eius finem vitae nancisceretur; atque hoc genere mortis extinctus, futuram mox punitionem suorum actuum heic quoque praegustavit. Nonnulli tamen sub ipso Constantino haec Ario evenisse tradiderunt; sed certe vel sub illo vel sub Constantio, impius hic Iudae instar crepens e praesente vita migravit; quamquam ego quidem sub Constantio id factum aio. Prodigium hoc narrat nobis magnus Gregorius, iustum hominis meritumque exitium nobilis instar trophaei proclamans. Etsi

(1) Sic certe aiunt Socrates, Sozomenus, et Theodoretus. Id etiam innuit anonymus historicus apud nos Spicil. T. VI. p. 606.

(2) In praedicta oratione XXI.

τοῦ ἀνδρὸς ἀπώλειαν· κἂν ὅτι περὶ πολλοῦ ἐποιήσαντο οἱ τότε Ἀρείῳ συντρεχόντες ἀποκρυβῆναι τῷ βασιλεῖ, διὰ τῶν εὐνούχων τοῦτο ἀποπείσαντες, ἰδίῳ θανάτῳ μᾶλλον καὶ καινῷ τέλει παρελθεῖν αὐτόν· μετ' οὐ πολὺ δὲ καὶ ὁ προλεχθεὶς Κωνστάντιος ἀποθνήσκει, καὶ Ἀθανάσιος εἰς τὸν ἴδιον ἐπανάγεται θρόνον.

ιθ. Καὶ ὀλίγον ἡμῖν χρόνον ἐπιμανέντος τοῦ ἀσεβοῦς Ἰουλιανοῦ, ὑφ' οὗ καὶ πάλιν Ἀθανάσιος ἐξερίζεται (1), Ἰοβιανὸς εὐθέως ὁ μέγας ἐν τῇ Περσίδι βασιλεὺς ἀναγορεύεται, ἀνὴρ ὀρθόδοξος καὶ πλήρης συνέσεως καὶ ὀρθοδόξου πίστεως· ἀλλ' ὦ τῆς ἡμετέρας ἁμαρτίας, ὦ τῆς ἐπιγενομένης ἡμῖν ἐκ τῶν ἡμετέρων ἀνομιῶν ἀξίας τιμωρίας· οὕπω γὰρ τῇ πόλει ταύτῃ τὸν ἄνδρα ἐπιστάντα, μετὰ τὸ ἀποκατασῆσαι, ἐπιζητῆσαι τὲ καὶ ἐκμαθεῖν ὑπὸ Ἀθανασίου τοῦ μεγάλου τὴν ὀρθὴν καὶ ἀλώβητον τῶν χριστιανῶν πίστιν (2), πρὶν ἢ τῇ πόλει ἡμῶν ταύτῃ ἐπιβῆναι τὸν ἄνδρα, ὡς λέλεκται,

magnopere studuerunt ii, qui in Arii comitatu erant, rem imperatori occultare, immo ei per eunuchos persuadere, quod obitu naturali communique fine Arius vitam deseruisset. Paulo post praedictus quoque Constantius moritur, et Athanasius ad suam sedem reducitur.

19. Exin postquam brevi tempore contra nos impius desaevisset Iulianus, a quo denuo Athanasius solum vertere iussus fuerat; magnus illico Iovianus in Perside imperator eligitur, vir orthodoxus, sapientia rectaque fide cumulate praeditus. Sed hem nostra peccata! hem iustam delictorum nostrorum poenam! Nondum ille ad metropolim pervenerat, post restitutum Athanasium, et postquam ex eo exquisiverat didiceratque rectam et sinceram Christianorum fidem; ante, ut

(1) Gregorius naz. orat. XXI.

(2) Idem in eadem oratione. Extat autem Athanasii ad Iovianum de fide epistola.

μεταίρει τοῦτον ὁ Θεὸς, καὶ πρὸς αὐτά που τὰ τέρματα τῆς Βιθυνίας γεγονότος αὐτοῦ· Οὐάλης δὲ εὐθέως τῶν τῇδε ἀναγορεύεται βασιλεὺς, ἀνὴρ παράνομος καὶ ἐναγὴς, ἀρειανὸς καὶ βλάσφημος, καὶ δύο τὰ μέγιστα νοσήσας ἀπληστίαν καὶ βλασφημίαν, κατὰ τὸ περὶ αὐτοῦ εἰρημένον· ὅς τις ὡς νόμιν ἔννομον τὴν παρανομίαν ἐκέκτητο, ἀκρασίᾳ δὲ τὴν πλεονεξίαν, ὡς κρᾶσιν μᾶλλον δὲ κρίσιν πεπληγμένην ἐν ἑαυτῷ κατεπήξατο· οἱ μεγάλοι σὺν ἡμῶν πατέρες Βασίλειός τε καὶ Γρηγόριος ἀνδρίζονται· τότε καὶ ὁ προλεχθεὶς Εὐστάθιος, καὶ Μελέτιος, καὶ Εὐσέβιος ὁ Σαμοσατῶν, ὡς ἔστι τοῦτο καταμαθεῖν παντὶ τῷ περὶ τούτων ἐθέλοντι ἀνερευνᾶν.

κ. Μάλιστα δὲ τῆς πόλεως ἡμῶν ταύτης ἐπινεμηθείσης τῆς ἀσεβοῦς αἱρέσεως, ἔτι δὲ καὶ τῆς Μακεδονίου κατὰ τοῦ ἁγίου πνεύματος μιαρᾶς ὕλακῆς κατεσθιούσης αὐτὴν, οὓς καὶ ἡμιαρείους, τοὺς ἐξ αὐτοῦ οἱ πατέρες ὠνόμαζον· πρεσβυτέρων τὲ ἐμπρησμοὶ τότε γινόμενοι δημόσιοι, καὶ παρθένων

dixi, quam urbem hanc intraret, transtulit illum ad se Deus, cum iam Bithyniae fines attingeret. Moxque Valens regionum nostrarum dominus acclamatur, vir impius et exsecrabilis, arianus atque blasphemus, duobus morbis maxime implicitus, insatiabili cupiditate atque blasphemia, prout de ipso traditum est; qui scelus pro iure legitimo habebat, et avaritiam cum intemperantia, veluti concretionem quamdam, vel potius crisim, in semet ipso commixtam conseruerat. Ergo magni patres nostri Basilius atque Gregorius, fortiter se gesserunt. Tunc etiam retro memoratus Eustathius, atque Meletius, et Eusebius samosatensis inclaruerunt, quam rem cognoscere scrutanti historias licebit.

20. Tunc nostram apprime urbem ariana haeresis depopulabatur; atque insuper Macedonii contra sanctum Spiritum impurus latransque rictus eam devorabat; quod genus ex eo prognatum Semiariani a patribus dicebantur. Tunc publice

καθυβριζομένων ἐμφανῶς, εἰ μὴ τὸ τῆς αἱρεσέως δέξονται μίασμα, ἱερεῖς τὲ ἀπεμπολούμενοι, καὶ τὰ ἅγια βεβηλούμενα, καὶ κατὰ θυσιαστηρίων αἱρετικῶν ἐξορχουμένων (1)· ταῦτα δὲ ἡμῶν ἤδη τὰ νοσήματα, καὶ προφανέντα καὶ προκηρυχθέντα ὑπὸ τοῦ μεγάλου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ περιβοήτου (2) τὸ τέλος ἐλάμβανον· καὶ πέμπεται ἐνταῦθα Γρηγόριος ὁ μέγας πατὴρ ἡμῶν καὶ θεολόγος, καὶ τῇ σφενδόνῃ τῆς ἀληθοῦς ὁμολογίας, λιθοβολεῖ τοὺς ἀλλεφύλους· καὶ διαλύει τὰς πράξεις αὐτῶν, καὶ πάσας τὰς ἐκκλησίας ἀναλαμβάνει ὑπὸ τῶν Ἀρειανῶν, καὶ Πνευματομάχων, καὶ Ἀπολιναριστῶν, τῶν ἄνευν λεγόντων τὸν κυριακὸν ἄνθρωπον· κατασχεθέντος Παύλου τοῦ ὁμολογητοῦ καὶ πατριάρχου ἡμῶν, καὶ προαποκτανθέντος ὑπὲρ τῆς καλῆς ὁμολογίας (3), καὶ τῶν αὐτοῦ νοταρίων Μαρκιανοῦ καὶ Μαρτυρίου.

3. De homicidis et latronibus 476.

4. Quod ii qui excommunicationis poena multati sunt, in mortis articulo tamen debent communicare. Quid vero iis faciendum, si ob eam causam ad communionem admissi, postea convaluerint? 478.

5. De eo qui nocturnam illusionem passus est; vel qui post habitam cum uxore rem, communicare vult; quotque ideo diebus invicem abstinere debeant? 478.

6. Utrum fiat oblatio pro eo qui semet interemit 479.

7. De eo qui habens uxorem daem[redacted]am, aliam ducere vellet 479.

FINIS TITULORUM.

ΤΙΤΛΟΣ Α.

ΠΕΡΙ ΘΕΟΛΟΓΙΑΣ ΚΑΙ ΟΡΘΟΔΟΞΟΥ ΠΙΣΤΕΩΣ ΚΑΙ ΚΑΝΟΝΩΝ ΚΑΙ ΧΕΙΡΟΤΟΝΙΩΝ.

TITULUS I.

DE THEOLOGIA ET FIDE ORTHODOXA ET CANONIBUS ATQUE ORDINATIONIBUS.

ΚΕΦ. Α.

Περὶ Θεολογίας καὶ ὀρθοδόξου πίστεως, ἀποστόλων κανὼν μθ΄ ν΄.

μθ΄ Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, κατὰ τὴν τοῦ κυρίου διάταξιν, μὴ βαπτίσει εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἀλλ' εἰς τρεῖς ἀνάρχους, ἢ εἰς τρεῖς υἱοὺς, ἢ εἰς τρεῖς παρακλήτους, καθαιρείσθω.

ν΄ Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, μὴ τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελέσει, ἀλλ' ἓν βάπτισμα τὸ εἰς τὸν θάνατον τοῦ κυρίου διδόμενον, καθαιρείσθω· οὐ γὰρ εἶπεν ὁ κύριος εἰς τὸν θάνατόν μου, βαπτίσατε· ἀλλὰ πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Συνόδου Κωνσταντινοπόλεως κανὼν α΄ ε΄.

α΄ Μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν πατέρων, τῶν τιη΄, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελθόντων, ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθεματισθῆναι πᾶσαν αἵρεσιν· καὶ ἰδικῶς, τὴν τῶν εὐνομιανῶν, εἴτουν ἀνομοίων· καὶ τὴν τῶν ἀρειανῶν,

εἴτουν εὐδοξιανῶν· καὶ τὴν τῶν ἡμιαρείων, εἴτουν πνευματομάχων· καὶ τὴν τῶν σαβελλιανῶν, καὶ τὴν τῶν μαρκελλιανῶν, καὶ τὴν τῶν φωτεινιανῶν, καὶ τὴν τῶν ἀπολιναριανῶν.

ε' Περὶ τοῦ τόμου τῶν δυτικῶν καὶ τῆς ἐν Ἀντιοχείᾳ, ἀπεδεξάμεθα τοὺς μίαν ὁμολογοῦντας πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος θεότητα.

Συνόδου Ἐφέσου κανὼν ζ'.

ζ Τούτων τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προσφέρειν, ἤγουν συγγράφειν ἢ συντιθέναι, παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων συναχθέντων σὺν ἁγίῳ πνεύματι.

Συνόδου Καρθαγένης κανὼν β'.

β' Περὶ κηρυκτέας τῆς ἁγίας τριάδος, σύμπασα ἡ σύνοδος εἶπεν. Θέλοντος τοῦ θεοῦ, ἴσῃ ὁμολογίᾳ ἡ ἐκκλησιαστικὴ πίστις ἡ δι' ἡμῶν παραδιδομένη ἐν ταύτῃ τῇ ἐνδόξῳ συνελεύσει πρωτοτύπως ὁμολογητέα ἐστὶ· βεβαιωτέας δὲ τὰς τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν τῶν ἔναγχος χειροτονηθέντων διανοίας· ταῦτα δεῖ προσθεῖναι ἃ παρὰ τῶν πατέρων βεβαίᾳ διατυπώσει παρελάβομεν, ὥστε τῆς τριάδος, τουτέστι τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τὴν ἑνότητα, τὴν μηδεμίαν ἔχειν διαφορὰν γινωσκομένην· ἣν ταῖς ἡμετέραις διανοίαις ἐγκαθιερωθεῖσαν κατέχομεν· καὶ καθὼς ἐμάθομεν, οὕτω τοὺς λαοὺς τοῦ θεοῦ διδάξωμεν. Ὁμοίως ἀπὸ πάντων τῶν ἐπισκόπων τῶν ἔναγχος πραχθέντων, ἐλέχθη φανερῶς. Οὕτως δεχόμεθα, οὕτως κατέχομεν, οὕτως διδάσκομεν, τῇ πίστει τῇ εὐαγγελικῇ ἅμα τῇ ὑμετέρᾳ διδασκαλίᾳ ἑπόμενοι.

Συνόδου οἰκουμενικῆς ς', κανὼν α' σγ' πά.

α' Τάξις ἀρίστη παντὸς ἀρχομένου καὶ λόγου καὶ πράγμα-

τος, ἐκ Θεοῦ τὲ ἄρχεσθαι καὶ εἰς Θεὸν ἀναπαύεσθαι, κατὰ τὴν Θεολόγον φωνήν· ὅθεν καὶ τῆς εὐσεβείας ὑφ' ἡμῶν ἤδη διαπρυσίως κηρυττομένης, καὶ τῆς ἐκκλησίας ἐφ' ᾗ Χριστὸς τεθεμέλίωται, διηνεκῶς αὐξανούσης καὶ προκοπτούσης, ὡς τῶν τοῦ Λιβάνου κέδρων ταύτην ὑπερεκτείνεσθαι· καὶ νῦν ἀρχὴν τῶν ἱερῶν ποιούμενοι λόγων, χάριτι Θείᾳ ὁρίζομεν ἀκαινοτόμητά τε καὶ ἀπαράτρωτα φυλάττειν τὴν παραδοθεῖσαν πίστιν ἡμῖν ὑπό τε τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ λόγου, τῶν Θεοκρίτων ἀποστόλων, ἔτι δὲ καὶ τῶν τῇ ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, ἐπὶ Κωνσταντίνου τοῦ γενομένου ἡμῶν βασιλέως, κατὰ Ἀρείου τοῦ δυσσεβοῦς, καὶ τῆς παρ' αὐτοῦ δογματισθείσης ἐθνικῆς ἑτεροθείας, ἢ πολυθείας εἰπεῖν οἰκειότερον, οἳ τῇ ὁμογνωμοσύνῃ τῆς πίστεως, τὸ ὁμοούσιον ἡμῖν ἐστὶ τῶν τριῶν τῆς Θεαρχικῆς φύσεως ὑποστάσεων, ἀπεκάλυψάν τε καὶ διετράνωσαν· μὴ ἐπικεκρύφθαι τῷ μοδίῳ τῆς ἀγνωσίας τοῦτο παραχωρήσαντες, ἀλλὰ τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα, προσκυνεῖν μιᾷ προσκυνήσει, τοὺς πιστοὺς ἀναφανδὸν ἐκδιδάξαντες, καὶ τήν τε τῶν ἀνίσων βαθμῶν τῆς Θεότητος δόξαν, καθελόντες καὶ διαστάσαντες· τά τε ὑπὸ τῶν αἱρετικῶν συστάντα ἐκ ψάμμου κατὰ τῆς ὀρθοδοξίας μειρακιώδη ἀθύρματα, καταβαλόντες καὶ ἀνατρέψαντες· ὡσαύτως δὲ καὶ τὴν ἐπὶ τοῦ μεγάλου Θεοδοσίου τοῦ γενομένου ἡμῶν βασιλέως, ὑπὸ τῶν ἐν ταύτῃ βασιλίδι πόλει συναχθέντων ρν' ἁγίων πατέρων κηρυχθεῖσαν πίστιν, κρατύνομεν· τὰς Θεολόγους περὶ τοῦ ἁγίου πνεύματος φωνὰς ἀσπαζόμενοι, καὶ τὸν βέβηλον Μακεδόνιον τοῖς προτέροις ἐχθροῖς τῆς ἀληθείας συνεξελαύνοντες, ὡς δοῦλον τὸ δεσπόζον αὐθαδῶς δοξάσαι τολμήσαντα, καὶ σχίσαι τὴν ἄτμητον τριάδα λῃστρι-

κῶς προελόμενον· ὡς ἂν μὴ ἐντελὲς ἡμῖν τὸ τῆς ἐλπίδος εἴη μυστήριον· τῷ βδελυρῷ τούτῳ καὶ κατὰ τῆς ἀληθείας λυττήσαντι, καὶ Ἀπολιναρίου τὸν τῆς κακίας μύστην συγκαταχρίνοντες, ὃς ἄνουν τὸν κύριον ἀνειληφέναι σῶμα, δυσσεβῶς ἐξηρεύξατο· ἐντεῦθεν καὶ οὗτος ἡμῖν ἀτελῆ τὴν σωτηρίαν γενέσθαι συλλογιζόμενος· ἀλλὰ μὴν καὶ τὰ παρὰ τῶν ἐν τῇ Ἐφεσίων πόλει τὸ πρότερον συναχθέντων ἐπὶ Θεοδοσίου τοῦ υἱοῦ Ἀρκαδίου, γενομένου ἡμῶν βασιλέως, διακοσίων θεοφόρων πατέρων ἐκτεθέντα διδάγματα, ὡς κράτος ἀρραγὲς τῆς εὐσεβείας ἐπισφραγίζομεν, ἕνα Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ σαρκωθέντα κηρύττοντες· καὶ τὴν αὐτὸν ἀσπόρως τεκοῦσαν ἄχραντον ἀεὶ παρθένον, κυρίως καὶ κατὰ ἀλήθειαν, θεότοκον δοξάζοντες· καὶ τὴν ληρώδη τοῦ Νεστορίου διαίρεσιν, ὡς ἀπῳκισμένην θείας μοίρας ἀποδιώκοντες, ἄνθρωπον ἰδικῶς, καὶ θεὸν ἰδικῶς, τὸν ἕνα Χριστὸν δογματίζοντες, καὶ τὴν ἰουδαϊκὴν ἀνανεοῦντος δυσσέβειαν· οὐ μὴν ἀλλὰ καὶ τὴν ἐν Χαλκηδονέων μετροπόλει ἐπὶ Μαρκιανοῦ, καὶ αὐτοῦ γενομένου ἡμῶν βασιλέως, τῶν χλ' θεοκρίτων πατέρων στηλογραφηθεῖσαν πίστιν, ὀρθοδόξως ἐπικυροῦμεν· ἥ τις τὸν ἕνα Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, ἐκ δύο συντεθέντα τῶν φύσεων, καὶ ἐν δύο ταῖς αὐταῖς δοξαζόμενον φύσεσι, μεγαλοφώνως τοῖς πέρασι παραδέδωκε· καὶ Εὐτυχέα τὸν ματαιόφρονα, τὸν δοκήσει τὸ μέγα τῆς οἰκονομίας μυστήριον τελεσθῆναι ἀποφηνάμενον, ὡς ἀποτρόπαιόν τι καὶ μίασμα, τῶν ἱερῶν τῆς ἐκκλησίας περιβόλων ἀπήλασε· σὺν αὐτῷ δὲ καὶ Νεστόριον καὶ Διόσκορον, τὸν μὲν τῆς διαιρέσεως, τὸν δὲ τῆς συγχύσεως ὑπερασπιστήν τε καὶ προμάχον, τοὺς ἐκ διαμέτρου τῆς ἀσεβείας πρὸς ἓν ἐκπεπτωκότας ἀπωλείας καὶ ἀθεότητος βάραθρον· ἀλλά γε καὶ τὰς εὐσεβεῖς φωνὰς τῶν

ρξέ Θεοφόρων μακαρίων πατέρων τῶν κατὰ ταύτην τὴν βασιλίδα πόλιν συναγηγερμένων ἐπὶ Ἰουστινιανοῦ τοῦ τῆς εὐσεβοῦς λήξεως γενομένου ἡμῶν βασιλέως, ὡς ὑπὸ τοῦ πνεύματος ἐξενεχθείσας γινώσκομεν, καὶ τοὺς ὑφ' ἡμᾶς ἐκδιδάσκομεν· ἃ Θεόδωρον τὸν Μοψουεστίας τὸν Νεστορίου διδάσκαλον, Ὠριγένην τε καὶ Δίδυμον καὶ Εὐάγριον, τοὺς τὰς ἑλληνικὰς ἀνατλασαμένους μυθοποιΐας, καὶ σωμάτων τινῶν καὶ ψυχῶν ἡμῖν περιόδους καὶ ἀλλοιώσεις ἀναπεμπάσαντας ταῖς τοῦ νοῦ παραφοραῖς τε καὶ ἐνειρώξεσι, καὶ εἰς τὴν τῶν νεκρῶν δυσσεβῶς ἐμπαρεινήσαντας ἀναβίωσιν, τά τε γραφέντα παρὰ Θεοδωρίτου κατὰ τῆς ὀρθῆς πίστεως καὶ τῶν ιβ' κεφαλέων τοῦ μακαρίου Κυρίλλου, καὶ τὴν λεγομένην Ἴβα ἐπιστολὴν, συνοδικῶς ἀνεθεμάτισάν τε καὶ ἐβδελύξαντο· καὶ τὴν ὑπὸ τῆς ἐναγχός τε συναθροισθείσης κατὰ ταύτην τὴν βασιλίδα πόλιν, ἐπὶ τοῦ ἐν θείᾳ τῇ λήξει γενομένου ἡμῶν βασιλέως Κωνσταντίνου ἐκ τῆς ἁγίας συνόδου πίστιν, ἣ μειζόνως τὸ κῦρος ἐδέξατο, δι' ὧν ὁ εὐσεβὴς βασιλεὺς σφραγῖσι τοὺς ταύτης τόμους κατησφαλίσατο, πρὸς τὴν ἐν τῷ παντὶ αἰῶνι ἀσφάλειαν, καὶ αὖθις ὁμολογοῦμεν φυλάττειν ἀπαρεγχείρητον· ἢ δύο φυσικὰς θελήσεις, ἢ τοι θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας, ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ, δοξάζειν ἡμᾶς θεοφιλῶς διεσάφησε· τοὺς τὸ εὐθὲς τῆς ἀληθείας δόγμα παραχαράξαντας, καὶ ἓν θέλημα καὶ μίαν ἐνέργειαν, ἐπὶ τοῦ ἑνὸς κυρίου τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ τοὺς λαοὺς ἐκδιδάξαντας, τῇ τῆς εὐσεβείας ψήφῳ καταδικάσασα· φαμὲν Θεόδωρον τὸν τῆς Φαρὰν, Κῦρον τὸν Ἀλεξανδρείας, Ὀνώριον τὸν Ῥώμης (1), Σέργιον,

(1) De qualicumque Honorii in sexta synodo damnatione,

Πύῤῥον, Παῦλον, Πέτρον, τοὺς ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πρεσβεύσαντας πόλει, Μακάριον τὸν γενόμενον τῆς Ἀντιοχέων ἐπίσκοπον, Στέφανον τὸν αὐτοῦ μαθητὴν, καὶ τὸν ἄφρονα Πολυχρόνιον· ἐντεῦθεν ἀνέσαφον τηροῦσα τὸ καινὸν σῶμα Χριστοῦ τοῦ θεοῦ ἡμῶν· καὶ συνελόντι φάναι πάντων τῶν ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ διαπρεψάντων ἀνδρῶν, οἳ γεγόνασιν ἐν κόσμῳ φωστῆρες, λόγον ζωῆς ἐπέχοντες τὴν πίστιν κρατεῖν βεβαίαν· καὶ μέχρι συντελείας τοῦ αἰῶνος ἀσάλευτον διαμένειν θεσπίζομεν, καὶ τὰ αὐτῶν θεσπαράδοτα συγγράμματά τε καὶ δόγματα· πάντας ἀποβαλλόμενοί τε καὶ ἀναθεματίζοντες ὡς τῆς ἀληθείας ἐχθροὺς, καὶ κατὰ θεοῦ φρυαξαμένους κενὰ, καὶ ἀθεΐαν εἰς ὕψος ἐκμελετήσαντας· εἰ δέ τις τῶν ἁπάντων· καὶ τὰ προειρημένα τῆς εὐσεβείας δόγματα κρατεῖν ἀσπάζεται, καὶ σῦτως δεξάζει τε καὶ κηρύττει, ἀλλ' ἐξ ἐναντίας ἰέναι τούτων ἐπιχειρεῖ, ἔστω ἀνάθεμα, κατὰ τὸν ἤδη προεκτεθέντα ὅρον ὑπὸ τῶν προδηλωθέντων ἁγίων καὶ μακαρίων πατέρων, καὶ τοῦ χριστιανῶν καταλόγου ὡς ἀλλότριος ἐξωθείσθω καὶ ἐκριπτέσθω· ἡμεῖς γὰρ σῦτε προστιθέναι τί, σῦτε μὴν ὑφαιρεῖν κατὰ τὰ προειρημένα, παντελῶς διεγνώκαμεν, ἢ καθ' ἐντιναοῦν δεδυνήμεθα λόγον.

Κανὼν ογ'.

ογ' Τοῦ ζωποιοῦ σταυροῦ δείξαντος ἡμῖν τὸ σωτήριον, πᾶ-

diutius non est disputandum post Baronium consecutosque polemicos plurimos. Ego hoc unum adnotabo, quod nempe in libello synodico apud Iustellum iur. can. gr. T. II. p. 1205–1209. in tot aliis synodicis damnationibus monothelitarum Sergii, Pyrrhi, et Cyri, Honorii nomen prorsus reticetur; quae res sine veritatis impulsu fieri tam concorditer a Graecis, Italis, Afrisque non potuit.

σαν σωσυδὴν ἡμᾶς τιθέναι χρὴ τοῦ τιμὴν τὴν ἀξίαν ἀποδιδόναι τῷ δι' οὗ σεσώσμεθα τοῦ παλαιοῦ παραπτώματος· ὅθεν καὶ νῷ καὶ λόγῳ καὶ αἰσθήσει, τὴν προσκύνησιν αὐτῷ ἀπονέμοντες, τοὺς ἐν τῷ ἐδάφει τοῦ σαυροῦ τύπους ὑπό τινων κατασκευαζομένους, ἐξαφανίζεσθαι παντοίως προστάσσομεν· ὡς ἂν μὴ τῇ τῶν βαδιζόντων καταπατήσει, τὸ τῆς νίκης ἡμῖν τρόπαιον ἐξυβρίζοιτο· τοὺς οὖν ἀπὸ τοῦ νῦν σαυροῦ τύπον ἐπὶ ἐδάφους κατασκευάζοντας, ὁρίζομεν ἀφορίζεσθαι.

Κανὼν πα'.

Ἐπειδή περ ἔν τισι χώραις μεμαθήκαμεν, ἐν τῷ τρισαγίῳ ὕμνῳ, ἐν προσθήκης μέρει ἐκφωνεῖσθαι μετὰ τὸ Ἅγιος ἀθάνατος, ὁ σταυρωθεὶς δι' ἡμᾶς ἐλέησον ἡμᾶς, τοῦτό τε ὑπὸ τῶν πάλαι ἁγίων πατέρων, ὡς τῆς εὐσεβείας ἀλλότριον ἐκ τοῦ τοιούτου ἀπηλάθη ὕμνου, σὺν τῷ τὴν τοιαύτην φωνὴν καινουργήσαντι παρανόμῳ αἱρετικῷ· καὶ ἡμεῖς κυροῦντες τὰ περὶ τῶν ἁγίων πατέρων ἡμῶν πρὶν εὐσεβῶς θεσμοθετηθέντα, ἀναθεματίζομεν τοὺς ἔτι μετὰ τὸν παρόντα ὅρον παραδεχομένους τὴν τοιαύτην οὕτω φωνὴν ἐπ' ἐκλησίαις, ἢ ἄλλως πῶς τῷ τρισαγίῳ ὕμνῳ συνάπτοντας· καὶ εἰ μὲν ἱερατικός ἐστιν ὁ παραβάτης τῶν ὁρισθέντων, ἀπογυμνοῦσθαι τοῦτον τῆς ἱερατικῆς ἀξίας προστάσσομεν· εἰ δὲ λαϊκὸς ἢ μοναχός, ἀφορίζεσθαι. πα'

βιβλίον α', τίτ. α', διάταξις α' ε' ς' ζ' η'.

ΚΕΦ. Β.

Ποίους δεῖ κανόνας κρατεῖν.

Συνόδου Χαλκηδόνος κανὼν α'.

Τοὺς παρὰ τῶν ἁγίων πατέρων καθ' ἑκάστην σύνοδον ἄχρι τοῦ νῦν ἐκτεθέντας κανόνας, κρατεῖν ἐδικαιώσαμεν. α'

Συνόδου Καρθαγέννης κανὼν α'.

α' Ταῦτα οὕτως παρ' ἡμῖν ἔχοντα τὰ ἴσα τῶν ὁρισθέντων, ἅπερ τότε οἱ πατέρες ἡμῶν ἐκ τῆς ἐν Νικαίᾳ συνόδου μεθ' ἑαυτῶν κατήγαγον· ἧς τὸν τύπον φυλάττοντα τὰ ἑπόμενα καὶ ὁρισθέντα παρ' ἡμῶν, βεβαιωθέντα φυλαχθῶσιν.

Συνόδου οἰκουμενικῆς ς', κανὼν β'.

β' Ἔδοξε δὲ καὶ τοῦτο τῇ ἁγίᾳ ταύτῃ συνόδῳ κάλλιστά τε καὶ σπουδαιότατα, ὥστε μένειν καὶ ἀπὸ τοῦ νῦν βεβαίους καὶ ἀσφαλεῖς, πρὸς ψυχῶν θεραπείαν καὶ ἰατρείαν παθῶν, τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων καὶ μακαρίων πατέρων λεχθέντας καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν, ὀνόματι τῶν ἁγίων καὶ ἐνδόξων ἀποστόλων, πέ κανόνας· ἐπειδὴ δὲ ἐν τούτοις τοῖς κανόσιν ἐντέταλται, δέχεσθαι ἡμᾶς τὰς τῶν αὐτῶν ἁγίων ἀποστόλων διὰ Κλήμεντος διατάξεις, αἷς τισι πάλαι ὑπὸ τῶν ἑτεροδόξων, ἐπὶ λύμῃ τῆς ἐκκλησίας, νόθα τινὰ καὶ ξένα τῆς εὐσεβείας παρενετέθησαν, τὸ εὐπρεπὲς κάλλος τῶν θείων δογμάτων ἡμῖν ἀμαυρώσαντα, τὴν τῶν τοιούτων διατάξεων προσφόρως ἀποβολὴν πεποιήμεθα πρὸς τὴν τοῦ χριστιανικωτάτου πλημμέλειαν οἰκοδομὴν καὶ ἀσφάλειαν, οὐδαμῶς ἐγκρίνοντες τὰ τῆς αἱρετικῆς ψευδολογίας κηήματα, καὶ τῇ γνησίᾳ τῶν ἀποστόλων καὶ ὁλοκλήρῳ διδαχῇ παρενείροντες· ἐπισφραγίζομεν δὲ καὶ τοὺς λοιποὺς πάντας ἱεροὺς κανόνας, ὑπὸ τῶν ἁγίων καὶ μακαρίων πατέρων ἡμῶν ἐκτεθέντας, τουτέστι τῶν τε ἐν Νικαίᾳ συναθροισθέντων τιὴ ἁγίων πατέρων, καὶ τῶν ἐν Ἀγκύρᾳ, ἔτι μὴν καὶ τῶν ἐν Νεοκαισαρείᾳ, ὡσαύτως καὶ τῶν ἐν Γάγγραις, πρὸς δὲ καὶ τῶν ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἀλλὰ μὴν καὶ τῶν ἐν Λαοδικείᾳ τῆς Φρυγίας, ὡσαύτως καὶ τῶν ἐν Σαρδικῇ, ἔτι μὴν καὶ τῶν ἐν Καρθαγέννῃ, προσέτι καὶ

τῶν ργ΄ τῶν ἐν ταύτῃ τῇ Θεοφυλάκτῳ καὶ βασιλίδι συνελθόντων πόλει, ἐπὶ Νεκταρίου τοῦ τῆς βασιλίδος ταύτης πόλεως προέδρου, καὶ Τιμοθέου τοῦ γενομένου Ἀλεξανδρείας ἀρχιεπισκόπου· ἀλλὰ μὴν καὶ τοὺς Διονυσίου ἀρχιεπισκόπου γενομένου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, καὶ Πέτρου ἀρχιεπισκόπου τῆς αὐτῆς Ἀλεξανδρέων καὶ μάρτυρος, Γρηγορίου ἐπισκόπου γενομένου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ, Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας, Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, Γρηγορίου ἐπισκόπου Νύσσης, Γρηγορίου τοῦ Θεολόγου, Ἀμφιλοχίου τοῦ Ἰκονίου, Τιμοθέου ἀρχιεπισκόπου γενομένου Ἀλεξανδρείας τοῦ προτέρου, Θεοφίλου ἀρχιεπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, καὶ Κυρίλλου, καὶ Γενναδίου πατριάρχου γενομένου τῆς Θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, ἔτι μὴν καὶ τὸν ὑπὸ Κυπριανοῦ τοῦ γενομένου ἀρχιεπισκόπου τῆς Ἄφρων χώρας καὶ μάρτυρος καὶ τῆς κατ' αὐτὸν συνόδου ἐκτεθέντα κανόνα· ὃς ἐν τοῖς τῶν προειρημένων προέδρων τόποις καὶ μόνον, κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος ἐκράτησε, καὶ μηδενὶ ἐξεῖναι τοὺς προδηλωθέντας παραχαράττειν κανόνας, ἢ ἀθετεῖν, ἢ ἑτέρους παρὰ τοὺς προκειμένους παραδέχεσθαι κανόνας, ψευδεπιγράφως ὑπό τινων συντεθέντας, τῶν τὴν ἀλήθειαν καπηλεύειν ἐπιχειρησάντων· εἰ δέ τις ἀλῷ κανόνα τινὰ τῶν εἰρημένων καινοτομῶν, ἢ ἀνατρέπειν ἐπιχειρῶν, ὑπεύθυνος ἔσαι κατὰ τὸν τοιοῦτον κανόνα· ὡς αὐτὸς διαγορεύει, τὴν ἐπιτιμίαν δεχόμενος, καὶ δι' αὐτοῦ ἐν ᾧπερ πταίει θεραπευόμενος.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν α΄ β΄.

Τοῖς τὴν ἱερατικὴν λαχοῦσιν ἀξίαν, μαρτύριά τε καὶ α΄ κατερθώματα, αἱ τῶν κανονικῶν διατάξεων ὑποτυπώσεις εἰ-

σὺν· ἃς δεχόμενοι ἀσμένως, μετὰ τοῦ Θεοφάντορος Δαβὶδ ᾄδομεν πρὸς τὸν δεσπότην Θεὸν λέγοντες, ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ· καὶ ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με καὶ ζήσομαι με· καὶ εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὴ ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δῆλον ἀκράδαντα καὶ ἀσάλευτα διαμένουσιν· ὅτι καὶ ὁ Θεόπτης Μωϋσῆς οὕτω φησὶν· ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφαιρεῖν· καὶ ὁ Θεῖος ἀπόστολος Πέτρος ἐν αὐτοῖς ἐγκαυχώμενος βοᾷ· εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι· καὶ ὁ Παῦλος φησὶ· κἂν ἡμεῖς ἢ ἄγγελος εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· τούτων οὖν οὕτως ὄντων καὶ διαμαρτυρομένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕροι σκύλα πολλὰ, ἀσπασίως τοὺς θείους κανόνας ἐνσερνιζόμεθα, καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευτον κρατύνομεν, τῶν τε ἐκτεθέντων ὑπὸ τῶν ἁγίων σαλπίγγων τοῦ πνεύματος πανευφήμων ἀποστόλων, τῶν τε ἐξ ἁγίων οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων διαταγμάτων, καὶ τῶν ἁγίων πατέρων ἡμῶν· ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ πνεύματος αὐγασθέντες, ὥρισαν τὰ συμφέροντα· καὶ οὓς μὲν τῷ ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ τῇ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν· ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν, ὁ βεβηκὼς εἰς τρίτον οὐρανὸν, καὶ ἀκούσας ἄῤῥητα ῥήματα, Παῦλος ὁ Θεῖος ἀπόστολος, διαῤῥήδην βοᾷ.

Ὅτι δεῖ τὸν χειροτονούμενον ἐπίσκοπον ἀσφαλῶς
συντάσσεσθαι, τοὺς κανόνας φυλάττειν·
εἰ δὲ μή γε, μὴ χειροτονεῖσθαι.

Ἐπειδή περ ψάλλοντες συντασσόμεθα τῷ Θεῷ, ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου, πάντας μὲν χριστιανοὺς τοῦτο φυλάττειν σωτήριον, κατ' ἐξαίρετον δὲ τοὺς τὴν ἱερατικὴν ἀμπεχομένους ἀξίαν· ὅθεν ὁρίζομεν πάντα τὸν προάγεσθαι μέλλοντα εἰς τὸν τῆς ἐπισκοπῆς θρόνον, πάντως ψαλτῆρα γινώσκειν· ἵνα ὡς ἐκ τούτου, καὶ πάντα τὸν κατ' αὐτὸν κλῆρον, οὕτω νουθετῇ μυεῖσθαι· ἀνακρίνεσθαι δὲ ἀσφαλῶς ὑπὸ τοῦ μετροπολίτου, εἰ προθύμως ἔχει ἀναγινώσκειν, ἐρευνητικῶς καὶ οὐ παρσευτικῶς, τούς τε ἱεροὺς κανόνας, τὸ ἅγιον εὐαγγέλιον, τήν τε τοῦ Θείου ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν γραφήν· καὶ κατὰ τὰ θεῖα ἐντάλματα ἀναστρέφεσθαι, καὶ διδάσκειν τὸν κατ' αὐτὸν λαόν· οὐσία γὰρ τῆς καθ' ἡμᾶς ἱεραρχίας ἐστὶ τὰ θεοπαράδοτα λόγια, ἤγουν ἡ τῶν θείων γραφῶν ἀληθινὴ ἐπιστήμη, καθὼς ὁ μέγας ἀπεφήνατο Διονύσιος· εἰ δὲ ἀμφισβητοίη καὶ μὴ ἀσμενίζοι οὕτω ποιεῖν τε καὶ διδάσκειν, μὴ χειροτονεῖσθαι· ἔφη γὰρ προφητικῶς ὁ Θεός· σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι.

Συνόδου τῆς ἑνώσεως κανὼν δ'.

Ἡ τρίτη διάταξις τοῦ β' τίτλου τῶν νεαρῶν, τοὺς τῶν γ
τεσσάρων συνόδων κανόνας θέλει κρατεῖν, καὶ τὰ δόγματα αὐτῶν, ὡς τὰς θείας γραφάς· ἐν δὲ τῷ β' βιβλίῳ τοῦ κώδικος, τίτ. γ', διατάξει ιδ', καὶ ἡ α' καὶ ἡ δ' διάταξις τοῦ α' τίτλου τῶν νεαρῶν· πῇ μέν, ὅτι οἱ κανόνες ὡς νόμοι κρατοῦσι· πῇ δὲ, ὅτι τοῖς κανόσιν οἱ νόμοι ἀκολουθοῦσι· καὶ βιβλίῳ α', τίτλῳ β', διατάξει ιβ', ὅτι οἱ τοῖς κανόσιν ἐναντιούμενοι πραγματικοὶ, ἄκυροι εἰσίν.

ΚΕΦ. Γ.

Περὶ τοῦ φυλάττεσθαι τὸ ἄγραφον ἐκκλησιαστικὸν ἔθος, ὡς νόμιμον· καὶ ὅτι οὐκ ἔχομεν ἀνάγκην φυλάττειν τὰ τοῦ μωσαϊκοῦ νόμου.

Συνόδου οἰκουμενικῆς ς', κανὼν πβ'.

πβ' Ἐν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς, ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν, Χριστὸν τὸν Θεὸν ἡμῶν· τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι· ὡς ἂν οὖν τέλειον κἂν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ Θεοῦ ἡμῶν κατὰ τὸ ἀνθρώπινον χαρακτῆρα, καὶ ἐν ταῖς εἰκόσιν ἀσὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ, ἀναζηλοῦσθαι ὁρίζομεν· δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου καταννοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐνσάρκου πολιτείας, τοῦ τε πάθους αὐτοῦ τοῦ καὶ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως.

Τοῦ ἁγίου Βασιλείου πρὸς Διόδωρον τὸν Ταρσοῦ κατὰ τῶν δύο ἀδελφὰς γαμούντων, ἢ ἀδελφαῖς δυσὶ γαμουμένων.

Ἀφίκετο ἡμῖν γράμματα τὴν ἐπιγραφὴν ἔχοντα Διοδώρου, τὰ δ' ἐφεξῆς ἄλλου τινὸς πρέποντα εἶναι μᾶλλον, ἢ Διοδώρου, δοκεῖ γάρ μοι τίς τῶν τεχνικῶν, τὸ σὸν πρόσω-

πεν ὑποδὺς, οὕτως ἑαυτὸν ἀξιόπιστον ἐθελῆσαι ποιῆσαι τοῖς ἀκροωμένοις· ὅς γε ἐρωτηθεὶς ὑπό τινος, εἰ θεμιτὸν αὐτὸν πρὸς γάμον ἀγαγέσθαι τῆς γυναικὸς τελευτησάσης τὴν ἀδελφὴν, οὐκ ἔφριξε τὴν ἐρώτησιν, ἀλλὰ καὶ πρᾴως ἤνεγκε τὴν ἀκοὴν· καὶ τὸ ἀσελγὲς ἐπιθύμημα πάνυ γενναίως αὐτῷ καὶ ἀγωνιστικῶς συγκατέπραξεν· εἰ μὲν οὖν παρῆν μοι τὸ γράμμα, αὐτὸ ἂν ἀπέστειλα, καὶ ἐξήρκεις σὺν τῷ τὲ ἀμύναι καὶ τῇ ἀληθείᾳ· ἐπεὶ δὲ ὁ θεῖος πάλιν ἀφείλετο, καὶ ὥστέρ τι τρόπαιον καθ' ἡμῶν περιέφερε κεκωλυκότων τὸ ἐξ ἀρχῆς, ἔγγραφον ἔχειν λέγων τὴν ἐξουσίαν, ἐπέστειλα νῦν σοι· ὥστε διπλῇ τῇ χειρὶ ἡμᾶς ἐλθεῖν ἐπὶ τὸν νόθον ἐκεῖνον λόγον, καὶ μηδεμίαν αὐτῷ ἰσχὺν καταλιπεῖν· ἵνα μὴ ἔχῃ βλάπτειν ῥᾳδίως τοὺς ἐντυγχάνοντας· πρῶτον μὲν οὖν ὃ μέγιστον ἐπὶ τῶν τοιούτων ἐστὶ, τὸ παρ' ἡμῖν ἔθος ὃ ἔχομεν προβάλλειν, νόμου δύναμιν ἔχον, διὰ τὸ ὑφ' ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν παραδοθῆναι· τοῦτο δὲ τοιοῦτόν ἐστιν, ἐάν τις πάθει ἀκαθαρσίας ποτὲ κρατηθεὶς ἐκπέσῃ πρὸς δυσῖν ἀδελφῶν ἄθεσμον κοινωνίαν, μήτε γάμον ἡγεῖσθαι τοῦτο, μήθ' ὅλως εἰς ἐκκλησίας πλήρωμα παραδέχεσθαι πρότερον· ἢ διαλῦσαι αὐτοὺς ἀπ' ἀλλήλων, ὥστε εἰ καὶ μηδὲν ἕτερον εἰπεῖν ἦν, ἐξήρκει τὸ ἔθος πρὸς τὴν τοῦ κακοῦ φυλακήν· ἐπεὶ δὲ ὁ τὴν ἐπιστολὴν γράψας, ἐπιχειρήματι κιβδήλῳ κακὸν τοσοῦτον ἐπειράθη τῷ βίῳ ἐπαγαγεῖν, ἀνάγκη μὴ δὲ ἡμᾶς τῆς ἐκ τῶν λογισμῶν βοηθείας ὑφέσθαι· καί τι γε ἐπὶ τῶν σφόδρα ἐναργῶν, μείζων ἐστὶ τοῦ λόγου ἡ παρ' ἑκάστῳ πρόληψις· γέγραπται, φησὶν, ἐν τῷ λευϊτικῷ· γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ· ἀντίζηλον ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς· δῆλον δὲ ἐκ τούτου εἶναι φησὶν, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης· πρὸς δὴ

τοῦτο πρῶτον μὲν ἐκεῖνο ἐρῶ, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λέγει· ἐπεὶ οὕτω γε καὶ περιτομῇ καὶ σαββάτῳ καὶ ἀποχῇ βρωμάτων ὑποκεισόμεθα· οὐ γὰρ δὴ ἐὰν μέν τι εὕρωμεν συντρέχον ἡμῶν ταῖς ἡδοναῖς, τῷ ζυγῷ τῆς δουλείας τοῦ νόμου ἑαυτοὺς ὑποθήσομεν· ἐὰν δέ τι φανῇ βαρὺ τῶν νομίμων, τότε πρὸς τὴν ἐν Χριστῷ ἐλευθερίαν ἀποδραμούμεθα· ἠρωτήθημεν εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ· εἴπομεν ὅπερ ἀσφαλὲς ἡμῖν καὶ ἀληθὲς, ὅτι οὐ γέγραπται· τὸ δὲ ἐκ τῆς τοῦ ἀκολούθου ἐπιφορᾶς τὸ σιωπηθὲν συλλογίζεσθαι, νομοθετοῦντος ἐστὶν, οὐ τὰ τοῦ νόμου λέγοντος· ἐπεὶ οὕτως γε ἐξέσται τῷ βουλομένῳ κατατολμῆσαι, καὶ ἔτι ζώσης τῆς γυναικὸς, λαμβάνειν τὴν ἀδελφὴν· τὸ γὰρ αὐτὸ τοῦτο σόφισμα, καὶ ἐπ' ἐκείνου ἁρμόζει· γέγραπται γάρ, φησιν, οὐ λήψῃ ἀντίζηλον· ὡς τήν γε ἔξω τοῦ ζήλου, λαβεῖν οὐκ ἐκώλυεν· ὁ δὴ συνηγορῶν τῷ πάθει, ἀζηλότυπον εἶναι διριεῖται τὸ ἦθος τῶν ἀδελφῶν· ἀνῃρημένης οὖν τῆς αἰτίας, δι' ἣν ἀπηγόρευσε τὴν ἀμφοτέρων συνοίκησιν, τί τὸ κωλύον ἔσαι λαμβάνειν τὰς ἀδελφάς; ἀλλ' οὐ γέγραπται ταῦτα, φήσομεν· ἀλλ' οὐδὲ ἐκεῖνα ὥρισται· ἡ δὲ ἔννοια τοῦ ἀκολούθου ὁμοίως ἀμφοτέροις τὴν ἄδειαν δίδωσιν· ἔδει δὲ μικρὸν ἐπὶ τὰ κατόπιν τῆς νομοθεσίας ἐπαναδραμόντα, ἀπηλλάχθαι πραγμάτων· ἔοικε γὰρ οὐ πᾶν εἶδος ἁμαρτημάτων περιλαμβάνειν ὁ νομοθέτης, ἀλλ' ἰδίως ἀπαγορεύειν τὰ τῶν αἰγυπτίων, ὅθεν ἀπῆρεν ὁ Ἰσραὴλ· καὶ τὰ τῶν χαναναίων, πρὸς οὓς μεθίσταται· ἔχει γὰρ οὕτως ἡ λέξις· κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου, ἐν ᾗ παῴκησατε ἐπ' αὐτῆς, οὐ ποιήσετε· καὶ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν, εἰς ἣν ἐγὼ εἰσάξω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύεσθε· ὥςε τοῦτο εἰκός που τὸ εἶδος τῆς

ἁμαρτίας, μὴ ἐμπολυτεύεσθαι τότε παρὰ τοῖς ἔθνεσι· διὸ μὴ δὲ τῆς ἐπ' αὐτῷ φυλακῆς προσδεηθῆναι τὸν νομοθέτην, ἀλλ' ἀρκεσθῆναι τῷ ἀδιδάκτῳ ἔθει, πρὸς τὴν τοῦ μύσους διαβολήν· πῶς οὖν τὸ μεῖζον ἀπαγορεύσας, τὸ ἔλαττον ἐσιώπησεν; ὅτι ἐθέκει πολλοὺς τῶν φιλοσόφων πρὸς τὸ ζώσαις ἀδελφαῖς συνοικεῖν, τὸ ὑπόδειγμα βλάπτειν τοῦ πατριάρχου· ἡμᾶς δὲ τί χρὴ ποιεῖν; τὰ γεγραμμένα λέγειν, ἢ τὰ σιωπηθέντα προσεργάζεσθαι; αὐτίκα τὸ μὴ δεῖν μιᾷ ἑταίρᾳ κεχρῆσθαι πατέρα καὶ υἱόν, ἐν μὲν τοῖς νόμοις τούτοις οὐ γέγραπται· παρὰ δὲ τῷ προφήτῃ μεγίστης κατηγορίας ἠξίωται· υἱὸς γάρ, φησι, καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο· πόσα δὲ εἴδη τῶν ἀκαθάρτων παθῶν ἄλλα, τὸ μὲν τῶν δαιμόνων διδασκαλεῖον ἐξεῦρεν, ἡ δὲ θεία γραφὴ ἀπεσιώπησε, τὸ σεμνὸν ἑαυτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταῤῥυπαίνειν οὐχ αἱρουμένη, ἀλλὰ γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέβαλεν· ὡς καὶ ὁ ἀπόστολος Παῦλος φησὶ, πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα μὴ δὲ ὀνομαζέσθω ὑμῖν, καθὼς πρέπει ἁγίαις, τῷ τῆς ἀκαθαρσίας ὀνόματι τάς τε τῶν ἀῤῥένων ἀῤῥητοποιΐας καὶ τὰς τῶν θηλειῶν περιλαμβάνων· ὥςε οὐ πάντως ἡ σιωπὴ ἄδειαν φέρει ταῖς φιληδόνοις· ἐγὼ δὲ οὐδὲ σεσιωπῆσθαι τὸ μέρος τοῦτο φημὶ, ἀλλὰ καὶ πάνυ σφοδρῶς ἀπηγορευκέναι τὸν νομοθέτην· τὸ γὰρ σὸν εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτῶν, ἐμπεριεκτικόν ἐςι καὶ τούτου τοῦ εἴδους τῆς οἰκειότητος· τί γὰρ ἂν γένοιτο οἰκειότερον ἀνδρὶ τῆς ἑαυτοῦ γυναικὸς; μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκὸς; οὐ γάρ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία· ὥστε διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει· ὡς γὰρ μητέρα γυναικὸς οὐ λήψεται, οὐδὲ θυγατέρα τῆς γυν-

κὸς, διότι μὴ δὲ τὴν ἑαυτοῦ μητέρα, μὴ δὲ τὴν ἑαυτοῦ θυγατέρα, οὕτως οὐδὲ ἀδελφὴν γυναικὸς, διότι μὴ δὲ ἀδελφὴν ἑαυτοῦ· καὶ τοῦτο ἀνάπαλιν, οὐδὲ τῇ γυναικὶ ἐξέσται τοῖς οἰκείοις τοῦ ἀνδρὸς συνοικεῖν, κοινὰ γὰρ ἐπ' ἀμφοτέροις τῆς συγγενείας τὰ δίκαια· ἐγὼ δὲ παντὶ τῷ περὶ γάμου βουλομένῳ διαμαρτύρομαι, ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ ὁ καιρὸς συνεσταλμένος ἐστὶν· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσιν· ἐὰν δέ μοι παραναγινώσκῃ τὸ αὐξάνεσθε καὶ πληθύνεσθε, καταγελῶ τοῦ τῶν νομοθεσιῶν τοὺς καιροὺς μὴ διακρίνοντος· πορνείας παραμυθία ὁ δεύτερος γάμος, οὐχὶ ἐφόδιον εἰς ἀσέλγειαν· εἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν, φησὶν, οὐχὶ δὲ γαμοῦντες παρανομείτωσαν· οἱ δὲ οὐδὲ πρὸς τὴν φύσιν ἀποβλέπουσιν, οἱ τὴν ψυχὴν λημῶντες τῷ πάθει τῆς ἀτιμίας, πάλαι διακρίνασαν τὰς τοῦ γένους προσηγορίας· ἐκ ποίας συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; ἀδελφοὺς αὐτοὺς ἀλλήλων; ἢ ἀνεψιοὺς προσεροῦσιν; ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν· μὴ ποιήσῃς ὦ ἄνθρωπε τὴν θείαν μητρυὰν τῶν νηπίων, μήτε δὲ τὴν μητρὸς τάξει περιθάλπειν ὀφείλουσαν, ταύτην ἐφοπλίσῃς ταῖς ἀμειλίκτοις ζηλοτυπίαις· μόνον γὰρ τὸ μίσος τῶν μητρυῶν, καὶ μετὰ θάνατον ἐλαύνει τὴν ἔχθραν, μᾶλλον δὲ οἱ μὲν ἄλλως πολέμιοι, τοῖς τεθνηκόσι στένδονται· αἱ δὲ μητρυιαὶ τοῦ μίσους μετὰ θάνατον ἄρχονται· κεφάλαιον δὲ τῶν εἰρημένων, εἰ μὲν νόμῳ ὁρμᾶται πρὸς τὸν γάμον, ἥνοικται πᾶσα ἡ οἰκουμένη· εἰ δὲ ἐμπαθὴς αὐτῷ ἡ σπουδὴ, διὰ τοῦτο καὶ πλέον ἀποκλεισθήτω· ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ, μὴ ἐν πάθει ἐπιθυμίας· πλείονά με λέγειν ὥρμημένον, τὸ μέτρον ἐπέχει τῆς ἐπιστολῆς· εὔχομαι δὲ, ἢ

τὴν παραίνεσιν ἡμῶν ἰσχυροτέραν τοῦ πάθους ἀποδειχθῆναι· ἢ μὴ ἐπιδημῆσαι τῇ ἡμετέρᾳ τὸ ἄγος τοῦτο, ἀλλ' ἐν οἷς ἂν ἐτολμήθη τόποις ἐναπομεῖναι.

Τοῦ αὐτοῦ ἐκ τοῦ κζ' κεφαλαίου τῶν περὶ τοῦ ἁγίου πνεύματος πρὸς τὸν μακάριον Ἀμφιλόχιον γεγραμμένων.

Τῶν ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων, τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν· τὰ δὲ, ἐκ τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἐν μυστηρίῳ παρεδεξάμεθα· ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν· καὶ τούτοις οὐδεὶς ἀντερεῖ, ὅς τις γε, κἂν κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται· εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιῳζῶντες τὸ κήρυγμα· οἷον, ἵνα τοῦ πρώτου καὶ κοινοτάτου πρῶτον μνησθῶ, τῷ τύπῳ τοῦ σταυροῦ τοὺς εἰς τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπικότας κατασημαίνεσθαι, τίς ὁ διὰ γράμματος διδάξας; τὸ πρὸς ἀνατολὰς τετράφθαι κατὰ τὴν προσευχὴν, ποῖον ἡμᾶς ἐδιδάξε γράμμα; τὰ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τῇ ἀναδείξει τοῦ ἄρτου τῆς εὐχαριστίας καὶ τοῦ ποτηρίου τῆς εὐλογίας, τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; οὐ γὰρ δὴ τούτοις ἀρκούμεθα, ὧν ὁ ἀπόστολος ἢ τὸ εὐαγγέλιον ἐπεμνήσθη, ἀλλὰ καὶ προλέγομεν καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα ῥοπὴν τὸ μυστήριον τὴν ἰσχὺν, ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες· εὐλογοῦμεν δὲ τὸ ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον· ἀπὸ ποίων ἐγγράφων; οὐκ ἀπὸ τῆς σιωπωμένης καὶ μυστικῆς παραδό-

σεως; τί δὲ; αὐτὴν τοῦ ἐλαίου τὴν χρίσιν τίς λόγος γεγραμμένος ἐδίδαξε; τὸ δὲ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον πόθεν; ἄλλα δὲ ὅσα περὶ τὸ βάπτισμα, ἀποτάσσεσθαι τῷ σατανᾷ καὶ τοῖς ἀγγέλου αὐτοῦ, ἐκ ποίας ἐστὶ γραφῆς; οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀπορρήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμοσύνῃ καὶ ἀπεριεργάστῳ σιγῇ οἱ πατέρες ἡμῶν ἐφύλαξαν; καλῶς ἐκεῖνο δεδιδαγμένοι, τῶν μυστηρίων τὰ σεμνὰ σιωπῇ διασώζεσθαι· ἃ γὰρ οὐδὲ ἐποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, τούτων πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν θριαμβεύειν ἐν γράμμασιν;

Καὶ μεθ' ἕτερα.

Οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων παραδόσεως, ὡς μὴ καταμεληθεῖσαν τῶν δογμάτων τὴν γνῶσιν, εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθειαν· ἄλλο γὰρ δόγμα καὶ ἄλλο κήρυγμα· τὰ μὲν γὰρ δόγματα σιωπᾶται, τὰ δὲ κηρύγματα δημοσιεύεται· σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ χρῆται ἡ γραφή, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν, πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές· τούτου χάριν πάντες μὲν ὁρῶμεν κατ' ἀνατολὰς ἐπὶ τῶν προσευχῶν· ὀλίγοι δὲ ἴσμεν, ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα τὸν παράδεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατὰ ἀνατολάς· καὶ ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ τοῦ σαββάτου, τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν· οὐ γὰρ μόνον ὡς συναναστάντες Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλοντες, ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς δεδομένης ἡμῖν χάριτος, διὰ τῆς κατὰ τὴν προσευχὴν στάσεως, ἑαυτοὺς ὑπομιμνήσκομεν, ἀλλ' ὅτι δοκεῖ πως τοῦ προσδοκωμένου αἰῶνος εἶναι εἰκών· διὸ καὶ ἀρχὴ οὖσα ἡμερῶν, οὐχὶ πρώτη παρὰ Μωϋσέως ἀλλὰ μία ὠνόμασται· ἐγένετο γάρ, φησιν, ἑσπέρα καὶ

ἐγένετο πρωὶ ἡμέρα μία, ὡς τῆς αὐτῆς ἀνακυκλουμένης πολλάκις· καὶ μία τοίνυν ἡ αὐτὴ καὶ ὀγδόη, τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην, ἧς καὶ ὁ ψαλμῳδὸς ἔν τισιν ἐπιγραφαῖς τῶν ψαλμῶν ἐπεμνήσθη· δι' ἑαυτῆς ἐμφανίζουσα τὴν μετὰ τὸν χρόνον τοῦτον κατάσασιν, τὴν ἄπαυσον ἡμέραν, τὴν ἀνέσπερον, τὴν ἀδιάδοχον, τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω αἰῶνα· ἀναγκαίως οὖν τὰς ἐν αὐτῇ τροσευχὰς ἑζῶτας ἀποπληροῦν τοὺς ἑαυτῆς τροφίμους ἡ ἐκκλησία παιδεύει, ἵνα τῇ συνεχεῖ ὑτομνήσει τῆς ἀτελευτήτου ζωῆς, τῶν πρὸς τὴν μετάσασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν· καὶ πᾶσα δὲ ἡ πεντηκοστὴ τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεως, ἀληθῶς ἐστὶν ὑπόμνημα· ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα ἑπτάκις ἑπταπλασιασθεῖσα, τὰς ἑπτὰ τῆς ἱερᾶς πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ· ἐκ πρώτης γὰρ ἀρχομένη, εἰς τὴν αὐτὴν καταλήγει, δι' ὁμοίων τῶν ἐν τῷ μέσῳ ἐξελιττομένη πεντηκοντάκις· διὸ καὶ αἰῶνα μιμεῖται τῇ ὁμοιότητι, ὥστερ ἐν κυκλικῇ κινήσει ἀτὸ τῶν αὐτῶν ἀρχομένη σημείων, καὶ εἰς τὰ αὐτὰ καταλήγουσα· ἐν ᾗ τὸ ὀρθιον σχῆμα τῆς τροσευχῆς τροτιμᾷν οἱ θεσμοὶ τῆς ἐκκλησίας ἡμᾶς ἐξεπαίδευσαν, ἐκ τῆς ἐναργοῦς ὑπομνήσεως οἱονεὶ μετοικίζοντες ἡμῶν τὸν νοῦν ἀπὸ τῶν παρόντων ἐπὶ τὰ μέλλοντα· καὶ καθ' ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν ἔργῳ δείκνυμεν, ὅτι καὶ διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς ἀναμαρτίας τοῦ κτίσαντος ἡμᾶς, εἰς οὐρανὸν ἀνεκλήθημεν· ἐπιλείψει με ἡ ἡμέρα, τὰ ἄγραφα τῆς ἐκκλησίας μυστήρια διηγούμενον· ἐῶ τἄλλα· αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως, πιστεύειν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἐκ ποίων γραμμάτων ἔχομεν; εἰ μὲν γὰρ ἐκ τῆς τοῦ βαπτίσματος παραδόσεως, κατὰ τὸ τῆς εὐσεβείας ἀκό-

λευθον, ὡς βαπτιζόμεθα οὕτω καὶ πιστεύειν ὀφείλοντες, ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν κατατιθέμεθα, συγχωρησάτωσαν ἡμῖν ἐκ τῆς αὐτῆς ἀκολουθίας, ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι· εἰ δὲ τὸν τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παραιτοῦνται, δότωσαν ἡμῖν τῆς τε κατὰ τὴν πίστιν ὁμολογίας, καὶ τῶν λοιπῶν ὧν ἀπηριθμησάμεθα, ἐγγράφους τὰς ἀποδείξεις· εἶτα τοσούτων ὄντων ἀγράφων, καὶ τοσαύτην ἐχόντων ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν ἐκ πατέρων εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσιν, ἣν ἡμεῖς ἐκ τῆς ἀνεπιτηδεύτου συνηθείας ταῖς ἀδιαστρόφοις τῶν ἐκκλησιῶν ἐναπομείνασαν εὕρομεν, οὐ μικρὸν τὸν λόγον ἔχουσαν οὐδὲ βραχεῖαν συντέλειαν, εἰς τὴν τοῦ μυστηρίου δύναμιν εἰσφερομένην;

Τοῦ αὐτοῦ ἐκ τοῦ κθ΄ τῆς αὐτῆς πραγματείας κεφαλαίου.

Πρός γε μὴν τὸ ἀμάρτυρον καὶ ἄγραφον εἶναι τὴν σὺν τῷ πνεύματι δοξολογίαν, ἐκεῖνο λέγομεν· ὅτι εἰ μὲν μηδὲν ἕτερον ἄγραφον, μὴ δὲ τοῦτο παραδεχθήτω, εἰ δὲ τὰ πλεῖστα τῶν μυστικῶν, ἀγράφως ἡμῖν ἐμπολιτεύεται, μετὰ πολλῶν ἑτέρων καὶ τοῦτο καταδεξώμεθα· ἀποστολικὸν δὲ ὄιμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν· ἐπαινῶ γάρ, φησιν ὑμᾶς, ὅτε πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε· καὶ τὸ, κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς· ὧν μάλιστα μία ἐστὶ καὶ ἡ παρεῦσα αὕτη, ἣν οἱ ἐξ ἀρχῆς διαταξάμενοι παραδιδόντες τοῖς ἑφεξῆς, συμπροῖσύσης ἀεὶ τῷ χρόνῳ τῆς χρήσεως, διὰ μακρᾶς τῆς συνηθείας ταῖς ἐκκλησίαις ἐγκατερρίζωσαν· ἆρ' οὖν, εἰ ὡς ἐν δικαστηρίῳ τῆς διὰ τῶν ἐγγράφων ἀποδείξεως ἀπορεῦντες, μαρτύρων ὑμῖν πλῆθος παρεστησάμεθα, οὐκ ἂν τῆς ἀφιείσης παρ'

ὑμῶν ψήφου τύχιμεν; ἐγὼ μὲν οὕτως εἶμαι· ἐπὶ στόματος γὰρ δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα· εἰ δὲ καὶ τὸν πολὺν χρόνον πρὸς ἡμῶν ὄντα ἐναργῶς ὑμῖν ἐπεδείκνυμεν, οὐκ ἂν ἐδόξαμεν ὑμῖν εἰκότα λέγειν, μὴ εἶναι καθ' ἡμῶν τὴν δίκην εἰσαγώγιμον ταύτην; δυσωπητικὰ γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεὶ πολιᾷ τινὶ τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα· καὶ ἐπὶ τοῦ πολιτικοῦ νόμου τὸ ἔθος, ὡς ἄγραφος νόμος ἰσχύει, ὅτε ἐν δικαστηρίῳ ἡ συνήθεια βεβαιωθῇ, καὶ ὅτε μὴ ἐγγράφῳ νόμῳ ἐναντιοῦται· εἰ δὲ ἔν τισι τόποις, μήτε συνήθειαν τοῦ ζητουμένου ἔστιν εὑρεῖν, τότε τῷ ἔθει Ῥώμης ἕπεσθαι δεῖ, ὡς τῶν διγέσων βιβλ. α' τίτ. γ' διγέστ. λβ' λγ' λδ' λε' λς' λζ' λή', καὶ βιβλ. ή τοῦ κώδ., τιτ. νβ' διατ. α' β' γ'· εἴρηται δὲ καὶ βιβλ. ν', τίτ. ιζ' διγές. ρπβ', ὅτι δυσχερῶς μὲν, ἔμως δὲ τοῦ δικαίου ἀπαιτοῦντος, παραβαίνομεν τὴν συνήθειαν.

ΚΕΦ. Δ.

Ὅτι οὐχ' ὑφ' ἑνὸς ἐπισκόπου, ἀλλ' ἀπὸ τῆς κοινότητος οἱ κανόνες ἐκτίθενται.

Βασιλείου κανὼν μζ.

Ἐγκρατῖται καὶ σακκοφόροι καὶ ἀποτακτῖται, τῷ αὐτῷ μζ
ὑπόκεινται λόγῳ ᾧ καὶ ναυατιανοί· ὅτι περὶ μὲν ἐκείνων, κανὼν ἐξεφωνήθη, εἰ καὶ διάφορος, τὰ δὲ κατὰ τούτους ἀποσεσιώπηται· ἡμεῖς μέν τοι, ἐνὶ λόγῳ ἀναβαπτίζομεν τοὺς τοιούτους· εἰ δὲ παρ' ὑμῖν ἀπηγόρευται τὸ τοῦ ἀναβαπτισμοῦ, ὥσπερ οὖν καὶ παρὰ ῥωμαίοις οἰκονομίας τινὸς ἕνεκα ἀθετεῖται τὸ βάπτισμα αὐτῶν, ἀλλ' ὁ ἡμέτερος λόγος ἰσχὺν ἐχέτω· ὅτι ἐπειδὴ ὥσπερ μαρκιωνιστῶν ἐστὶν ἀποβλάστημα

ἡ κατ' αὐτοὺς αἵρεσις, βδελυσσομένων τὸν γάμον καὶ ἀποστρεφομένων τὸν οἶνον, καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι λεγόντων, οὐ δεχόμεθα αὐτοὺς εἰς τὴν ἐκκλησίαν, ἐὰν μὴ βαπτισθῶσιν εἰς τὸ ἡμέτερον βάπτισμα· μὴ γὰρ λεγέτωσαν ὅτι εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ἐβαπτίσθημεν, εἴ γε κακῶν ποιητὴν ὑποτιθέμενοι τὸν Θεὸν, ἐφαμίλλως τῷ Μαρκίωνι καὶ ταῖς λοιπαῖς αἱρέσεσιν· ὥστε ἐὰν ἀφέσῃ τοῦτο, δεῖ πλείονας ἐπισκόπους ἐν ταυτῷ γενέσθαι· καὶ οὕτως ἐκθέσθαι τὸν κανόνα, ἵνα καὶ τῷ πιήσαντι τὸ ἀκίνδυνον ᾖ· καὶ ὁ ἀποκρινόμενος, τὸ ἀξιόπιστον ἔχῃ ἐν τῇ περὶ τοιούτων ἀποκρίσει.

ΚΕΦ. Ε.

Περὶ πατριαρχῶν καὶ μητροπολιτῶν, καὶ τῶν ἐν Ἀφρικῇ λεγομένων πριμάτων, ἀποστόλων κανὼν λδ'.

λδ' Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους, εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης, ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει καὶ ταῖς ὑπ' αὐτὴν χώραις· ἀλλὰ μὴ δὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τί· οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ πατὴρ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα.

Συνόδου Νικαίας κανὼν δ' ς' ζ'.

δ' Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ· ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν

χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος δίδεσθαι τῶν γινομένων καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥςε τὸν ἐν Ἀλεξανδρείᾳ ἐπίσκοπον, πάντων τούτων ἔχειν τὴν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ ἐν τῇ Ῥώμῃ ἐπισκόπῳ, τοῦτο σύνηθές ἐςιν· ὁμοίως δὲ καὶ τῷ κατὰ τὴν Ἀντιόχειαν, καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις, τὰ πρεσβεῖα σώζεσθαι ταῖς ἐκκλησίαις· καθόλου δὲ πρόδηλον ἐκεῖνο, ὅτι εἴ τις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τὸν τοιοῦτον ἡ μεγάλη σύνοδος ὥρισε μὴ δεῖν εἶναι ἐπίσκοπον· ἐὰν μέν τι τῇ κοινῇ πάντων ψήφῳ εὐλόγῳ οὔσῃ καὶ κατὰ κανόνα ἐκκλησιαστικὸν, δύο ἢ τρεῖς δι' ἰδίαν φιλονεικίαν ἀντιλέγωσι, κρατείτω ἡ τῶν πλειόνων ψῆφος. ε'

Ἐπειδὴ συνήθεια κεκράτηκε καὶ παράδοσις ἀρχαία, ὥςε τὸν ἐν Αἰλίᾳ ἐπίσκοπον τιμᾶσθαι, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς, τῇ μητροπόλει σωζομένου τοῦ οἰκείου ἀξιώματος. ζ'

Συνόδου Ἀντιοχείας κανὼν Θ'.

Τοὺς καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπους εἰδέναι χρὴ τὸν ἐν τῇ μητροπόλει προεστῶτα ἐπίσκοπον, καὶ τὴν φροντίδα ἀναδέχεσθαι πάσης τῆς ἐπαρχίας, διὰ τὸ ἐν τῇ μητροπόλει πανταχόθεν συντρέχειν πάντας τοὺς τὰ πράγματα ἔχοντας· ὅθεν ἔδοξε καὶ τῇ τιμῇ προηγεῖσθαι αὐτὸν· μηδὲν τε πράττειν περιττὸν τοὺς λοιποὺς ἐπισκόπους ἄνευ αὐτοῦ, κατὰ τὸν ἀρχαῖον κρατήσαντα ἐκ τῶν πατέρων ἡμῶν κανόνα· ἢ ταῦτα μόνα, ὅσα τῇ ἑκάστου ἐπιβάλλει παροικίᾳ, καὶ ταῖς ὑπ' αὐτὴν χώραις· ἔκαςον γὰρ ἐπίσκοπον ἐξουσίαν ἔχειν τῆς ἑαυτοῦ παροικίας, διοικεῖν τε κατὰ τὴν ἑκάςῳ ἐπιβάλλουσαν εὐλάβειαν, καὶ πρόνοιαν ποιεῖσθαι πάσης τῆς χώρας τῆς ὑπὸ τὴν αὐτοῦ πόλιν, ὡς καὶ χειροτονεῖν πρεσβυ- θ'

τέρους καὶ διακόνους, καὶ μετὰ κρίσεως ἕκαστα διαλαμβάνειν· περαιτέρω δὲ μηδὲν πράττειν ἐπιχειρεῖν δίχα τοῦ τῆς μητροπόλεως ἐπισκόπου, μὴ δὲ αὐτὸν ἄνευ τῆς τῶν λοιπῶν γνώμης.

Συνόδου Κωνσταντινουπόλεως κανὼν β' γ'.

β' Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους ταῖς ὑπερορίοις ἐκκλησίαις μὴ ἐπιέναι μὴ δὲ συγχέειν τὰς ἐκκλησίας· ἀλλὰ κατὰ τοὺς κανόνας, τὸν μὲν Ἀλεξανδρείας ἐπίσκοπον, τὰ ἐν Αἰγύπτῳ μόνον οἰκονομεῖν· τοὺς δὲ τῆς ἀνατολῆς ἐπισκόπους, τὴν ἀνατολὴν μόνην διοικεῖν· φυλαττομένων τῶν ἐν τοῖς κανόσι τοῖς κατὰ Νίκαιαν πρεσβείων τῇ Ἀντιοχέων ἐκκλησίᾳ· καὶ τοὺς τῆς ἀσιανῆς διοικήσεως ἐπισκόπους, τὰ κατὰ τὴν Ἀσίαν μόνον οἰκονομεῖν· καὶ τοὺς τῆς ποντικῆς, τὰ τῆς ποντικῆς μόνον· καὶ τοὺς τῆς θρακικῆς, τὰ τῆς Θράκης μόνον οἰκονομεῖν· ἀκλήτους δὲ ἐπισκόπους ὑπὲρ διοίκησιν μὴ ἐπιβαίνειν ἐπὶ χειροτονίᾳ ἢ τισὶν ἄλλαις οἰκονομίαις ἐκκλησιαστικαῖς· φυλαττομένου δὲ τοῦ προκεγραμμένου περὶ τῶν διοικήσεων κανόνος, εὔδηλον ὡς τὰ καθ' ἑκάστην ἐπαρχίαν, ἡ τῆς ἐπαρχίας σύνοδος διοικήσει κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα· τὰς δὲ ἐν τοῖς βαρβαρικοῖς ἔθνεσι τοῦ θεοῦ ἐκκλησίας, οἰκονομεῖσθαι χρὴ κατὰ τὴν κρατήσασαν συνήθειαν τῶν πατέρων.

γ' Τὸν μέν τοι Κωνσταντινουπόλεως ἐπίσκοπον, ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς, μετὰ τὸν τῆς Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην.

Συνόδου Χαλκηδόνος κανὼν κή. Ψῆφος τῆς αὐτῆς ἁγίου συνόδου, ἐκφωνηθεῖσα χάριν τῶν πρεσβείων τοῦ θρόνου τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως.

κή Πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενα, καὶ

τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ρν' θεοφιλεστάτων ἐπισκόπων, τῶν συναχθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου, τοῦ γενομένου βασίλεως, ἐν τῇ βασιλίδι Κωνσταντινουπόλει νέᾳ Ῥώμῃ, γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα, περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας τῆς αὐτῆς Κωνσταντινουπόλεως νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ πατέρες εἰκότως ἀποδιδόασι τὰ πρεσβεῖα (1)· καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ρν' θεοφιλέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ· εὐλόγως κρίναντες, τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς, ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν· καὶ ὥστε τοὺς τῆς πον-

(1) Contra hoc Gelasius in romana synodo septuagintà episcoporum iure meritoque ait: *sancta romana et apostolica ecclesia nullis synodicis constitutis ceteris ecclesiis praelata est, sed evangelica voce Domini et Salvatoris nostri primatum obtinuit: tu es Petrus, inquientis, et super hanc petram aedificabo ecclesiam meam* etc. Item Nicolaus I. in epistola ad Michaëlem imp. scribit: *animadvertendum est, quia non nicaena, non denique ulla synodus, quicquam romanae contulit ecclesiae privilegii, quae in beato Petro noverat eam totius iura potestatis pleniter meruisse, et cunctarum Christi ovium regimen accepisse* etc. Ambitione prava byzantini cleri, et patriarchae Anatolii, canonem hunc XXVIII. chalcedonensem fuisse editum, absentibus a consessu romanis legatis et mox reclamantibus, Leone magno PP. negante postea consensum, notissimum est. Legantur doctissimorum hominum Lupi et Catalani scholia ad hunc canonem, qui in romanam certe Dionysii exigui collectionem non fuit receptus.

τικῆς καὶ τῆς ἀσιανῆς καὶ τῆς θρακικῆς διοικήσεως μετροπολίτας μόνους, ἔτι δὲ καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἐπισκόπους τῶν προειρημένων διοικήσεων χειροτονεῖσθαι ὑπὸ τοῦ προειρημένου ἁγιωτάτου θρόνου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας· δηλαδὴ ἑκάστου μετροπολίτου τῶν προειρημένων διοικήσεων μετὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, καθὼς τοῖς θείοις κανόσι διηγόρευται· χειροτονεῖσθαι δὲ καθὼς εἴρηται τοὺς μετροπολίτας τῶν προειρημένων διοικήσεων, παρὰ τοῦ Κωνσταντινουπόλεως ἀρχιεπισκόπου, ψηφισμάτων συμφώνων κατὰ τὸ ἔθος γινομένων, καὶ ἐπ' αὐτὸν ἀναφερομένων.

Συνόδου Σαρδικῆς κανὼν γ' δ' ε'.

γ' Ὅσιος ἐπίσκοπος εἶπεν· ἀναγκαῖον καὶ τοῦτο προστεθῆναι ἵνα μηδεὶς ἐπισκόπων ἀπὸ τῆς ἑαυτοῦ ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν, ἐν ᾗ τυγχάνουσιν ὄντες ἐπίσκοποι, διαβαίνοι· εἰ μή τις παρὰ τῶν ἀδελφῶν τῶν ἑαυτοῦ κληθείη, διὰ τὸ μὴ δοκεῖν ἡμᾶς τὰς τῆς ἀγάπης ἀποκλείειν πύλας· καὶ τοῦτο δὲ ὡσαύτως προνοητέον, ὥστε ἐάν τινι ἐπαρχίᾳ ἐπισκόπων τίς ἄντικρυς ἀδελφοῦ ἑαυτοῦ συνεπισκόπου πρᾶγμα σχοίη, μηδένα ἕτερον ἐκ τούτων ἀπὸ ἑτέρας ἐπαρχίας ἐπισκόπους ἐπιγνώμενας ἐπικαλεῖσθαι· εἰ δὲ ἄρα τίς ἐπισκόπων ἔν τινι πράγματι δόξει κατακρίνεσθαι, καὶ ὑπολαμβάνει ἑαυτὸν μὴ σαθρὸν ἀλλὰ καλὸν ἔχειν τὸ πρᾶγμα, ἵνα καὶ αὖθις ἡ κρίσις ἀνανεωθῇ, εἰ δοκεῖ ὑμῖν τῇ ἀγάπῃ, Πέτρου τοῦ ἀποστόλου τὴν μνήμην τιμήσωμεν· καὶ γραφῆναι παρὰ τούτων τῶν κρινάντων Ἰουλίῳ τῷ ἐπισκόπῳ Ῥώμης· ὥςε διὰ τῶν γειτνιώντων τῇ ἐπαρχίᾳ ἐπισκόπων, εἰ δέοι ἀνανεωθῆναι, τὸ δικαστήριον καὶ ἐπιγνώμενας αὐτὸς παράσχοι· εἰ δὲ μὴ συστῆναι δύναται, τοιοῦτον αὐτοῦ εἶναι τὸ πρᾶγμα ὡς

παλινδικίας χρήζειν, τὰ ἅπαξ κεκριμένα μὴ ἀναλύεσθαι, τὰ δὲ ὄντα βέβαια τυγχάνειν.

Γαυδέντιος ἐπίσκοπος εἶπεν· εἰ δοκεῖ ἀναγκαῖον προστε- ϛ'
θῆναι ταύτῃ τῇ ἀποφάσει, ἣν τινα ἀγάπης εἰλικρινοῦς πλήρη ἐξενήνοχας, ὥστε ἐάν τις ἐπίσκοπος καθαιρεθῇ τῇ κρίσει τούτων τῶν ἐπισκόπων τῶν ἐν γειτνίᾳ τυγχανόντων, καὶ φάσκῃ πάλιν ἑαυτῷ ἀπολογίας πρᾶγμα ἐπιβάλλειν, μὴ πρότερον εἰς τὴν καθέδραν αὐτοῦ ἕτερον ὑποκαταστῆναι, ἐὰν μὴ ὁ τῆς ῥωμαίων ἐπίσκοπος ἐπιγνοὺς, περὶ τούτου ὅρον ἐξενέγκῃ.

Ὅσιος ἐπίσκοπος εἶπεν· ἤρεσεν, ἵν' εἴ τις ἐπίσκοπος κα- ζ'
ταγγελθείη, καὶ συναθροισθέντες οἱ ἐπίσκοποι τῆς ἐπαρχίας τῆς αὐτῆς, τοῦ βαθμοῦ αὐτὸν ἀποκινήσωσι, καὶ ὃς περ ἐκκαλεσάμενος καταφύγῃ ἐπὶ τὸν μακαριώτατον τῆς ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, καὶ βουληθείη αὐτοῦ διακοῦσαι, δίκαιόν τε εἶναι νομίσῃ ἀνανεώσασθαι αὐτοῦ τὴν ἐξέτασιν τοῦ πράγματος, γράφειν τούτοις τοῖς ἐπισκόποις καταξιώσῃ τοῖς ἀγχιστεύουσι τῇ ἐπαρχίᾳ, ἵνα αὐτοὶ ἐπιμελῶς καὶ μετὰ ἀκριβείας, ἕκαστα διερευνήσωσι· καὶ κατὰ τὴν τῆς ἀληθείας πίστιν, ψῆφον περὶ τοῦ πράγματος ἐξενέγκωσιν· εἰ δέ τις ἀξιῶν καὶ πάλιν αὐτοῦ τὸ πρᾶγμα ἀκουσθῆναι, καὶ τῇ δεήσει τῇ ἑαυτοῦ τὸν ῥωμαίων ἐπίσκοπον κρίνειν δόξει, ἀπὸ τοῦ ἰδίου πλευροῦ πρεσβυτέρους ἀποστείλοι, ἵνα ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τοῦ ἐπισκόπου, ὅπερ ἂν καλῶς ἔχειν δοκιμάσῃ καὶ ὁρίσῃ, δεῖν ἀποσταλῆναι τοὺς μετὰ τῶν ἐπισκόπων κρινοῦντας, ἔχοντάς τε τὴν αὐθεντίαν τούτου παρ' οὗ ἀπεστάλησαν· καὶ τοῦτο θετέον, εἰ δὲ ἐξαρκεῖν νομίζει πρὸς τὴν τοῦ πράγματος ἐπίγνωσιν καὶ ἀπόφασιν τοῦ ἐπισκόπου, ποιήσει ὅπερ ἂν τῇ ἐμφρονεστάτῃ αὐτοῦ βουλῇ καλῶς ἔχειν δόξῃ.

Συνόδου Καρθαγέννης κανὼν ιζ λθ'.

Ὥστε ἑκάστην ἐπαρχίαν διὰ τὸ μακροδαπὲς, πρωτεύοντα ἔχειν ἴδιον.

ιζ Ἤρεσεν ἵνα ἡ Μαυριτανία σιτιφένσης, ὡς ἠτήσε τὸν πρωτεύοντα τῆς νουμηδικῆς χώρας, ἧς τινος ἐκ τῆς συνόδου κεχώρισται, ἴδιον ἔχῃ πρωτεύοντα· συναινέσει σὺν πάντων τῶν πρωτευόντων τῶν ἀφρικανῶν ἐπαρχιῶν, καὶ πάντων τῶν ἐπισκόπων· διὰ τὸ μακροδαπὲς ἔχειν ἐπετράπη.

Περὶ τοῦ τὸν πρῶτον ἐπίσκοπον μὴ προσαγορεύεσθαι ἔξαρχον τῶν ἱερέων.

λθ' Ὥστε τὸν τῆς πρώτης καθέδρας ἐπίσκοπον, μὴ λέγεσθαι ἔξαρχον τῶν ἱερέων, ἢ ἄκρον ἱερέα, ἢ τοιοῦτότροπόν τί ποτε, ἀλλὰ μόνον ἐπίσκοπον τῆς πρώτης καθέδρας.

Συνόδου οἰκουμενικῆς ς'. κανὼν λς' λθ'.

λ' Ἀνανεούμενοι τὰ παρὰ τῶν ργ' ἁγίων πατέρων, τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν χλ' τῶν ἐν Χαλκηδόνι συναθροισθέντων νομοθετηθέντα, ὁρίζομεν· ὥστε τὸν Κωνσταντινουπόλεως θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων, τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρόνου· καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα· μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος· εἶτα ὁ τῆς Ἀντιοχέων μεγαλοπόλεως· καὶ μετὰ τοῦτον, ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως.

λθ' Τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἰωάννου τοῦ Κυπρίων νήσου πρεσβύτου, ἅμα τῷ οἰκείῳ λαῷ ἐπὶ τὴν Ἑλλησπόντιον ἐπαρχίαν διά τε τὰς βαρβαρικὰς ἐφόδους, διά τε τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλίας, καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ χριστιανικωτάτου κράτους ὑποταγῆναι τῆς

εἰρημένης μεταναστάντος νήσου, προνοίᾳ τοῦ φιλανθρώπου θεοῦ, καὶ μόχθῳ τοῦ φιλοχρίστου καὶ εὐσεβοῦς ἡμῶν βασιλέως, συνορῶμεν ὥςε ἀκαινοτόμητα διαφυλαχθῆναι τὰ περὶ τῶν ἐν Ἐφέσῳ τὸ πρότερον συνελθόντων θεοφόρων πατέρων, τῷ θρόνῳ τοῦ προγεγραμμένου ἀνδρὸς παρασχεθέντα προνόμια· ὥστε τὴν νέαν Ἰουστινιανούπολιν τὸ δίκαιον ἔχειν τῆς Κωνσταντινουπόλεως, καὶ τὸν ἐπ' αὐτῇ καθιστάμενον θεοφιλέστατον ἐπίσκοπον, πάντων προεδρεύειν τῶν τῆς ἑλλησποντίων ἐπαρχίας· καὶ ὑπὸ τῶν οἰκείων ἐπισκόπων χειροτονεῖσθαι κατὰ τὴν ἀρχαίαν συνήθειαν· τὰ γὰρ ἐν ἑκάστῃ ἐκκλησίᾳ ἔθη καὶ οἱ θεοφόροι ἡμῶν πατέρες παραφυλάττεσθαι διεγνώκασι· τοῦ τῆς Κυζικηνῶν πόλεως ἐπισκόπου, ὑποκειμένου τῷ προέδρῳ τῆς εἰρημένης Ἰουστινιανουπόλεως, μιμήσει τῶν λοιπῶν ἁπάντων ἐπισκόπων τῶν ὑπὸ τὸν λεχθέντα θεοφιλέστατον πρόεδρον Ἰωάννην, ὑφ' οὗ χρείας καλούσης, καὶ ὁ τῆς αὐτῆς Κυζικηνῶν πόλεως ἐπίσκοπος χειροτονηθήσεται.

Περὶ δὲ τῆς τάξεως τῶν πατριαρχῶν, καὶ τῶν παρ' αὐτῶν, καὶ τῶν λοιπῶν ἐπισκόπων, ὑπὲρ τῆς αὐτῶν χειροτονίας διεσμένων, καὶ ὅτι πασῶν ἐκκλησιῶν κεφαλή ἐςιν ἡ Κωνσταντινούπολεως, ἀνάγνωθι βιβλίον α' τοῦ κώδικος, τίτ. α', διάταξ. ζ' καὶ τίτ. β', διάτ. ς' κδ', καὶ τίτ. α' τῶν νεαρῶν, διάτ. β', καὶ τίτ. β'. διάτ. γ'· ἡ δὲ ις' διάτ. τοῦ β' τίτ. τοῦ α' βιβ. φησὶν, ὅτι ὁ Κωνσταντινουπόλεως ἔχει τῶν ἄλλων προεδρίαν, καὶ ἡ ἡ διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν, καὶ ἡ γ' τοῦ β' τίτ., ποιοῦσι τὸν πρίμας Ἰουστινιανῆς ἀρχιεπίσκοπον· καὶ ὅτι μείζων ἐστὶ τοῦ μετροπολίτου, καὶ ὅτι ὑπὸ τῆς συνόδου αὐτοῦ χειροτονεῖται, καὶ ποίας ἐπαρχίας ἔχει.

ΚΕΦ. ς.

Τίνες τίνας καὶ ποῦ καὶ πῶς χερστονεῦσιν ἐπισκόπους ἢ κληρικούς, καὶ ἐὰν ὁ χειροτονηθεὶς διὰ λιβέλλου, παραιτῆται τὴν ἐπισκοπήν.

Ἀποστόλων κανὼν α΄ β΄ λέ.

α΄ Ἐπίσκοπος χειροτονείσθω ὑπὸ ἐπισκόπων δύο ἢ τριῶν.

β΄ Πρεσβύτερος ὑπὸ ἑνὸς ἐπισκόπου χειροτονείσθω, καὶ διάκονος, καὶ οἱ λοιποὶ κληρικοί.

λε΄ Ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων, χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς, παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας ἢ τὰς χώρας γνώμην, καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησεν.

Συνόδου Ἀντιοχείας κανὼν ιγ΄ ιθ΄ κβ΄.

ιγ΄ Μηδένα ἐπίσκοπον τολμᾶν ἀφ' ἑτέρας ἐπαρχίας εἰς ἑτέραν μεταβαίνειν καὶ χειροτονεῖν ἐν ἐκκλησίᾳ τινὰς εἰς πραγωγὴν λειτουργίας, μὴ δὲ εἰ συνεπάγοιτο ἑαυτῷ ἑτέρους, εἰ μὴ παρακληθεὶς ἀφίκοιτο διὰ γραμμάτων τοῦ τε μητροπολίτου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων ὧν εἰς τὴν χώραν παρέρχοιτο· εἰ δὲ μηδενὸς καλοῦντος ἀπέλθοι ἀτάκτως ἐπὶ χειροθεσίᾳ τινῶν, καὶ καταζάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων μὴ προσηκόντων αὐτῷ, ἄκυρα μὲν τὰ ὑπ' αὐτοῦ πραττόμενα τυγχάνει, καὶ αὐτὸν δὲ ὑπέχειν τῆς ἀταξίας αὐτοῦ, καὶ τῆς παραλόγου ἐπιχειρήσεως, τὴν προσήκουσαν δίκην, καθηρημένον ἐντεῦθεν ἤδη ὑπὸ τῆς ἁγίας συνόδου.

ιθ΄ Ἐπίσκοπον μὴ χειροτονεῖσθαι δίχα συνόδου καὶ παρουσίας τοῦ ἐν τῇ μητροπόλει τῆς ἐπαρχίας· τούτου δὲ παρόν-

τος ἐξάπαντος, βέλτιον μὲν συνεῖναι αὐτῷ πάντας τοὺς ἐν τῇ ἐπαρχίᾳ συλλειτουργοὺς, οὓς καὶ προσήκει δι' ἐπιςολῆς, τὸν ἐν τῇ μετροπόλει συγκαλεῖν· καὶ εἰ μὲν ἀπαντοῖεν οἱ πάντες, βέλτιον· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, τούς γε πλείους ἐξάπαντος παρεῖναι δεῖ· ἢ διὰ γραμμάτων, ὁμοψήφους γενέσθαι· καὶ οὕτω μετὰ τῆς τῶν πλειόνων ἤτοι παρουσίας ἢ ψήφου, γίνεσθαι τὴν κατάστασιν· εἰ δὲ ἄλλως παρὰ τὰ ὡρισαμένα γίγνοιτο, μηδὲν ἰσχύειν τὴν χειροτονίαν· εἰ δὲ κατὰ τὸν ὡρισμένον κανόνα γίγνοιτο ἡ κατάστασις, ἀντιλέγειν δέ τινες δι' οἰκείαν φιλονεικίαν, κρατεῖν τῶν πλειόνων τὴν ψῆφον.

Ἐπίσκοπον μὴ ἐπιβαίνειν ἀλλοτρίᾳ πόλει τῇ μὴ ὑποκειμένῃ αὐτῷ, μὴ δὲ χώρᾳ τῇ αὐτῷ μὴ διαφερούσῃ, ἐπὶ χειροτονίᾳ τινὸς· μὴ δὲ καθιστᾷν πρεσβυτέρους ἢ διακόνους εἰς τόπους ἑτέρῳ ἐπισκόπῳ ὑποκειμένους· εἰ μὴ ἄρα μετὰ γνώμης τοῦ οἰκείου τῆς χώρας ἐπισκόπου· εἰ δὲ τολμήσειέ τις τοιοῦτον, ἄκυρον εἶναι τὴν χειροθεσίαν, καὶ αὐτὸν ἐπιτιμίας ὑπὸ τῆς συνόδου τυγχάνειν. κβ'

Συνόδου Λαοδικείας κανὼν ε' ιβ'.

Περὶ τοῦ μὴ δεῖν τὰς χειροτονίας ἐπὶ παρουσίᾳ ἀκροωμένων γίνεσθαι. ε'

Περὶ τοῦ τοὺς ἐπισκόπους κρίσει τοῦ μετροπολίτου καὶ τῶν πέριξ ἐπισκόπων, καθίστασθαι εἰς τὴν ἐκκλησιαστικὴν ἀρχὴν, ὄντας ἐκ πολλοῦ δεδοκιμασμένους· ἔν τε τῷ λόγῳ τῆς πίστεως, καὶ τῇ τοῦ εὐθέως λόγου πολιτείᾳ. ιβ'

Συνόδου Ἐφέσου κανὼν ή, καὶ ἐπιστολὴ πρὸς τὴν ἐν Παμφυλίᾳ σύνοδον.

Τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἤγουν προκομίζειν ἢ προφέρειν τοῖς θέλουσιν ἐπιστρέφειν εἰς ἐπί- η'

γνωσιν τῆς ἀληθείας, ἢ ἐξ ἑλληνισμοῦ ἢ ἐξ ἰουδαϊσμοῦ, ἤγουν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι· κατὰ τὸν ἴσον δὲ τρόπον εἰ φωραθεῖεν τινὲς, εἴτε ἐπίσκοποι, εἴτε κληρικοὶ, εἴτε λαϊκοὶ, ἢ φρονοῦντες ἢ διδάσκοντες τὰ ἐν τῇ προκειμενῃ ἐκθέσει παρὰ Χαρισίου τοῦ πρεσβυτέρου, περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς τοῦ θεοῦ υἱοῦ, ἤγουν τὰ μιαρὰ καὶ διεστραμμένα Νεστορίου δόγματα, ἃ καὶ ὑποτέτακται, ὑποκείσθωσαν τῇ ἀποφάσει τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου· ὥστε δηλονότι, τὸν μὲν ἐπίσκοπον ἀπαλλοτριοῦσθαι τῆς ἐπισκοπῆς, καὶ εἶναι καθῃρημένον· τὸν δὲ κληρικὸν, ὁμοίως ἐκπίπτειν τοῦ κλήρου· εἰ δὲ λαϊκὸς εἴη, καὶ οὗτος ἀναθεματιζέσθω καθὰ προείρηται.

Ἐπιστολὴ τῆς αὐτῆς ἐν Ἐφέσῳ ἁγίας συνόδου, πρὸς τὴν ἐν Παμφυλίᾳ εὐαγῆ σύνοδον, περὶ Εὐζαθίου τοῦ γενομένου αὐτῶν μετροπολίτου.

Μετὰ βουλῆς πάντα ποιεῖ τῆς θεοπνεύστου λεγούσης γραφῆς, χρὴ δὴ μάλιστα τοὺς ἱερᾶσθαι λαχόντας μετὰ πάσης ἀκριβείας τὴν ἐφ' ἅπασι τοῖς πρακτέοις ποιεῖσθαι διάσκεψιν· διαβιοῦν γὰρ οὕτως ἐθέλουσιν, ἐν καλῷ τῆς ἐλπίδος κεῖσθαί τε τὰ κατ' αὐτοὺς· καὶ εἶεν ἐξ ὑρίας, ἐν τοῖς κατ' εὐχὴν ἀποφέρεσθαι συμβαίνει· καὶ πολὺ τό γε εἰκὸς, ὁ λόγος ἔχει· ἀλλ' οἶδεν ἔσθ' ὅτε ὁρμεῖα καὶ ἀφόρητος λύπη κατασκήψασα νοῦν, καταθολῶσαί τε δεινῶς αὐτὸν, καὶ τῆς τῶν δεόντων θήρας ἀποκομίσαι, ἀναπεῖσαί τε τὸ πεφυκὸς ἀδικεῖν, ὥς τι τῶν ὀνησιφόρων ἰδεῖν· τοιοῦτόν τι τεθεάμεθα πεπονθότα τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον Εὐζάθιον,

κεχειροτόνηται μὲν γὰρ ὡς μεμαρτύρηται κανονικῶς, τεθορυβημέναις δὲ ὥς φησι παρά τινων καὶ ἀδοκήτοις περιστάσεσιν ἐμβεβηκὼς· εἶτα ἐκ πολλῆς ἄγαν ἀπραγμοσύνης, ἀπειρηκὼς τὴν ἀντίστασιν τῶν ἐπεννενεγμένων αὐτῷ φροντίδων, καὶ διακρούεσθαι τὰς παρὰ τῶν ἐπιφυομένων αὐτῷ δυσφημίας μὴ δυνάμενος, παραιτήσεως οὐκ ἴσμεν ὅπως προσεκόμισε βιβλίον· ἔδει γὰρ, ὡς ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα, ταύτης ἔχεσθαι μετ' εὐρωστίας πνευματικῆς, καὶ οἷον ἀνταποδύεσθαι τοῖς πόνοις, καὶ ἱδρῶτα τὸν ἔμμισθον ἐθελοντὴν ὑπομεῖναι· ἐπειδὴ δὲ ἅπαξ ὀλιγώρως ἔχοντα παρέδειξεν ἑαυτὸν, τοῦτο παθὼν ἐξ ἀπραγμοσύνης μᾶλλον ἢ ὄκνου καὶ ῥᾳθυμίας, κεχειροτόνηκεν ἀναγκαίως ἡ ὑμετέρα θεοσέβεια τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον ἀδελφὸν ἡμῶν καὶ συνεπίσκοπον Θεόδωρον φροντισοῦντα τῆς ἐκκλησίας· οὐ γὰρ ἦν ἀκόλουθον χηρεύειν αὐτὴν, καὶ ἐπιζάτου δίχα διατελεῖν τοῦ σωτῆρος τὰ πόιμνια· ἐπειδὴ δὲ προσῆλθε κλαίων, οὐ περὶ τῆς πόλεως οὐδὲ τῆς ἐκκλησίας φιλονεικῶν τῷ μνημονευθέντι θεοσεβεστάτῳ ἐπισκόπῳ Θεοδώρῳ, ἐξαιτῶν δὲ τέως τὴν τοῦ ἐπισκόπου τιμὴν καὶ κλῆσιν, συνηλγήσαμεν ἅπαντες τῷ πρεσβύτῃ· καὶ κοινὸν εἶναι λογισάμενοι τὸ αὐτοῦ δάκρυον, ἐσπεύδομεν μαθεῖν εἰ καθαίρεσιν ἔννομον ὑπομεμένηκεν ὁ μνημονευθεὶς, ἤγουν εἰ ἐπί τισι τῶν ἀτόπων ἐλήλεγκται παρά τινων, καταφλυαρησάντων αὐτοῦ τῆς ὑπολήψεως· καὶ δὴ ἐμάθομεν μεπράχθαι μὲν τοιοῦτον οὐδέν, γενέσθαι δὲ μᾶλλον τῷ μνημονευθέντι ἀντὶ ἐγκλήματος τὴν παραίτησιν· ὅθεν οὐδὲ τῇ ὑμετέρᾳ θεοσεβείᾳ ἐμεμψάμεθα, χειροτονησάσῃ δεόντως εἰς τὸν αὐτοῦ τόπον τὸν μνημονευθέντα εὐλαβέστατον ἐπίσκοπον Θεόδωρον· ἐπειδὴ δὲ τῇ ἀπραγμοσύνῃ τοῦ ἀνδρὸς οὐ σφόδρα φιλονεικεῖν ἀκόλουθον, ἔδει δὲ

μᾶλλον ἐλεῆσαι πρεσβύτην ἔξω καὶ πόλεως τῆς ἐνεγκούσης αὐτὸν καὶ πατρῴων ἐνδιαιτημάτων ἐν μακροῖς οὕτω γεγονότα χρόνοις, ἐδικαιώσαμεν καὶ ὡρίσαμεν δίχα πάσης ἀντιλογίας ἔχειν αὐτὸν, τό τε τῆς ἐπισκοπῆς ὄνομα, καὶ τὴν τιμὴν, καὶ τὴν κοινωνίαν· οὕτω μέν τοι, ὥστε μὴ χειροτονεῖν αὐτὸν, μήτε μὴν ἐκκλησίαν καταλαβόντα ἱερουργεῖν, ἐξ ἰδίας αὐθεντίας, ἀλλ' ἢ ἄρα συμπαραλαμβανόμενον εἴτουν ἐπιτρεπόμενον, εἰ τύχοι παρὰ ἀδελφοῦ καὶ συνεπισκόπου, κατὰ διάθεσιν καὶ ἀγάπην τὴν ἐν Χριστῷ· ἂν δέ τι βουλεύσησθε χρηστότερον ἐπ' αὐτῷ ἢ νῦν ἢ εἰς τὸ μετὰ ταῦτα, ἀρέσει καὶ τοῦτο τῇ ἁγίᾳ συνόδῳ.

Συνόδου Σαρδικῆς κανὼν ς'.

ς' Ὅσιος ἐπίσκοπος εἶπεν· ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ, ἐν ᾗ πλεῖστοι ἐπίσκοποι τυγχάνουσιν, ἕνα ἐπίσκοπον ἀπομεῖναι, κἀκεῖνος κατά τινα ἀμέλειαν μὴ βουληθῇ συνελθεῖν καὶ συναινέσαι τῇ καταστάσει τῶν ἐπισκόπων, τὰ δὲ πλήθη συναθροισθέντα παρακαλοῖεν γίγνεσθαι τὴν κατάστασιν τοῦ παρ' αὐτῶν ἐπιζητουμένου ἐπισκόπου, χρὴ πρότερον ἐκεῖνον τὸν ἐναπομείναντα ἐπίσκοπον ὑπομιμνήσκεσθαι διὰ γραμμάτων τοῦ ἐξάρχου τῆς ἐπαρχίας, λέγω δὴ τοῦ ἐπισκόπου τῆς μητροπολέως (1) ὅτι ἀξιοῖ τὰ πλήθη πειμένα αὐτοῖς δοθῆναι, ἡγοῦμαι καλῶς ἔχειν καὶ τοῦτον ἐκδέχεσθαι ἵνα παραγένηται· εἰ δὲ μὴ διὰ γραμμάτων ἀξιωθεὶς παραγένηται, μήτε μὴν ἀντιγράφοι, τὸ ἱκανὸν τῇ βουλῇ τοῦ πλήθους χρὴ γενέσθαι· χρὴ δὲ καὶ μετακαλεῖσθαι καὶ τοὺς ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας ἐπισκόπους πρὸς τὴν κατάσασιν τοῦ τῆς μητροπόλεως ἐπισκόπου· μὴ ἐξεῖναι δὲ ἁπλῶς καθιζᾶν ἐπί-

(1) Sic corrige μητρ. pro μετρ. in cunctis locis praecedentibus.

σκοπον κώμη τινὶ ἢ βραχείᾳ πόλει, ᾗ τινι καὶ εἷς μόνος πρεσβύτερος ἐπαρκεῖ· οὐκ ἀναγκαῖον γὰρ ἐπισκόπους ἐκεῖσε καθίςασθαι, ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα καὶ ἡ αὐθεντία· ἀλλ' οἱ τῆς ἐπαρχίας ὡς προεῖπον ἐπίσκοποι, ἐν ταύταις ταῖς πόλεσι καθιςᾶν ἐπισκόπους ὀφείλουσιν, ἔνθα καὶ πρότερον ἐτύγχανον γεγονότες ἐπίσκοποι· εἰ δὲ εὑρίσκοιτο οὕτως πληθύνουσά τις ἐν πολλῷ ἀριθμῷ λαοῦ πόλις, ὡς ἀξίαν αὐτὴν ἐπισκοπῆς νομίζεσθαι, λαμβανέτω, εἰ πᾶσιν ἀρέσκει τοῦτο.

Συνόδου Καρθαγέννης κανὼν ιγ' ιή' μθ' νέ' ιφή'.

Περὶ τοῦ μὴ ἐξεῖναι ἐπίσκοπον, εἰ μὴ ὑπὸ πολλῶν, χειροτονεῖσθαι· εἰ δὲ ἀνάγκη γένηται, κἂν ὑπὸ τριῶν ἐπισκόπων, ὁ ἐπίσκοπος χειροτονηθείη.

Αὐρήλιος ἐπίσκοπος εἶπεν·

Τί πρὸς ταῦτα λέγει ἡ ὑμετέρα ἁγιωσύνη;

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη·

Ὀφείλει καὶ παρ' ἡμῶν τὰ ὁρισθέντα ἐκ τῶν πρὸ ἡμῶν φυλαχθῆναι, ὧν τινων ὡς ἔτυχεν ἀβούλως οἱ πρωτεύοντες τῆς οἱασδήποτε ἐπαρχίας, ἀμελεῖν κατατολμῶσι· πολλοὶ οὖν ἐπίσκοποι συναχθέντες, ἐπίσκοπον χειροτονήσουσιν· εἰ δὲ ἀνάγκη γένηται, τρεῖς ἐπίσκοποι ἐν οἱῳδήποτε ἂν τόπῳ ὦσι, τῷ τοῦ πρωτεύοντος παραγγέλματι, χειροτονήσουσι τὸν ἐπίσκοπον· καὶ ἐάν τις ἔν τινι ἐναντιωθῇ τῇ ἰδίᾳ ὁμολογίᾳ ἢ τῇ ὑπογραφῇ, αὐτὸν ἀποστερήσει τῆς τιμῆς.

Ἐάν τις κληρικὸς χειροτονῆται, ὀφείλει ὑπομιμνήσκεσθαι τοὺς ὅρους φυλάττειν, καὶ ἵνα τοῖς σώμασι τῶν ἀποθανόντων εὐχαριςίαν μὴ δίδωται, μὴ δὲ βάπτισμα· καὶ ἵνα καθ' ἕκαστον ἐνιαυτὸν εἰς πάσας τὰς ἐπαρχίας πρὸς σύνοδον οἱ μητροπολίται ἔρχωνται.

Ὁμοίως ἤρεσεν, ὥστε χειροτονουμένου ἐπισκόπου ἢ κληρικοῦ, πρότερον ἀπὸ τῶν χειροτονούντων αὐτοὺς τὰ δεδογμένα ταῖς συνόδοις εἰς τὰς ἀκοὰς αὐτῶν ἐντίθεσθαι, ἵνα μὴ πεισθῶντες κατὰ τῶν ὅρων τῆς συνόδου τί, μεταμεληθῶσιν· ὁμοίως ἤρεσεν, ἵνα τοῖς σώμασι τῶν τελευτώντων, εὐχαριστία μὴ δοθῇ· γέγραπται γάρ· λάβετε, φάγετε· τὰ δὲ τῶν νεκρῶν σώματα, οὐδὲ λαβεῖν δύνανται οὐδὲ φαγεῖν· καὶ ἵνα μὴ τοὺς ἤδη τελευτῶντας βαπτισθῆναι πείσῃ ἡ τῶν πρεσβυτέρων ἄγνοια· καὶ τοῦτο δὲ βεβαιωτέον ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ, ὥσε κατὰ τοὺς ἐν Νικαίᾳ ὅρους, διὰ τὰς ἐκκλησιαστικὰς αἰτίας, αἵ τινες πολλάκις πρὸς ὄλεθρον τοῦ λαοῦ παλαιοῦνται, καθ' ἕκαστον ἐνιαυτὸν σύνοδον συγκαλεῖσθαι, πρὸς ἣν πάντες οἱ τῶν ἐπαρχιῶν τὰς πρώτας καθέδρας ἐπέχοντες, ἐκ τῶν οἰκείων συνόδων, δύο ἢ καὶ ὅσους ἐπιλέξονται ἐπισκόπους, τηρητὰς ἀποστείλωσιν· ἵνα ἐν τῇ συναχθείσῃ συνελεύσει πλήρης εἶναι δυνηθῇ ἡ αὐθεντία.

Πόσει ἐπίσκοποι ἐπίσκοπον ὀφείλουσι χειροτονεῖν.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Κἀκεῖνο ἡμῖν ἐνετάλη· ἐπειδὴ ἐκ τοῦ πλησίον ἀδελφοὶ ἡμῶν δύο ἐπίσκοποι τῆς Νουμηδίας χειροτονῆσαι ἐτόλμησαν ἱερέα, κρίνατε μὴ γενέσθαι χειροτονίας ἐπισκόπων, εἰ μὴ ἀπὸ δώδεκα.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Ὁ ἀρχαῖος τύπος φυλαχθήσεται, ἵνα μὴ ἧττονες τριῶν τῶν ὁρισθέντων εἰς χειροτονίαν ἐπισκόπου ἀρκέσωσι· διότι ἐν Τριπόλει τυχὸν καὶ ἐν Ἀρζούῃ δῆλον ὡς παρέγκεινται βάρβαρα ἔθνη· ἐν Τριπόλει δὲ, πέντε καὶ μόνοι εἰσὶν ὡς γινώσκετε ἐπίσκοποι, καὶ δυνατὸν ἐξ αὐτοῦ πολλάκις τοῦ ἀριθμοῦ τοὺς δύο ἀνάγκη τινὶ κατέχεσθαι· δυσχερὲς γάρ ἐστιν

ἐξ οἱουδήποτε ἀριθμοῦ πάντας δύνασθαι ἀπαντῆσαι· μὴ ὀφείλει τοῦτο αὐτὸ παρεμποδὼν εἶναι τῷ χρησίμῳ τῆς ἐκκλησίας· καὶ γὰρ καὶ εἰς ταύτην τὴν ἐκκλησίαν, πρὸς ἣν κατηξίωσεν ἡ ὑμετέρα συνελθεῖν ἁγιωσύνη, συχνῶς καὶ σχεδὸν κατὰ κυριακὴν χειροτονουμένους ἔχομεν· μὴ ἆρα δύναμαι συνεχῶς δώδεκα ἢ δέκα, ἢ οὐχὶ πολὺ ἐλάττους συγκαλεῖν ἐπισκόπους; δύο δὲ γείτονας προσζεῦξαι εὐχερές ἐστι τῇ ἐμῇ βραχύτητι· διὸ ὁρᾷ σὺν ἐμοὶ ἡ ὑμετέρα ἀγάπη, τοῦτο αὐτὸ μὴ δύνασθαι παραφυλαχθῆναι.

Περὶ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ Καρχηδόνος
ὅθεν θέλει κληρικὸν χειροτονεῖν.
Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Τὸν λόγον μου προσδέξασθε ἀδελφοὶ· συνέβη πολλάκις αἰτηθῆναι με ἀπὸ ἐκκλησιαστικῶν ἐνδεεμένων διακόνων, ἢ πρεσβυτέρων, ἢ ἐπισκόπων· καὶ ὅπως μεμνημένος τῶν ὁρισθέντων τούτοις ἕπομαι, ὥστε συνελθεῖν με τῷ ἐπισκόπῳ αὐτοῦ τοῦ ζητουμένου κληρικοῦ, καὶ ταῦτα αὐτὰ ἐμφανίσαι ὅτι κληρικὸν αὐτοῦ αἰτοῦνται εἰ τῆς οἱασδήποτε ἐκκλησίας· ἰδοὺ σὺν ἐπὶ τοῦ παρόντος οὐκ ἀντιλέγουσι, διὰ δὲ τὸ μήτε μετὰ ταῦτα συμβῆναι, τουτέστιν ἐναντιωθῆναι μοι τοὺς ἐν τούτῳ τῷ πράγματι παρ' ἐμοῦ αἰτουμένους, ἐπειδὴ οἴδατε πολλῶν ἐκκλησιῶν καὶ χειροτονιῶν φροντίδα με βαστάζειν, ᾧ τινι δήποτε τῶν ἱερέων συνέλθω μετὰ δύο ἢ τριῶν μαρτύρων τῆς ἡμετέρας συγκληρώσεως, ἐὰν ἀκαθσίωτος εὑρεθείη, δίκαιόν ἐστι κρίναι τὴν ὑμετέραν ἀγάπην, τί δεῖ παῆσαι· ἐγὼ γὰρ ὡς ἴστε ἀδελφοὶ, κατὰ συγχώρησιν Θεοῦ, πολλῶν ἐκκλησιῶν φροντίδος ἀντέχομαι.

Νουμήδιος ἐπίσκοπος εἶπεν.

Ἀεὶ ὑπῆρξεν ἡ αὐθεντία τῷ θρόνῳ τούτῳ, ἵνα ὅθεν

ἤθελε καὶ περὶ οἱουδήποτε προετράπη ὀνόματος, κατὰ τὴν ἐπιθυμίαν ἑκάστης ἐκκλησίας ἐχειροτόνει ἐπίσκοπον.

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν.

Ἡ ἀγαθοθέλεια μεσάζει τὴν ἐξουσίαν· ἧττον γὰρ τολμᾷς ἥπερ δύνῃ ἀδελφὲ, ἐν τῷ πᾶσιν ἑαυτὸν ἀποδεικνύειν ἀγαθὸν καὶ φιλάνθρωπον· ἔχεις γὰρ τοῦτο ἐν τῇ κρίσει σου, τὸ ἀποθεραπεῦσαι ἑνὸς ἑκάστου ἐπισκόπου τὸ πρόσωπον· ἐν πρώτῃ δὲ καὶ μόνῃ συνελεύσει, εἰ συνίδοις, τὸ ἐπ' ἐξουσίας ταύτῃ τῇ καθέδρᾳ εἶναι ἐκδικητέον, ἐπειδὴ ἀνάγκην ἔχεις αὐτὸς πάσας τὰς ἐκκλησίας ὑποςηρίζειν· ὅθεν ἐξουσίαν σοι ἡμεῖς οὐ διδοῦμεν, ἀλλ' ἐπισφραγίζομεν ταύτην τῇ σῇ προαιρέσει, ὥςε ἐξεῖναι κρατεῖν ὃν ἂν θέλῃς, καὶ προχειρίζεσθαι προεστῶτας ταῖς ἐκκλησίαις, καὶ ταῖς λοιπαῖς τοὺς ζητουμένους, καὶ ὅθεν συνίδοις.

Πιστουμητιανὸς ἐπίσκοπος εἶπεν.

Εἶτα ἐάν τις ἕνα καὶ μόνον σχῇ πρεσβύτερον, μὴ ὀφείλει καὶ αὐτὸς ὁ εἷς ἐξ αὐτοῦ ἀφαιρεθῆναι;

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Κατὰ συγχώρησιν Θεοῦ, δύναται ὁ εἷς ἐπίσκοπος πολλοὺς χειροτονεῖν πρεσβυτέρους· πρεσβύτερος δὲ πρὸς ἐπισκοπὴν ἐπιτήδειος, δυσχερῶς εὑρίσκεται· διὸ ἐάν τις εὑρεθῇ ἔχων ἕνα μόνον πρεσβύτερον, καὶ αὐτὸν ἐπιτήδειον τῇ ἐπισκοπῇ, καὶ αὐτὸν τὸν ἕνα ὀφείλει δοῦναι πρὸς χειροτονίαν.

Πιστουμητιανὸς ἐπίσκοπος εἶπεν.

Οὐκοῦν ἐὰν ἄλλος ἔχῃ πλῆθος κληρικῶν, ὀφείλοι μοι τὸ ἕτερον πλῆθος συνελθεῖν;

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Δηλαδὴ ὃν τρόπον σὺ τῇ ἑτέρᾳ ἐκκλησίᾳ συνῆλθες, συνωθησθήσεται καὶ ὁ τοὺς πλείονας ἔχων κληρικοὺς, ἕνα ἐξ αὐτῶν εἰς χειροτονίαν σοι δαψιλεύσασθαι.

Περὶ τῶν λαῶν τῶν μηδέποτε ἐπισκέπους ἐσχηκότων.

Ἤρεσε κἀκεῖνο ἵνα οἱ ὄχλοι, οἱ μηδέποτε ἰδίους ἐσχηκότες ἐπισκόπους, εἰ μὴ ἐκ πάσης τῆς συνόδου ἑκάστης ἐπαρχίας, καὶ τοῦ πρωτεύοντος, ψήφισμα γένηται, καὶ κατὰ συναίνεσιν ἐκείνου, οὗ τινος ὑπὸ τὴν διοίκησιν καθίστατο ἡ αὐτὴ ἐκκλησία, μηδαμῶς δέξωνται.

Συνόδου οἰκουμενικῆς ς΄, κανὼν λγ΄ λζ΄.

Ἐπειδήπερ ἔγνωμεν ἐν τῇ Ἀρμενίων χώρᾳ, μόνους ἐν λγ΄
κλήρῳ τοὺς ἐκ γένους ἱερατικοῦ κατατάττεσθαι, ἰουδαϊκοῖς ἔθεσιν ἑπομένων τῶν τοῦτο πράττειν ἐπιχειρούντων, τινὰς δὲ αὐτῶν καὶ μὴ ἀποκειρομένους ἱεροψάλτας καὶ ἀναγνώστας τοῦ θείου νόμου καθίστασθαι, συνείδομεν ὥστε ἀπὸ τοῦ νῦν μὴ ἐξεῖναι τοῖς εἰς κλῆρον βουλομένοις προάγειν τινὰς, εἰς τὸ γένος ἀποβλέποντας τοῦ προχειριζομένου, ἀλλὰ δοκιμάζοντας εἰ ἄξιοι εἶεν κατὰ τοὺς τεθέντας ἐν τοῖς ἱεροῖς κανόσιν ὅρους ἐν κλήρῳ καταλεγῆναι, τούτους ἐκκλησιαστικῶς προχειρίζεσθαι, εἴτε καὶ ἐκ προγόνων γεγόνασιν ἱερέων, εἴτε καὶ μή· ἀλλὰ μὴ δέ τινα τῶν ἁπάντων συγχωρεῖν ἐπ' ἄμβωνος κατὰ τὴν τῶν ἐν κλήρῳ καταλεγομένων τάξιν τοὺς θείους τῷ λαῷ λόγους ὑποφωνεῖν, εἰ μή τι ἂν ἱερατικῇ κουρᾷ χρήσηται ὁ τοιοῦτος, καὶ τὴν εὐλογίαν ὑπὸ τοῦ οἰκείου ποιμένος κανονικῶς ὑποδέξηται· εἰ δέ τις φωραθείη παρὰ τὰ προστεταγμένα ποιῶν, ἀφοριζέσθω.

Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ γεγόνασιν λζ
ἔφοδοι, καὶ πλεῖσται πόλεις ἐντεῦθεν ὑποχείριοι τοῖς ἀνόμοις κατέζησαν, ὡς ἐντεῦθεν μὴ δυνηθῆναι τὸν τῆς τοιαύτης πόλεως πρόεδρον μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν, τὸν οἰκεῖον θρόνον καταλαβεῖν, καὶ ἐν αὐτῷ ἱερατικῇ καταζάσει ἐνιδρυνθῆναι, καὶ οὕτω κατὰ τὸ κρατῆσαν ἔθος τὰς χειρο-

τονίας, καὶ πάντα ἃ τῷ ἐπισκόπῳ ἀνήκει πράττειν τὲ καὶ μεταχειρίζεσθαι, ἡμεῖς τὸ τίμιον καὶ σεβάσμιον τῇ ἱερωσύνῃ φυλάττοντες, καὶ μηδαμῶς πρὸς λύμην τῶν ἐκκλησιαστικῶν δικαίων, τὴν ἐθνικὴν ἐπήρειαν ἐνεργεῖσθαι βουλόμενοι, τοῖς οὕτω χειροτονηθεῖσι, καὶ διὰ τὴν προκειμένην αἰτίαν ἐν τοῖς ἑαυτῶν μὴ ἐγκαταζάσι θρόνοις, τὸ ἀπόκριτον τηρεῖσθαι συνεωράκαμεν· ὥςε καὶ χειροτονίας κληρικῶν διαφόρων κανονικῶς ποιεῖν, καὶ τῇ τῆς προεδρίας αὐθεντίᾳ κατὰ τὸν ἴδιον ὅρον κεχρῆσθαι, καὶ βεβαίαν καὶ νενομισμένην εἶναι πᾶσαν ὑπ' αὐτῶν προϊοῦσαν διοίκησιν· οὐ γὰρ ὑπὸ τοῦ τῆς ἀνάγκης καιροῦ περιγραφείσης τῆς ἀκριβείας, ὁ τῆς οἰκονομίας ὅρος περιεριεσθήσεται.

Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν ις'.

ις' Διὰ τὰς φιλονεικίας τὲ καὶ ταραχὰς, τὰς ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ συμβαινούσας, καὶ τοῦτο ὁρίσαι ἀναγκαῖον ἐστὶ τοῦ μηδενὶ τρόπῳ ἐπίσκοπον καταςῆναι ἐν τῇ ἐκκλησίᾳ, ἧς ἔτι ὁ προεςὼς ζῇ, καὶ ἐν τῇ ἰδίᾳ συνίσταται τιμῇ, μὴ αὐτὸς ἑκὼν τὴν ἐπισκεπὴν παραιτήσεται· χρὴ γὰρ πρότερον τὴν αἰτίαν τοῦ μέλλοντος τῆς ἐπισκοπῆς ἐκδιώκεσθαι, κανονικῶς ἐξεταζομένην εἰς πέρας ἄγεσθαι· εἶθ' οὕτως μετὰ τὴν αὐτοῦ καθαίρεσιν, ἕτερον ἀντ' αὐτοῦ εἰς τὴν ἐπισκοπὴν προβιβάζεσθαι· εἰ δέ τις τῶν ἐπισκόπων ἐν τῇ ἰδίᾳ συνιζάμενος τιμῇ, μήτε παραιτεῖσθαι βούλοιτο, μήτε τὸν εἰκεῖσν ἐθέλοι ποιμαίνειν λαὸν, ἀλλὰ τῆς εἰκείας ἀποστὰς ἐπισκοπῆς, ὑπὲρ τὸ ἐξάμηνον ἐν ἑτέρῳ διατρίβοι τόπῳ, μήτε ταῖς τοῦ εἰκείου πατριάρχου λειτουργίαις ὑπηρετούμενος, μήτε μὴν ὑπὸ νόσου χαλεπῶς τὲ καὶ ἀκινησίαν ἐμποιούσης παντελῆ συνεχόμενος, ὁ τοιοῦτος σὺν ὁ κατὰ μηδεμίαν τῶν εἰρημέ-

νων προφάσεων κωλυόμενος, τῆς οἰκείας ἀφιζάμενος ἐπισκοπῆς, καὶ ὑπὲρ τὸν ἐξαμηνιαῖον χρόνον ἐν ἑτέρῳ διατρίβων τόπῳ, τῆς τοῦ ἐπισκόπου τιμῆς τὲ καὶ ἀξίας ἀλλοτριωθήτεται παντελῶς· τὸν γὰρ τῆς ἐμπιστευθείσης αὐτῷ καταμελοῦντα ποίμνης, καὶ ἐν ἑτέρῳ ὑπὲρ τὸ ἐξάμηνον χρονοτριβοῦντα τόπῳ, ὥρισεν ἡ ἁγία σύνοδος καὶ τῆς ἀρχιερωσύνης δι' ἧς ποιμαίνειν ἐτάχθη, παντελῶς ἀλλότριον καθεζάναι, καὶ εἰς τὸν αὐτοῦ τῆς ἐπισκοπῆς τόπον, ἕτερον ἀντ' αὐτοῦ προχειρίζεσθαι.

Βασιλείου ἐπιστολὴ πρὸς τοὺς χωρεπισκόπους, ὥςε μὴ γίνεσθαι, χωρὶς αὐτοῦ, ὑπηρέτας παρὰ τοὺς κανόνας.

Πάνυ με λυπεῖ ὅτι ἐπιλελοίπασι λοιπὸν οἱ τῶν πατέρων κανόνες, καὶ πᾶσα ἀκρίβεια τῶν ἐκκλησιῶν ἀπελήλαται, καὶ φοβοῦμαι μὴ κατὰ μικρὸν τῆς ἀδιαφορίας ταύτης οὐδῷ προϊούσης, εἰς παντελῆ σύγχυσιν ἔλθῃ τὰ τῆς ἐκκλησίας πράγματα. Τοὺς ὑπηρετοῦντας τῇ ἐκκλησίᾳ, ἡ πάλαι ταῖς τοῦ θεοῦ ἐκκλησίαις ἐμπολιτευομένη συνήθεια μετὰ πάσης ἀκριβείας δοκιμάζουσα παρεδέχετο, καὶ ἐπολυπραγμονεῖτο πᾶσα αὐτῶν ἡ ἀναστροφὴ, εἰ μὴ λοίδοροι εἰσὶν, εἰ μὴ μέθυσοι, εἰ μὴ πρόχειροι πρὸς τὰς μάχας, εἰ παιδαγωγοῦσιν ἑαυτῶν τὴν νεότητα, ὥστε κατορθοῦν δύνασθαι τὸν ἁγιασμὸν, οὗ χωρὶς, οὐδεὶς ὄψεται τὸν κύριον· καὶ τοῦτο ἐξήταζον μὲν πρεσβύτεροι καὶ διάκονοι, οἱ συνοικοῦντες αὐτοῖς, ἐπανέφερον δὲ τοῖς χωρεπισκόποις, οἳ τὰς παρὰ τῶν ἀληθινῶς μαρτυρούντων δεξάμενοι ψήφους, καὶ ὑπομνήσαντες τὸν ἐπίσκοπον, οὕτως ἐνηρίθμουν τὸν ὑπηρέτην τῷ τάγματι τῷ ἱερατικῷ· νῦν δὲ πρῶτον μὲν ἡμᾶς παρωσάμενοι, καὶ μὴ δὲ ἐπαναφέρειν ἡμῖν καταδεχόμενοι, εἰς ἑαυτοὺς τὴν ὅλην

περιεσήσατε αὐθεντίαν· ἔπειτα καταῤῥαθυμοῦντες τοῦ πράγματος, πρεσβυτέροις καὶ διακόνοις ἐπετρέψατε, οὓς ἂν ἐθέλωσιν ἀπὸ ἀνεξετάστου βίου κατὰ προσπάθειαν, ἢ τὴν ἀπὸ συγγενείας, ἢ τὴν ἐξ ἄλλης τινὸς φιλίας, ἐπεισάγειν τῇ ἐκκλησίᾳ τοὺς ἀναξίους· διὸ πολλοὶ μὲν ὑπηρέται καταριθμοῦνται καθ' ἑκάστην κώμην, ἄξιος δὲ λειτουργίας θυσιαστηρίου οὐδείς, ὡς ὑμεῖς αὐτοὶ μαρτυρεῖτε, ἀπορσοῦντες ἀνδρῶν ἐν ταῖς ψηφοφορίαις· ἐπεὶ οὖν ὁρῶ τὸ πρᾶγμα λοιπὸν εἰς ἀνήκεστον προϊὸν, μάλιστα νῦν τῶν πλείσων φόβῳ τῆς στρατολογίας εἰσποιούντων ἑαυτοὺς τῇ ὑπηρεσίᾳ, ἀναγκαίως ἦλθον εἰς τὸ ἀνανεώσασθαι τοὺς τῶν πατέρων κανόνας, καὶ ἐπιστέλλω ὑμῖν ἀποσεῖλαι μοι τὴν ἀναγραφὴν ἑκάστης κώμης τῶν ὑπηρετούντων, καὶ ὑπὸ τίνος εἰσῆκται ἕκαστος καὶ ἐν ποίῳ βίῳ ἐστὶν· ἔχετε δὲ καὶ αὐτοὶ παρ' ἑαυτοῖς τὴν ἀναγραφὴν, ὥστε συγκρίνεσθαι τοῖς παρ' ἡμῖν ἀποκειμένοις γράμμασι τὰ ὑμέτερα, καὶ μηδενὶ ἐξεῖναι ἑαυτὸν ὅτε βούλεται παρεγγράφειν· οὕτω μέν τοι μετὰ τὴν πρώτην ἐπινέμησιν, εἴ τινες ὑπὸ πρεσβυτέρων εἰσήχθησαν, ἐπὶ τοὺς λαϊκοὺς ἀπορριφῶσιν· ἄνωθεν δὲ γένηται αὐτῶν παρ' ὑμῶν ἐξέτασις· κἂν μὲν ἄξιοι ὦσι, τῇ ὑμετέρᾳ ψήφῳ παραδεχθήτωσαν· ἐπεὶ καθαρίσατε τὴν ἐκκλησίαν, τοὺς ἀναξίους αὐτῆς ἀπελαύνοντες· καὶ τοῦ λοιποῦ, ἐξετάζετε μὲν τοὺς ἀξίους καὶ παραδέχεσθε· μὴ ἐπαριθμεῖτε δὲ πρὶν εἰς ἡμᾶς ἐπανενεγκεῖν· ἢ γινώσκετε, ὅτι λαϊκὸς ἔσται ὁ ἄνευ ἡμετέρας γνώμης εἰς ὑπηρεσίαν παραδεχθείς.

Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κανὼν α' γ'.

α' Ἕκαστα τῶν καθ' ἡμᾶς πραγμάτων, ὅταν εὐθὺ φέρωνται κανονικῆς εὐταξίας, οὐδένα μὲν ἡμῖν ἐντίκτει θόρυβον, ἀπαλλάττει δὲ καὶ τῆς παρά τινων δυσφημίας, μᾶλλον δὲ

καὶ τὰς παρὰ τῶν εὖ φρονούντων εὐφημίας ἡμῖν προξενεῖ· τίς γὰρ οὐκ ἂν ἀποδέξαιτο ψῆφον ἀπροσκλινῆ, ἥπερ ἂν γένοιτο περί τινων; ἢ πῶς τὸ κρίνειν ὀρθῶς καὶ ἐννόμως οὐκ ἀνεπίπληκτον ἔσται, μᾶλλον δὲ παντὸς ἐπαίνου μεστόν· καὶ ταῦτα γράφω νυνὶ· τῆς σῆς θεοσεβείας ἐν τοῖς ἑαυτοῦ γράμμασι τοῖς σταλεῖσι πρὸς ἐμὲ τε καὶ τὸν ὁσιώτατόν τε καὶ θεοφιλέστατον ἀδελφὸν ἡμῶν καὶ συνεπίσκοπον Πρόκλον, ἐπίσκοπον μὲν ὀνομαζούσης, τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον Πέτρον· αὐτοῦ δὲ κλαίοντος, καὶ τῆς ἐκνεμηθείσης ἐκκλησίας αὐτῷ παραλόγως κεκινῆσθαι λέγοντος· ἦν δ' ἀκόλουθον, ἢ τὸ τῆς ἱερωσύνης ὄνομα μετὰ τοῦ πράγματος ἔχειν αὐτὸν, ἢ γοῦν εἴπερ ἦν ἄξιος τοῦ μὴ προεσθαι θείου θυσιαστηρίου, μὴ δ' αὐτῇ τιμᾶσθαι τῇ κλήσει τῆς ἐπισκοπῆς· ἀλλ' ἴσως δόξειεν ἂν τῇ σῇ θεοσεβείᾳ, σκληρὸς εἶναί τις καὶ ἀφιλάλληλος ὁ παρ' ἐμοῦ λόγος· ἔχει δὲ οὐχ' οὕτω κατὰ τὸ ἀληθὲς· ἐλεῆσαι γὰρ τάχα που νομίζομεν τὸν πρεσβύτην, μόνην αὐτῷ τὴν κλῆσιν ἀφέντες· μακρῷ δὲ ἦν ἄμεινον ἐννοῆσαι καὶ τὸ ἕτερον· φάσκει γὰρ, δύνασθαι μὲν συστῆναι τῇ οἰκείᾳ ὑπολήψει, οὐ λαβεῖν δὲ καιρὸν ἀπολογίας· οὔτε μὴν ἀκρόασιν αὐτῷ προτεθεῖναι κανονικὴν· εἰ δὲ ἐγεγόνει τί τοιοῦτον, αὐτὴ τῶν ὑπομνημάτων ἡ σύστασις δηλεγξεν ἂν αὐτὸν, ἢ ἁλόντα τοῖς αἰτιάμασιν ἔνοχον ἀποπεφασμένον, καὶ οὐδὲν ἔχοντα λοιπὸν εἰπεῖν ὡς ἠδικημένον· ἢ γοῦν ἐλεύθερον ἀποφήνασα, ὡς πάλιν ἐδίδου τὸ προεσθαι τῆς ἐκκλησίας, ἢ καὶ ὑπὸ χεῖρα γέγονε τὴν αὐτοῦ· οὐδενὸς δὲ πεπραγμένου τοιούτου, καταβοᾷ τοῦ πράγματος, ἀδικίαν ἀφόρητον ὑποστῆναι φησὶ, καὶ ἀθέσμως ἐκβεβλῆσθαι, προσεπάγων ὅτι καὶ ἡρπάσθη πάντα τὰ αὐτῷ προσήκοντα χρήματα· ἡ σὴ τοιγαροῦν ὁσιότης ἐννοοῦσα καὶ τὸ

τοῖς θείοις κανόσι δοκοῦν, καὶ τὸ πρέπον ἐκκλησίᾳ, καὶ τοῖς τεταγμένοις εἰς ἱερὰν λειτουργίαν, ἔτι τε πρὸς τούτοις καὶ τὰ παρ' ἡμῶν ὑποσημηθεῖσα γράμματα, στησάτω τοῦ πρεσβύτου τὸ δάκρυον· καὶ εἰ μὲν ἔλοιτο δικάσασθαι πρὸς τοὺς ἐπάγοντας αὐτῷ τὰς αἰτίας, δικαζέσθω κατὰ τὸ εἰωθὸς ἐπὶ τῆς σῆς θεοσεβείας, συμπαρόντων ὁπλονότι τῶν ὑπὸ τὴν αὐτῆς χεῖρα θεοσεβεστάτων ἐπισκόπων· ἐκτὸς, εἰ μὴ παραιτοῖτό τινας ὡς ὑπόπτους· οὐδένα μὲν γὰρ τῶν θεοσεβεστάτων ἐπισκόπων ἐχθρὰ φρονεῖν ἀδελφῷ πιστεύομεν· ἵνα δὲ μὴ πρόφασις αὕτη γένηται τὴν ἐσομένην ἐπ' αὐτῷ κρίσιν παραλύουσα, πρὸς τὸ μὴ ἐν δίκῃ πεποιῆσθαι δοκεῖν, οὐδέν ἐστι τὸ λυποῦν ἀπεῖναι τοῦ συνεδρίου τῶν ἐν ὑποψίᾳ τινάς.

γ' Τοὺς δὲ τῆς παραιτήσεως λιβέλλους, οὐ κατὰ προαίρεσιν οἰκείαν, ἀλλ' ὡς ἐξ ἀνάγκης καὶ φόβου καὶ τῆς τινῶν ἀπειλῆς, ἐπιδοῦναι φησὶ· καὶ ἕτερος δὲ, πρᾶγμα ἐστὶν οὔτε τοῖς τῆς ἐκκλησίας ἀρέσκον θεσμοῖς, τὸ λιβέλλους παραιτήσεως προσάγειν τινὰς τῶν ἱερουργῶν· εἰ γάρ εἰσιν ἄξιοι τοῦ λειτουργεῖν, ἔσωσαν ἐν τούτῳ· εἰ δὲ ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, κατεγνωσμένοι δὲ μᾶλλον ἐπὶ πράγμασιν· ὧν ἄν τις πολλὴν ποιήσαιτο τὴν καταβοὴν, ὡς ἔξω τρεχόντων πάσης ἀκολουθίας; πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίῳ προσαγορεύει.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς ἐν Λιβύῃ καὶ Πενταπόλει ἐπισκόπους ἐπιστολῆς, κανὼν α' γ'.

α' Νεωστὶ γεγαμηκότες τινὲς, καὶ εἶσον ἐξ αὐτῶν καταβάντες τῶν νυμφώνων, συναρπάζουσί τινας τῶν θεοφιλεστάτων ἐπισκόπων, καὶ οὐδενὸς τάχα που τὰ κατ' αὐτοὺς ἀπαγγέλλοντος, χειροτονοῦνται κληρικοὶ ἤγουν πρεσβύτεροι.

γ' Ἐπειδὴ τοίνυν πρὸς οἰκοδομὴν ὡς ἔφην τῶν λαῶν πάντα

χρὴ πράττεσθαι παρ' ἡμῶν, ἐπιτηρείτω ταῦτα ἡ θεοσέβεια ὑμῶν, καὶ εἰ μέλλει τίς χειροτονεῖσθαι κληρικὸς, περιεργαζέσθω τὸν βίον αὐτοῦ, καὶ πότερόν ποτε γαμετὴν ἔχει ἢ οὔ, καὶ πῶς ἢ πότε ἠγάγετο, καὶ εἰ ἀπέσχετο, καὶ εἰ μή τις ἐστὶ τῶν ἐκβεβλημένων, ἢ παρ' ἑτέρου θεοσεβεστάτου ἐπισκόπου, ἢ ἐκ μοναστηρίων· καὶ τότε χειροτονείτω, ἀδιάβλητον εὑρεθέντα· τηρήσωμεν γὰρ οὕτω καθαρὸν καὶ τὸ ἑαυτῶν συνειδὸς, καὶ ἀδιάβλητον τὴν ἱερὰν καὶ σεπτὴν λειτουργίαν.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν ς'.

Περὶ τῶν ὀφειλόντων χειροτονεῖσθαι, οὗτος ἔσω τύπος· ς'
ὡς τε πᾶν τὸ ἱερατεῖον συμφωνεῖν καὶ αἱρεῖσθαι, καὶ τότε τὸν ἐπίσκοπον δοκιμάζειν· καὶ συναινοῦντος αὐτῷ τοῦ ἱερατείου, χειροτονεῖν ἐν μέσῃ τῇ ἐκκλησίᾳ, παρόντος τοῦ λαοῦ καὶ προσφωνοῦντος τοῦ ἐπισκόπου, εἰ καὶ ὁ λαὸς δύναται αὐτῷ μαρτυρεῖν· χειροτονία δὲ λαθραίως μὴ γινέσθω· τῆς γὰρ ἐκκλησίας εἰρήνην ἐχούσης, πρέπει πάντων τῶν ἁγίων τὰς χειροτονίας ἐπὶ τῆς ἐκκλησίας γίνεσθαι· ἐν δὲ τῇ ἐνορίᾳ, εἰ μὲν κοινωνήσαντες εἰσὶ τινὲς ταῖς τῶν κοινωνησάντων γνώμαις, μὴ ἄλλοι χειροτονείσθωσαν, ἀλλὰ τῶν ἀληθῶς ὀρθοδόξων κληρικῶν δογματιζόντων, παρόντος πάλιν τοῦ ἐπισκόπου, καὶ προσφωνοῦντος παρόντος τοῦ λαοῦ μόνον, ἵνα μὴ περιδρομή τις γίνηται.

Βιβλίον α'. τίτ. γ'. διάτ. ιβ', λ', ρβ', μζ', νβ'. καὶ τίτ. α' τῶν νεαρῶν, διάτ. α', β', ιζ. νεαρὰ ς', ρκγ', ρλζ'.

Περὶ τοῦ μὴ χρῆναι τοῖς ὄχλοις ἐπιτρέπειν τῶν ἱερέων ἐπιλογήν.

ΚΕΦ. Ζ.

Συνόδου Λαοδικείας κανὼν ιγ'.

ιγ' Περὶ τοῦ μὴ τοῖς ὄχλοις ἐπιτρέπειν τὰς ἐκλογὰς ποιεῖσθαι τῶν μελλόντων καθίστασθαι εἰς ἱερατείαν.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν γ'.

γ' Πᾶσαν ψῆφον γινομένην παρὰ ἀρχόντων, ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου, ἄκυρον μένειν κατὰ τὸν κανόνα τὸν λέγοντα· εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω· καὶ ἀφοριζέσθωσαν καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες· δεῖ γὰρ τὸν μέλλοντα προβιβάζεσθαι εἰς ἐπισκοπὴν, ὑπὸ ἐπισκόπων ψηφίζεσθαι, καθὼς παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ὥρισται ἐν τῷ κανόνι τῷ λέγοντι, ἐπίσκοπον προσήκει etc. ut p. 22.

ΚΕΦ. Η.

Περὶ τῆς γινομένης ἀντιλογίας ἐπὶ τῇ χειροτονίᾳ τοῦ ἐπισκόπου.

Συνόδου Ἀντιοχείας κανὼν ιϑ'.

Ἐπίσκοπον μὴ χειροτονεῖσθαι etc. ut p. 30-31.

Συνόδου Καρθαγέννης κανὼν ν'.

Πόσοι ἐπίσκοποι προστεθῆναι ὀφείλουσι τῷ ἀριθμῷ τῶν χειροτονούντων, ἐὰν περὶ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἀντιλογία γένηται.

ν' Ἐκεῖνο δὲ ὁρίσαι δεῖ· ὥστε ἐάν ποτε πρὸς ἐπιλογὴν ἐπισκόπου συνέλθωμεν, καὶ ἀναφυῇ τίς ἀντιλογία, ἐπειδὴ τὰ τοιαῦτα παρ' ἡμῖν ἐτρακταίσθησαν, τολμηρὸν εἶναι λοιπὸν

τρεῖς μόνους πρὸς τὸ καθᾶραι τὸν χειροτονηθησόμενον εὑρεθῆναι· ἀλλὰ τῷ προλεχθέντι ἀριθμῷ προστεθῇ εἷς καὶ δύο· καὶ ἐπὶ αὐτοῦ τοῦ λαοῦ αὐτοῦ οὗ μέλλει χειροτονεῖσθαι, ἐξετασθῶσι πρῶτον τὰ πρόσωπα τῶν ἀντιλεγόντων· ἐς ὕστερον γὰρ, καὶ τὰ προτεθειμένα συξευχθῶσι· καὶ ὅτε καθαρὸς φανείη ἐπὶ δημοσίας προσόψεως, εἶθ' οὕτως χειροτονηθείη· ἐὰν τοῦτο ἀποδέχηται ἡ ὑμετέρα ἁγιωσύνη, τῇ ὁμονοητικῇ ἀποκρίσει τοῦ ὑμετέρου ἀξιώματος βεβαιωθείη.

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη, πάνυ ἀρέσκει.

Τίτλος α' τῶν νεαρῶν, διάτ. α', β', ιζ', ἐν οἷς καὶ περὶ ἀντιλογίας χειροτονίας κληρικῶν καὶ ἡγουμένων· ἡ μὲν γὰρ α' διάταξις, τοῦ α' τίτ. τῶν νεαρῶν παρακελεύεται τὰς τῶν ἐπισκόπων χειροτονίας, ἐπὶ παντὸς τοῦ λαοῦ τῆς ἐκκλησίας γίνεσθαι, πρὸς τὸ ἄδειαν ἔχειν πάντα τὸν βουλόμενον ἀντιλέγειν· καὶ εἴ γε πρὸ τῆς χειροτονίας γένοιτο ἡ ἀντίῤῥησις, μὴ πρότερον χειροτονεῖσθω, πρὶν ἂν ἡ ἐξέτασις γένηται, καὶ φανῇ παντα χόθεν ἀνεύθυνος· εἰ δὲ πρὸ τῆς ἐξετάσεως χειρστονηθείη, καὶ τῆς ἱερατείας ἐκπεσεῖται σὺν αὐτῷ τῷ χειροτονήσαντι· εἰ μέν τι ὁ πρὸς τὴν χειροτονίαν ἀντειπὼν, συκοφάντης φανείη, ἢ μὴ ἐπεξέλθοι, χωριζέσθω διηνεκῶς τῆς ἁγίας κοινωνίας, παρὰ τοῦ τὴν χειροτονίαν ποιοῦντος· ἡ δὲ χειροτονία γινέσθω· ἡ δὲ β' διάταξις τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι ἐὰν ἡ ἀντίῤῥησις ἐπὶ αἰτίᾳ γένηται, ἐμποδίσαι τῇ χειροτονίᾳ δυναμένῃ κατὰ τοὺς νόμους ἢ τοὺς κανόνας· καὶ ὅτι παρόντος ἑκατέρου μέρους, ἡ ἐξέτασις γίνεται ἡ τοῦ κατηγόρου, ἐπὶ τρεῖς μῆνας ὑπερτιθεμένου πληρῶσαι τὴν κατηγορίαν· καὶ ὅτι μὴ δεικνὺς ὁ κατήγορος ἢ ἀποφεύγων, ἐκβάλλεται τῆς ἐπαρχίας ἐν ᾗ οἰκεῖ· γινομένης δὲ τῆς χειρστονίας πρὸ τῆς ἐξετάσεως, ὁ μὲν χειροτονηθεὶς

ἐξωθεῖται· ὁ δὲ χειροτονήσας, ἐπὶ ἐνιαυτὸν κωλύεται τῆς θείας λειτουργίας, καὶ πᾶσα ἡ οὐσία αὐτοῦ προσκυροῦται τῇ κατ' αὐτὸν ἐκκλησίᾳ· ἡ αὐτὴ δὲ διάταξις θέλει τὰ αὐτὰ κρατεῖν καὶ ἐπὶ ταῖς χειροτονίαις τῶν κληρικῶν· ἡ δὲ ιζ' διάταξις τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι τινὸς κατηγορουμένου, ἐφ' οἱασδήποτε αἰτίᾳ, τοῦ μέλλοντος χειροτονεῖσθαι, γινέσθω πρότερον ἡ ἐξέτασις, τοῦ κατηγόρου ἐπεξιόντος· εἰ δὲ ἀπολειφθῇ, ἢ ἀναβάλλεται, ποιείτω τὴν ζήτησιν ὁ μέλλων χειροτονεῖν, εἴσω τριῶν μηνῶν· καὶ ἐὰν ἀνεύθυνος φανῇ, παρόντος ἢ ἀπολειφθέντος τοῦ κατηγόρου, χειροτονείσθω· καὶ ὁ κατήγορος, εἰ μὲν κληρικός ἐστιν ἐκβάλλεται τοῦ βαθμοῦ αὐτοῦ· εἰ δὲ λαϊκὸς, σωφρονίζεται· τῆς δὲ χειροτονίας γινομένης πρὸ ἐξετάσεως, τῆς ἱερωσύνης ὁ χειροτονηθεὶς καὶ ὁ χειροτονήσας ἐκβάλλονται· λέγει δὲ τὰ αὐτὰ κρατεῖν καὶ ἐπὶ χειροτονίᾳ ἐπισκόπων καὶ κληρικῶν καὶ ἡγουμένων.

ΚΕΦ. Θ.

Περὶ τοῦ χρόνου οὗ ἐντὸς δεῖ τοὺς ἐπισκόπους χειροτονεῖσθαι.

Συνόδου Χαλκηδόνος κανὼν κέ.

κέ Ἐπειδή περ τινὲς τῶν μητροπολιτῶν ὡς περιεχήθημεν, ἀμελοῦσι τῶν ἐγκεχειρισμένων αὐτοῖς ποιμνίων, καὶ ἀναβάλλονται τὰς χειροτονίας τῶν ἐπισκόπων, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ἐντὸς τριῶν μηνῶν γίνεσθαι τὰς χειροτονίας τῶν ἐπισκόπων· εἰ μή ποτε ἄρα ἀπαραίτητος ἀνάγκη, παρασκευάσοι ἐπιταθῆναι τὸν τῆς ἀναβολῆς χρόνον· εἰ δὲ μὴ τοῦτο ποιήσοι, ὑποκεῖσθαι αὐτὸν ἐκκλησιαστικῷ ἐπιτιμίῳ· τὴν μέν τοι πρόσοδον τῆς χηρευούσης ἐκκλησίας σώαν παρὰ τῷ οἰκονόμῳ τῆς αὐτῆς ἐκκλησίας φυλάττεσθαι.

Συνόδου ἕκτης κανὼν ιδ'.

Ὁ τῶν ἁγίων καὶ Θεοφόρων ἡμῶν πατέρων κρατείτω κανὼν καὶ ἐν τούτῳ, ὥστε πρεσβύτερον πρὸ λ' ἐτῶν, μὴ χειροτονεῖσθαι, κἂν πάνυ ᾖ ἄξιος ὁ ἄνθρωπος, ἀλλ' ἀποτηρεῖσθαι· ὁ γὰρ κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐβαπτίσθη, καὶ ἤρξατο διδάσκειν· ὁμοίως μήτε διάκονον πρὸ τῶν κέ ἐτῶν, ἢ διακόνισσαν πρὸ τῶν μ' χρόνων χειροτονεῖσθαι. ιδ'

Ἡ β' διάταξις τοῦ α' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐὰν ὑπέρθωνται οἱ τῆς πόλεως ἐπὶ ἓξ μῆνας ψηφίσασθαι τὸν ἐπίσκοπον, πειείτω τὴν χειροτονίαν ᾧ τινι ἁρμόζει, κινδύνῳ τῆς ἑαυτοῦ ψυχῆς, τῶν ἄλλων πάντων παραφυλαττομένων.

ΚΕΦ. Ι.

Περὶ τοῦ μὴ χειροτονεῖσθαι τινὰ ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, πρὶν ἢ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ, χριστιανοὺς ὀρθοδόξους ποιήσει.

Συνόδου Καρθαγέννης κανὼν λς'.

Ὥστε ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους μὴ χειροτονεῖσθαι· πρὶν ἢ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτῶν, χριστιανοὺς ὀρθοδόξους ποιήσουσιν. λς'

Καὶ ἡ η' διάταξις τοῦ ε' τίτ. τοῦ α' βιβλίου, καὶ ἡ ι' τοῦ ια' τίτ., τιμωροῦνται τοὺς σαμαρείτας καὶ Ἕλληνας βαπτιζομένους καὶ μὴ προσάγοντας τὰς γαμετὰς αὐτῶν καὶ παῖδας καὶ τοὺς ἐν τοῖς οἴκοις αὐτῶν, τῷ ἁγίῳ βαπτίσματι.

ΚΕΦ. ΙΑ.

Περὶ τῶν ἀπὸ λαϊκῶν, γινομένων ἐπισκόπων.

Συνόδου Σαρδικῆς κανὼν ί.

Ἅπαντες οἱ ἐπίσκοποι ἀπεκρίναντο ἀρέσκειν αὐτοῖς, καὶ πρεπωδεστάτην εἶναι τὴν συμβουλὴν ταύτην.

ί Ὅσιος ἐπίσκοπος εἶπε, καὶ τοῦτο ἀναγκαῖον εἶναι νομίζω· εἰ μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας ἐξετάζοιτο, ὥστε ἐάν τις πλούσιος ἢ σχολαστικὸς, ἀπὸ τῆς ἀγορᾶς ἀξιοῖτο ἐπίσκοπος γίνεσθαι, μὴ πρότερον καθίσασθαι, ἐὰν μὴ καὶ ἀναγνώσου καὶ διακόνου καὶ πρεσβυτέρου, ὑπηρεσίαν ἐκτελέσει· ἵνα καθ' ἕκαστον βαθμὸν, ἐάν περ ἄξιος νομισθείη, εἰς τὴν ἁψίδα τῆς ἐπισκοπῆς κατὰ προκοπὴν διαβῆναι δυνηθείη· ἔξει δὲ ἑκάστου τάγματος ὁ βαθμὸς οὐκ ἐλαχίστου δηλονότι χρόνου μῆκος· δι' οὗ ἡ πίστις αὐτοῦ, καὶ ἡ τῶν πραγμάτων καλοκαγαθία, καὶ ἡ σεμνότης, καὶ ἡ ἐπείκεια, γνώριμος γενέσθαι δυνήσεται, καὶ αὐτὸς ἄξιος τῆς θείας ἱερωσύνης νομισθεὶς, τῆς μεγίστης ἀπολαύσει τιμῆς· οὔτε γὰρ προσῆκεν ἐστὶν, οὔτε ἡ ἐπιστήμη, οὔτε ἡ ἀγαθὴ ἀναστροφὴ, ἐπιδέχεται τολμηρῶς καὶ κύφως ἐπὶ τοῦτο ἴέναι, ὥστε ἢ ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον προχείρως καθίστασθαι· οὕτω γὰρ ἂν εἰκότως νεόφυτος νομισθείη, ἐπειδὴ μάλιστα καὶ ὁ μακαριώτατος ἀπόστολος, ὃς καὶ τῶν ἐθνῶν γεγένηται διδάσκαλος, φαίνεται κωλύσας ταχείας γίνεσθαι τὰς καταστάσεις· τοῦ γὰρ μηκίστου χρόνου ἡ δοκιμασία, τὴν ἀναστροφὴν καὶ τὸν ἑκάστου τρόπον, οὐκ ἀπεικότως ἐκτυπεῖν δυνήσεται.

Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν τῷ ναῷ
τῶν ἁγίων ἀποστόλων, κανὼν ιζ'.

Ἐν πᾶσι τῆς ἐκκλησιαστικῆς εὐταξίας φροντίζοντες, καὶ ιζ
τοῦτο ὁρίσαι ἀναγκαῖον ἐθέμεθα· ὥστε τοῦ λοιποῦ, μηδένα
τῶν λαϊκῶν ἢ μοναχῶν, ἀθρόως εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος
ἀνάγεσθαι, ἀλλὰ τοῖς ἐκκλησιαστικοῖς βαθμοῖς ἐξεταζόμενον
πρότερον, οὕτω τῆς ἐπισκοπῆς τὴν χειροτονίαν ὑποδέχεσθαι·
εἰ γὰρ καὶ μέχρι τοῦ νῦν, ἀπὸ τῶν λαϊκῶν ἢ μοναχῶν τι-
νὲς, ἀπαιτούσης χρείας, παραυτίκα τιμῆς ἄξιοι γεγόνασιν
ἐπισκοπῆς, ἀρετῇ τὲ διαπρέψαντες, καὶ τὴν κατ' αὐτοὺς ἐκ-
κλησίαν ὑψώσαντες, ἀλλὰ τό γε σπάνιον οὐδαμοῦ νόμον τῆς
ἐκκλησίας τιθέμενοι, ὁρίζομεν τοῦ λοιποῦ μηκέτι τοῦτο γίνε-
σθαι· εἰ μὴ κατὰ λόγον ὁ χειροτονούμενος, τὸν ἱερατικὸν
προέλθοι βαθμὸν, ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρό-
νον ἀποπληρῶν.

Ἡ β' διάταξις τοῦ α' τίτ. τῶν νεαρῶν, οὐ συγχωρεῖ ἀπὸ
λαϊκῶν εὐθέως ἐπίσκοπον χειροτονεῖσθαι, ἀλλὰ πρότερον κλη-
ρικὸν, καὶ μένειν ἐπὶ τρεῖς μῆνας, τὰς γραφὰς διδασκόμενον
καὶ τοὺς κανόνας· ἡ δὲ α' διάταξις τοῦ αὐτοῦ τίτ. βούλεται
αὐτὸν οὐχ' ἧττον ἓξ μηνῶν προκληρωθῆναι ἢ προμονάσαι.

ΚΕΦ. ΙΒ.

Πῶς ὁ ἐθνικὸς, ἢ ὁ ἐν νόσῳ, ἢ ὁ νεωστὶ βαπτισθεὶς,
καὶ ὁ ἐκ φαύλης διαγωγῆς, χειροτονεῖται
ἐπίσκοπος ἢ κληρικός.

Ἀποστόλων κανὼν π'.

Τὸν ἐξ ἐθνικοῦ βίου προσελθόντα καὶ βαπτισθέντα, ἢ π'
ἐκ φαύλης διαγωγῆς, οὐ δίκαιόν ἐστι παραυτὰ προχειρίζε-

σθαι ἐπίσκοπον· ἄδικον γὰρ, τὸν μηδέπω πεῖραν ἐπιδειξάμενον, ἑτέρων εἶναι διδάσκαλον· εἰ μή που κατὰ θείαν χάριν τοῦτο γένηται.

Συνόδου Νικαίας, κανὼν β'.

β' Ἐπειδὴ πολλὰ ἤτοι ὑπὸ ἀνάγκης, ἢ ἄλλως ἐπειγομένων τῶν ἀνθρώπων, ἐγένετο παρὰ τὸν κανόνα τὸν ἐκκλησιαστικὸν, ὥστε ἀνθρώπους ἀπὸ ἐθνικοῦ βίου ἄρτι προσελθόντας τῇ πίστει, καὶ ἐν ὀλίγῳ χρόνῳ κατηχηθέντας, εὐθὺς ἐπὶ τὸ πνευματικὸν λουτρὸν ἄγειν, καὶ ἅμα τῷ βαπτισθῆναι προάγειν εἰς ἐπισκοπὴν, ἢ εἰς πρεσβυτέριον, καλῶς ἔδοξεν ἔχειν, τοῦ λοιποῦ μηδὲν τοιοῦτον γίνεσθαι· καὶ γὰρ καὶ χρόνου δεῖ τῷ κατηχουμένῳ· καὶ μετὰ τὸ βάπτισμα, δοκιμασίας πλείονος· σαφὲς γὰρ τὸ ἀποστολικὸν γράμμα τὸ λέγον, μὴ νεόφυτον· ἵνα μὴ τυφωθεὶς, εἰς κρίμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.

Εἰ δὲ προϊόντος τοῦ χρόνου ψυχικόν τι ἁμάρτημα εὑρεθείη περὶ τὸ πρόσωπον, καὶ ἐλέγχοιτο ὑπὸ δύο ἢ τριῶν μαρτύρων, πεπαύσθω ὁ τοιοῦτος τοῦ κλήρου· ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς ὑπεναντία τῇ μεγάλῃ συνόδῳ θρασυνόμενος, αὐτὸς κινδυνεύσει περὶ τὸν ἴδιον κλῆρον.

Συνόδου Νεοκαισαρείας κανὼν ιβ'.

ιβ' Ἐὰν νοσῶν τίς φωτισθῇ, εἰς πρεσβυτέριον ἄγεσθαι οὐ δύναται· οὐκ ἐκ προαιρέσεως γὰρ ἡ πίστις αὐτοῦ, ἀλλ' ἐξ ἀνάγκης· εἰ μὴ τάχα διὰ τὴν μετὰ ταῦτα αὐτοῦ σπουδὴν καὶ πίστιν καὶ διὰ σπάνιν ἀνθρώπων.

Συνόδου Λαοδικείας κανὼν γ'.

γ' Περὶ τοῦ μὴ δεῖν προσφάτως φωτισθέντα, προσάγεσθαι ἐν τάγματι ἱερατικῷ.

ΚΕΦ. ΙΓ.

Πῶς σχολάζων ἐπίσκοπος γίνεται εἰς σχολάζουσαν ἐπισκοπήν.

Συνόδου Ἀντιοχείας, κανὼν ις'.

ις' Εἴ τις ἐπίσκοπος σχολάζων, ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἑαυτὸν ἐπιῤῥίψας, ὑφαρπάζει τὸν θρόνον δίχα συνόδου τελείας, τοῦτον ἀπόβλητον εἶναι, κἂν εἰ πᾶς ὁ λαὸς ὃν ὑφήρπασεν ἔλκοιτο αὐτόν· τελείαν δὲ ἐκείνην εἶναι σύνοδον, ἣ συμπόρεστι καὶ ὁ τῆς μητροπόλεως ἐπίσκοπος.

ΚΕΦ. ΙΔ.

Πότε δύναται γενέσθαι ἐπίσκοπος ἢ κληρικὸς εὐνοῦχος, ἢ ἄλλως ἐμπαθὴς τὸ σῶμα.

Ἀποστόλων κανὼν κα' κβ' οζ' οη'.

κα' Εὐνοῦχος εἰ μὲν ἐξ ἐπηρείας ἀνθρώπων ἐγένετό τις, ἢ ἐν διωγμῷ ἀφηρέθη τὰ τῶν ἀνδρῶν, ἢ οὕτως ἔφυ, καὶ ἔστιν ἄξιος ἐπισκοπῆς, γινέσθω.

κβ' Ὁ ἀκρωτηριάσας ἑαυτὸν, μὴ γινέσθω κληρικὸς· αὐτοφονευτὴς γάρ ἐστιν ἑαυτοῦ, καὶ τῆς τοῦ θεοῦ δημιουργίας ἐχθρός.

οζ' Εἴ τις ἀνάπηρος ἢ τὸν ὀφθαλμὸν, ἢ τὸ σκέλος πεπληγμένος, ἄξιος δέ ἐστιν ἐπισκοπῆς, γιγνέσθω· οὐ γὰρ λώβη σώματος αὐτὸν μιαίνει, ἀλλὰ ψυχῆς μολυσμός.

οη' Κωφὸς δὲ ὢν καὶ τυφλὸς, μὴ γινέσθω ἐπίσκοπος· οὐχ' ὡς μεμιαμμένος, ἀλλ' ἵνα μὴ τὰ ἐκκλησιαστικὰ παρεμποδίζοιτο.

Συνόδου Νικαίας κανὼν α'.

α' Εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ· εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, τοῦτον καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον, πεπαῦσθαι προσήκει· καὶ ἐκ τοῦ δεῦρο, μηδένα τῶν τοιούτων χρῆναι προάγεσθαι· ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα, καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν εἴρηται· οὕτως εἴ τινες ὑπὸ βαρβάρων ἢ δεσποτῶν εὐνουχίσθησαν, εὑρίσκοιντο δὲ ἄλλως ἄξιοι, τοὺς τοιούτους εἰς κλῆρον προσίσταται ὁ κανών.

Ὁ πολιτικὸς νόμος τοὺς ἑαυτοὺς ἢ ἑτέρους εὐνουχίζοντας διαφόρως τιμωρεῖται, ποτὲ μὲν κεφαλικῶς, ποτὲ δὲ δημεύσει καὶ ἐξορίᾳ, ποτὲ δὲ ταυτοπαθείᾳ· καθόλου γὰρ ἐν τῇ πολιτείᾳ ἡμῶν, οὐδένα συγχωρεῖ εὐνουχίζεσθαι· ἀλλὰ παρὰ βαρβάροις μόνοις βαρβάρους· εἰ δέ τις παρ' ἡμῖν εὐνουχισθῇ, ἐλευθεροῦται, εἴπερ ἦν δοῦλος, κἂν διὰ νόσον εὐνουχισθῇ· ὡς βιβ. δ' τοῦ κωδ. τίτ. μβ' διάτ. α' καὶ β', καὶ βιβ. μή', τιτ. η', διάτ. γ' δ' ε' ς' ια'· καὶ ἐν τῇ περὶ τῶν εὐνουχιζόντων ρμβ' νεαρᾷ.

ΚΕΦ. ΙΕ.

Περὶ τοῦ δαιμονιζόμενον μὴ κληροῦσθαι.

Ἀποστόλων κανὼν οθ'.

οθ' Ἐάν τις δαίμονα ἔχῃ, κληρικὸς μὴ γινέσθω, ἀλλὰ μὴ δὲ τοῖς πιστοῖς συνευχέσθω· καθαρισθεὶς δὲ, προσδεχέσθω· καὶ ἐὰν ᾖ ἄξιος, γινέσθω.

ΚΕΦ. Ις.

Περὶ τοῦ μὴ πειθαρχοῦντος τῷ ἰδίῳ ἐπισκόπῳ, βουλομένῳ χειροτονεῖν αὐτὸν εἰς μείζονα βαθμόν.

Συνόδου Καρθαγέννης κανὼν λα'.

Ἐάν τις κληρικὸς ἐκ τῶν ἰδίων ἐπισκόπων πρεσβυτέρους καταφρονῇ, μὴ δὲ ἐκεῖ μείνῃ ὅθεν ἀναχωρῆσαι οὐκ ἠθέλησεν. λα'

Ὁμοίως ἤρεσεν, ἵνα οἱσιδήποτε κληρικοὶ καὶ διάκονοι, ἐὰν μὴ πειθαρχῶσι τοῖς ἐπισκόποις αὐτῶν, βουλομένοις διά τινας ἀναγκαστικὰς αἰτίας τῶν ἐκκλησιῶν αὐτῶν τούτους πρὸς μείζονας ἀναβιβάσαι τιμὰς ἐν τῇ ἐκκλησίᾳ αὐτῶν, μὴ δὲ ἐν ἐκείνῳ τῷ βαθμῷ διακονήσωσιν, ἐξ οὗ ἀναχωρῆσαι οὐκ ἠθέλησαν.

Βασιλείου κανὼν ί'.

Οἱ ὀμνύοντες μὴ καταδέχεσθαι τὴν χειροτονίαν, ἐξομνύμενοι μὴ ἀναγκαζέσθωσαν ἐπιορκεῖν· εἰ γὰρ καὶ δοκεῖ τις εἶναι κανὼν ὁ συγχωρῶν τοῖς τοιούτοις, ἀλλὰ πείρᾳ ἐγνώκαμεν, ὅτι οὐκ εὐοδοῦνται οἱ παρορκήσαντες· σκοπεῖν δὲ δεῖ καὶ τὸ εἶδος τοῦ ὅρκου, καὶ τὰ ῥήματα, καὶ τὴν διάθεσιν ἀφ' ἧς ὁμωμόκασι, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας· ὡς ἐὰν μηδεμίᾳ ἢ μηδαμόθεν παραμυθία, χρὴ παντελῶς ἐᾶν τοὺς τοιούτους· τὸ μέν τοι κατὰ Σεβῆρον πρᾶγμα, ἤτοι τὸν ὑπὸ τούτου χειροτονηθέντα πρεσβύτερον, τοιαύτην τινά μοι δοκεῖ παραμυθίαν ἔχειν, εἰ καὶ σοὶ συνδοκεῖ· τὸν ἀγρὸν ἐκεῖνον τὸν ἐπικείμενον τῇ Μισθίᾳ, ᾧ ἐπεκηρύχθη ὁ ἄνθρωπος, κέλευσον Οὐασσέδοις ὑποτελεῖν· οὕτω γὰρ κἀκεῖνος σὺ παρορκήσει, μὴ ἀναχωρῶν τοῦ τόπου· καὶ ὁ Λογγῖνος ἔχων τὸν Κυριακὸν μεθ' ἑαυτοῦ, οὐκ ἐρημώσει ί'

τὴν ἐκκλησίαν, οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν διὰ τῆς ἀργίας καταδικάσει· καὶ ἡμεῖς δόξομεν μὴ παρὰ κανόνας ποιεῖν τί συμπεριφερόμενοι τῷ Κυριακῷ, ὁμόσαντι μὲν συμπαραμένειν Μινδάνις, καταδεξαμένῳ δὲ τὴν μετάθεσιν· ἡ γὰρ ἐπάνοδος, φυλακὴ ἔσται τοῦ ὅρκου· τὸ δὲ εἶξαι αὐτὸν τῇ οἰκονομίᾳ, εἰς ἐπορκίαν αὐτῷ οὐ λογισθήσεται, διὰ τὸ μὴ προσκεῖσθαι τῷ ὅρκῳ, μὴ δὲ πρὸς βραχὺ ἀναχωρῆσαι Μινδάνων, ἀλλὰ παραμένειν εἰς τὸ ἐφεξῆς· Σεβήρῳ δὲ προφασιζομένῳ τὴν λήθην, ἡμεῖς συγχωρήσομεν εἰπόντες, ὅτι ὁ τῶν κρυπτῶν γνώστης, οὐ περιόψεται τὴν ἑαυτοῦ ἐκκλησίαν ὑπὸ ταιούτου λυμαινομένην, ποιοῦντος μὲν ἀκανονίστως τὸ ἐξ ἀρχῆς, ὅρκῳ δὲ καταδεσμοῦντος παρὰ τὰ εὐαγγέλια, παρορκεῖν δὲ διδάσκοντος δι' ὧν μετετέθη, ψευδομένου δὲ νῦν δι' ὧν τὴν λήθην σχηματίζεται· ἐπειδὴ δὲ οὐκ ἐσμὲν καρδιῶν κριταὶ, ἀλλ' ἐξ ὧν ἀκούομεν κρίνομεν, δῶμεν τῷ κυρίῳ τὴν ἐκδίκησιν, αὐτοὶ δὲ ἀδιακρίτως αὐτὸν δεξώμεθα, συγγνώμην δόντες ἀνθρωπίνῳ πάθει τῇ λήθῃ.

ΚΕΦ. ΙΖ.

Περὶ ἐπισκόπου ἢ κληρικοῦ χειροτονηθέντος καὶ μὴ δεχθέντος ὑπὸ τῆς παροικίας, ἢ μὴ καταδεξαμένου, ἢ μὴ δυνηθέντος ἀπελθεῖν.

Ἀποστόλων κανὼν λς'.

λς' Εἴ τις χειροτονηθεὶς ἐπίσκοπος, μὴ καταδέχοιτο τὴν λειτουργίαν καὶ τὴν φροντίδα τοῦ λαοῦ τὴν ἐγχειρισθεῖσαν αὐτῷ, τοῦτον ἀφωρισμένον τυγχάνειν, ἕως ἂν καταδέξηται· ὡσαύτως καὶ πρεσβύτερος καὶ διάκονος· εἰ δὲ ἀπελθὼν μὴ δεχθείη οὐ παρὰ τὴν ἑαυτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τοῦ

λαοῦ μοχθηρίαν, αὐτὸς μὲν ἔστω ἐπίσκοπος, ὁ δὲ κλῆρος τῆς πόλεως ἀφοριζέσθω, ὅτι τοιούτου λαοῦ ἀνυποτάκτου παιδευταὶ οὐκ ἐγένοντο.

Συνόδου Ἀγκύρας κανὼν ιή.

Οἵ τινες ἐπίσκοποι καταξαθέντες καὶ μὴ δεχθέντες ὑπὸ τῆς παροικίας ἐκείνης εἰς ἣν ὠνομάσθησαν, ἑτέραις βούλοιντο παροικίαις ἐπιέναι, καὶ βιάζεσθαι τοὺς καθεζῶτας, καὶ στάσεις κινεῖν κατ' αὐτῶν, τούτους ἀφορίζεσθαι· ἐὰν μέν τοι βούλοιντο εἰς τὸ πρεσβυτέριον καθέζεσθαι, ἔνθα ἦσαν πρότερον πρεσβύτεροι, μὴ ἀποβάλλεσθαι αὐτοὺς τῆς τιμῆς· ἐὰν δὲ διαξασιάζωσι πρὸς τοὺς καθεζῶτας ἐκεῖ ἐπισκόπους, ἀφαιρεῖσθαι αὐτοὺς καὶ τὴν τιμὴν τοῦ πρεσβυτερίου, καὶ γίνεσθαι αὐτοὺς ἐκκηρύκτους. ιή

Συνόδου Ἀντιοχείας κανὼν ιζ΄ τή.

Εἴ τις ἐπίσκοπος χειροθεσίαν ἐπισκόπου λαβὼν, καὶ ὁρισθεὶς πρεσβεῦναι λαοῦ, μὴ καταδέξοιτο τὴν λειτουργίαν, μὴ δὲ ἀπιέναι πείθοιτο εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, τοῦτον εἶναι ἀκοινώνητον· ἕως τ' ἂν ἀναγκασθεὶς καταδέξοιτο, ἢ ὁρίσῃ τί περὶ αὐτοῦ ἡ τελεία σύνοδος τῶν κατὰ τὴν ἐπαρχίαν ἐπισκόπων. ιζ

Εἴ τις ἐπίσκοπος χειροτονηθεὶς εἰς παροικίαν, μὴ ἀπέλθοι εἰς ἣν ἐχειροτονήθη, οὐ παρὰ τὴν ἑαυτοῦ αἰτίαν, ἀλλ' ἤτοι διὰ τὴν τοῦ λαοῦ παραίτησιν, ἢ δι' ἑτέραν αἰτίαν οὐκ ἐξ αὐτοῦ γενομένην, τοῦτον μετέχειν τῆς τιμῆς καὶ λειτουργίας μόνον, μηδὲν παρενοχλοῦντα τοῖς πράγμασι τῆς ἐκκλησίας ἔνθα ἂν συνάγοιτο· ἐκδέχεσθαι δὲ τοῦτον ὃ ἂν ἡ τῆς ἐπαρχίας τελεία σύνοδος κρίνασα τὸ παριστάμενον ὁρίσῃ. ιή

ΚΕΦ. ΙΗ.

Περὶ τοῦ μὴ δύνασθαι τὸν τελευτῶντα ἐπίσκοπον, ἕτερον ἀντ' αὐτοῦ χειροτονεῖν.

Ἀποστόλων κανὼν ος'.

ος' Ὅτι μὴ χρὴ τὸν ἐπίσκοπον τῷ ἀδελφῷ ἢ τῷ υἱῷ ἢ ἑτέρῳ συγγενεῖ χαριζόμενον τὸ ἀξίωμα τῆς ἐπισκοπῆς, χειροτονεῖν ἂν βούλεται· κληρονόμους γὰρ τῆς ἐπισκοπῆς ποιεῖσθαι, οὐ δίκαιον, τὰ τοῦ Θεοῦ χαριζόμενον πάθει ἀνθρωπίνῳ· οὐ γὰρ τὴν τοῦ Θεοῦ ἐκκλησίαν ὑπὸ κληρονομίαν ὀφείλει τιθέναι· εἰ δέ τις τοῦτο ποιήσει, ἄκυρος μὲν ἔστω ἡ χειροτονία, αὐτὸς δὲ ἐπιτιμάσθω ἀφορισμῷ.

Συνόδου Ἀντιοχείας κανὼν κγ'.

κγ' Ἐπίσκοπον μὴ ἐξεῖναι, ἀντ' αὐτοῦ καθιζῆν ἕτερον ἑαυτοῦ διάδοχον· κἂν πρὸς τῇ τελευτῇ τοῦ βίου τυγχάνῃ· εἰ δέ τι τοιοῦτο γίγνοιτο, ἄκυρον εἶναι τὴν κατάστασιν· φυλάττεσθαι δὲ τὸν θεσμὸν τὸν ἐκκλησιαστικὸν, περιέχοντα μὴ δεῖν ἄλλως γίνεσθαι, ἢ μετὰ συνόδου καὶ ἐπικρίσεως ἐπισκόπων τῶν μετὰ τὴν κοίμησιν τοῦ ἀναπαυσαμένου τὴν ἐξουσίαν ἐχόντων τοῦ προάγεσθαι τὸν ἄξιον.

ΚΕΦ. ΙΘ.

Περὶ τοῦ μὴ ἁπλῶς ἐν πόλει βραχείᾳ ἢ κώμῃ γίνεσθαι ἐπίσκοπον.

Συνόδου Λαοδικείας κανὼν νζ'.

νζ' Ὅτι οὐ δεῖ ἐν ταῖς κώμαις καὶ ἐν ταῖς χώραις καθίσασθαι ἐπισκόπους ἀλλὰ περιοδευτὰς, τοὺς μέν τοι ἤδη προ-

καταςαθέντας, μηδὲν πράττειν ἄνευ γνώμης τοῦ ἐπισκόπου τοῦ ἐν τῇ πόλει· ὡσαύτως δὲ καὶ τοὺς πρεσβυτέρους, μηδὲν πράττειν ἄνευ γνώμης τοῦ ἐπισκόπου.

Συνόδου Σαρδικῆς κανὼν ς'.

Ὅσιος ἐπίσκοπος εἶπεν· ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ etc. ut p. 34. Additur heic: ἀπεκρίναντο πάντες, ἀρέσκει.

ΚΕΦ. Κ.

Περὶ τοῦ μὴ εἶναι ἐν μιᾷ ἐπαρχίᾳ δύο μητροπολίτας, ἢ ἐν μιᾷ πόλει δύο ἐπισκόπους, ἢ ἐν δύο πόλεσιν ἕνα κληρικόν.

Συνόδου Νικαίας κανὼν ή.

Περὶ τῶν ὀνομαζόντων μὲν ἑαυτοὺς καθαροὺς, προσερ- η'
χομένων δὲ τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε χειροθετουμένους αὐτοὺς, μένειν οὕτως ἐν τῷ κλήρῳ, πρὸ πάντων δὲ τοῦτο ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται καὶ ἀκολουθήσουσι τοῖς τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας δόγμασι· τουτέστι καὶ διγάμοις κοινωνεῖν, καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν, ἐφ' ὧν καὶ χρόνος τέτακται καὶ καιρὸς ὥρισται· ὥστε αὐτοὺς ἀκολουθεῖν ἐν πᾶσι τοῖς δόγμασι τῆς καθολικῆς ἐκκλησίας· ἔνθα μὲν οὖν πάντες, εἴτε ἐν κώμαις, εἴτε ἐν πόλεσιν, αὐτοὶ μόνοι εὑρίσκοιντο χειροτονηθέντες, οἱ εὑρισκόμενοι ἐν τῷ κλήρῳ, ἔσονται ἐν τῷ αὐτῷ σχήματι· εἰ δὲ τοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόπου ἢ πρεσβυτέρου ὄντος, προσέρχονταί τινες, πρόδηλον ὡς ὁ μὲν ἐπίσκοπος τῆς ἐκκλησίας, ἕξει τὸ ἀξίωμα τοῦ ἐπισκόπου· ὁ δὲ ὀνομαζόμενος παρὰ τοῖς λεγομένοις καθαροῖς ἐπί-

σκοπος, τὴν τοῦ πρεσβυτέρου τιμὴν ἕξει· πλὴν εἰ μὴ ἄρα δοκιάη τῷ ἐπισκόπῳ τῆς τιμῆς τοῦ ὀνόματος αὐτὸν μετέχειν· εἰ δὲ τοῦτο αὐτῷ μὴ ἀρέσκοι, ἐπινοήσει τόπον ἢ χωρεπισκόπου ἢ πρεσβυτέρου, ὑπὲρ τοῦ ἐν τῷ κλήρῳ ὅλως δοκεῖν εἶναι, ἵνα μὴ ἐν τῇ πόλει δύο ἐπίσκοποι ὦσιν.

Συνόδου Χαλκηδόνος, κανὼν ιβ'.

ιβ' Ἦλθεν εἰς ἡμᾶς, ὥς τινες παρὰ τὰς ἐκκλησιαστικὰς θεσμοὺς προσδραμόντες δυναστείαις, διὰ πραγματικῶν τὴν μίαν ἐπαρχίαν εἰς δύο κατέτεμον, ὡς ἐκ τούτου δύο μητροπολίτας εἶναι ἐν τῇ αὐτῇ ἐπαρχίᾳ· ὥρισε τοίνυν ἡ ἁγία σύνοδος τοῦ λοιποῦ, μηδὲν τοιοῦτο τολμᾶσθαι παρὰ τοῦ ἐπισκόπου· ἐπεὶ τὸν τοῦτο ἐπιχειροῦντα, ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ· ὅσαι δὲ ἤδη πόλεις διὰ γραμμάτων βασιλικῶν τῷ τῆς μητροπόλεως ἐτιμήθησαν ὀνόματι, μόνης ἀπολαυέτωσαν τῆς τιμῆς, καὶ ὁ τὴν ἐκκλησίαν αὐτῆς διοικῶν ἐπίσκοπος· δηλονότι σωζομένων τῇ κατὰ ἀλήθειαν μητροπόλει τῶν οἰκείων δικαίων.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν ιε'.

Ὅτι οὐ δεῖ κληρικὸν ἐν δυσὶν ἐκκλησίαις κατατάττεσθαι.

ιε' Κληρικὸς ἀπὸ τοῦ παρόντος, μὴ καταταττέσθω ἐν δυσὶν ἐκκλησίαις· ἐμπορίας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τοῦτο, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνηθείας· ἠκούσαμεν γὰρ ἐξ αὐτῆς τῆς κυριακῆς φωνῆς, ὅτι οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· ἕκαστος οὖν κατὰ τὴν ἀποστολικὴν φωνὴν, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ ὀφείλει μένειν καὶ προσεδρεύειν ἐν μιᾷ ἐκκλησίᾳ· τὰ γὰρ δι' αἰσχροκέρδειαν γινόμενα ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἀλλότρια τοῦ θεοῦ καθεστήκασι· πρὸς δὲ τὴν τοῦ βίου τοῦ-

τεν χρείαν, ἐπιτηδεύματα εἰσὶ διάφορα· ἐξ αὐτῶν εἴ τις βούλοιτο, τὰ χρειώδη τοῦ σώματος περιζέσθω· ἔφη γὰρ ὁ ἀπόστολος, ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται· καὶ ταῦτα μὲν ἐν ταύτῃ τῇ Θεοφυλάκτῳ πόλει· ἐν δὲ τοῖς ἔξω χωρίοις διὰ τὴν ἔλλειψιν τῶν ἀνθρώπων, παραχωρείσθω.

Ἡ Ἑλενόπεντος δύο μητροπολίτας ἔχει, ὡς ἡ κή νεαρά· ἡ Παφλαγονία διαφόρους, ὡς ἡ κϑ νεαρά· καὶ ἡ Φρυγία Καπατιανὴ, καὶ ἡ δευτέρα Καππαδοκία· οὗτε δὲ δύο πόλεών τις εἶναι δύναται ἐπίσκοπος· ἐξήρηται ὁ Τομέως, αὐτὸς γὰρ καὶ τῶν λοιπῶν ἐκκλησιῶν Σκυθίας προνοεῖ· καὶ ἡ Λεοντόπολις Ἰσαυρίας, ὑπὸ τὸν ἐπίσκοπόν ἐστιν Ἰσαυροπόλεως, ὡς βιβλ. α' τοῦ κώδ., τίτ. α' διάτ. λέ· οὔτε δὲ ἡγούμενος γίνεται δύο μοναστηρίων, ὡς διάτ. λϑ' τοῦ αὐτοῦ τίτλου.

ΚΕΦ. ΚΑ.

Περὶ τῶν χειροτονούντων ἐν ταῖς μὴ οὔσαις ὑπ' αὐτοὺς πόλεσιν ἢ ἐπαρχίαις.

Ἀποστόλων κανὼν λέ'.

Ἐπίσκοπον μὴ τολμᾷν ἔξω τῶν ἑαυτοῦ ὅρων etc. ut p. 30.

Συνόδου Ἀντιοχείας, κανὼν ιγ' κβ'.

Μηδένα ἐπίσκοπον τολμᾷν ἀφ' ἑτέρας ἐπαρχίας etc. ut p. 30.

Ἐπίσκοπον μὴ ἐπιβαίνειν ἀλλοτρίᾳ πόλει etc. ut p. 31.

Συνόδου Ἐφέσου κανὼν ή'.

Τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν etc. ut p. 31.

ΚΕΦ. ΚΒ.

Περὶ τῶν διὰ προστασίας ἀρχόντων, γινομένων ἐγκρατῶν ἐκκλησιῶν.

Ἀποστόλων κανὼν λ'.

λ' Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν γ'.

Πᾶσαν ψῆφον γινομένην παρὰ ἀρχόντων etc. ut p. 46.

ΚΕΦ. ΚΓ.

Περὶ τῶν διὰ γάμον ἢ παλλακισμὸν, μὴ χειροτονουμένων ἐπισκόπων ἢ κληρικῶν.

Ἀποστόλων κανὼν ιζ' ιη' ιθ'.

ιζ' Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιη' Ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, οὐ δύναται εἶναι ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιθ' Ὁ δύο ἀδελφὰς ἀγόμενος ἢ ἀδελφιδῆν, οὐ δύναται εἶναι κληρικός.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν γ' ιβ'.

Περὶ ἱερέων καὶ κληρικῶν.

γ' Ἐπειδὴ δὲ ὁ εὐσεβὴς καὶ φιλόχριστος ἡμῶν βασιλεὺς τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ προσεφώνησε συνόδῳ, ὥστε τοὺς

ἐν κλήρῳ καταλεγομένους, καὶ ἄλλοις τὰ θεῖα διαπορθμεύοντας, καθαροὺς ἀποφῆναι καὶ λειτουργοὺς ἀμώμους, καὶ τῆς νοερᾶς τοῦ μεγάλου θεοῦ καὶ θύματος καὶ ἀρχιερέως θυσίας ἀξίους, ἀνακαθάραί τε τὰ ἐξ ἀθέσμων γάμων τούτοις ἐπιτριβέντα μύσει· πρὸς τούτῳ τὲ τῶν μὲν τῆς ῥωμαίων ἁγιωτάτης ἐκκλησίας, τὸν τῆς ἀκριβείας τηρηθῆναι κανόνα προτιθεμένων, τῶν δὲ ὑπὸ τὸν τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως θρόνον, τὸν τῆς φιλανθρώπιας καὶ συμπαθείας, εἰς ἓν ἀμφότερα μίξαντες πατρικῶς ὁμοῦ καὶ θεοφιλῶς, ὡς μήτε τὸ πρᾶον ἔκλυτον, μήτε ςῦφον τὸ αὐςηρὸν καταλείψοιμεν, καὶ μάλιστα τοῦ ἐξ ἀγνείας πτώματος εἰς οὐκ ὀλίγων ἀνδρῶν πλῆθος διήκοντος συνορῶμεν, ὥςε τοὺς μὲν δυσὶ γάμοις περιπαρέντας, καὶ μέχρι τῆς πεντεκαιδεκάτου τοῦ διελθόντος ἰαννουαρίου μηνὸς, τῆς παρελθούσης δ' ἰνδικτιῶνος, ἔτους ,ςρμθ' (1), δουλωθέντας τῇ ἁμαρτίᾳ, καὶ μὴ ἐκνῆψαι ταύτης προελομένους, καθαιρέσει κανονικῇ ὑποβαλεῖν· τοὺς δὲ τῷ τοιούτῳ μὲν τῆς διγαμίας πάθει περιπεσόντας, πρὸ δὲ τῆς ἡμῶν ἐπιγνώσεως τὸ συμφέρον ἐπεγνωκότας, καὶ τὸ κακὸν ἐξ ἑαυτῶν περικόψαντας, καὶ πόῤῥω τὴν ξένην ταύτην καὶ νόθον συμπλοκὴν ἐκδιώξαντας· ἢ καὶ ὧν αἱ κατὰ δεύτερον γάμον γυναῖκες ἤδη τετελευτήκασιν, ἢ καὶ αὐτοὶ ἐπιστροφὴν εἶδον, μεταμαθόντες τὴν σωφροσύνην, καὶ τῶν πρώην αὐτοῖς παρανομηθέντων ταχέως ἐπιλαθόμενοι, εἴτε πρεσβύτεροι εἴτε διάκονοι ὄντες τυγχάνοιεν, τούτους ἔδοξε πεπαῦσθαι μὲν πάσης ἱερατικῆς λειτουργίας,

(1) Perperam apud Beveregium ,ςρθ'. Scilicet tam apud Beveregii pandectas, quam apud Nomocanonem cum Balsamonis scholiis, numerorum menda non desunt. Reapse autem trullana synodus non anno ,ςρθ' 6109. aerae constantinop. sed ,ςρμθ' 6199, id est Christi 691. celebrata fuit.

ἤτοι ἐνεργείας, ἤδη ἐπὶ ῥητόν τινα χρόνον ἐπιτιμηθέντας· τῆς δὲ τιμῆς τῆς κατὰ τὴν καθέδραν καὶ στάσιν μετέχειν, ἀρκουμένους τῇ προεδρίᾳ, καὶ προσκλαίοντας τῷ κυρίῳ συγχωρηθῆναι αὐτοῖς τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα· εὐλογεῖν γὰρ ἕτερον, τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον· τοὺς μέν τοι γαμετῇ μὲν μιᾷ συναφθέντας, χήρα δὲ ἢ προσληφθεῖσα ἐτύγχανεν ἢ ἐκβεβλημένη, ὡσαύτως δὲ καὶ τοὺς μετὰ τὴν χειροτονίαν γάμῳ ἐνὶ παρανόμῳ πρεσομιλήσαντας, τουτέστι πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, ἤδη ἐπὶ βραχύν τινα χρόνον εἰρχθέντας τῆς ἱερᾶς λειτουργίας, καὶ ἐπιτιμηθέντας, αὖθις αὐτοὺς ἐν τοῖς οἰκείοις ἀποκαταστῆναι βαθμοῖς, μηδαμῶς ἐν ἑτέρῳ μείζονι προκόπτοντας βαθμῷ· προδήλως διαλυθέντος αὐτοῖς τοῦ ἀθέσμου συνοικεσίου· ταῦτα δὲ τοῖς καταληφθεῖσι μέχρι τῆς πεντεκαιδεκάτου ὡς εἴρηται τοῦ ἰαννουαρίου μηνὸς, ὅ ἐστιν ἰνδικτιῶνος, ἐν τοῖς προδηλωθεῖσι πταίσμασι καὶ μόνον, ἱερατικῶς (1) ἐτυπώσαμεν· ὁρίζοντες ἀπὸ τοῦ παρόντος καὶ ἀνανεούμενοι τὸν κανόνα τὸν διαγορεύοντα, τὸν δυσὶ γάμοις συμπλακέντα μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενον, μὴ δύνασθαι εἶναι ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ· ὡσαύτως δὲ καὶ τὸν χήραν λαβόντα, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, μὴ δύνασθαι εἶναι ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιβ' Καὶ τοῦτο δὲ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ Ἀφρικῇ καὶ Λιβύῃ καὶ ἑτέροις τόποις, οἱ τῶν ἐκεῖσε θεοφιλέστατοι πρόεδροι, συνοικεῖν ταῖς ἰδίαις γαμεταῖς καὶ μετὰ

(1) Male apud Beveregium graece ἱερατικοῖς, et hinc latine *sacerdotalibus*.

τὴν ἐπ' αὐτοῖς προελθοῦσαν χειροτονίαν οὐ παραιτοῦνται, πρόσκομμα τοῖς ἄλλοις τιθέντες ἐνταῦθα καὶ σκάνδαλον· πολλῆς οὖν ἡμῖν σπουδῆς οὔσης, τοῦ πάντα πρὸς ὠφέλειαν τῶν ὑπὸ χεῖρα ποιμνίων διαπράττεσθαι, ἔδοξεν ὥστε μηδαμῶς τί τοιοῦτον ἀπὸ τοῦ νῦν γίγνεσθαι· τοῦτο δὲ φαμὲν, οὐκ ἐπ' ἀθετήσει ἢ ἀνατροπῇ τῶν ἀποστολικῶς νενομοθετημένων, ἀλλὰ τῆς σωτηρίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τῶν λαῶν προμηθούμενοι, καὶ τοῦ μὴ δοῦναι μῶμον τινὰ κατὰ τῆς ἱερατικῆς καταστάσεως· φησὶ γὰρ ὁ θεῖος ἀπόστολος· πάντα εἰς δόξαν θεοῦ ποιεῖτε, ἀπρόσκοποι γίνεσθε καὶ ἰουδαίοις καὶ ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν (1) ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι· μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. Εἰ δέ τις φωραθείη τὸ τοιοῦτον πράττων, καθαιρείσθω.

Βασιλείου κανὼν ιβ'.

Τοὺς διγάμους παντελῶς ὁ κανὼν, τῆς ὑπηρεσίας ἀπέκλεισεν.

Τίτ. α' τῶν νεαρῶν, διάτ. α' β' ιζ', ἐν αἷς εἴρηται ὅτι ὁ χειροτονούμενος ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὑποδιάκονος, ὀφείλει εἶναι παρθένος, ἢ ἐκ παρθένου μονογαμήσας παρθένον.

ΚΕΦ. ΚΔ.

Περὶ τῶν ἐπὶ χρήμασι χειροτονουμένων ἢ λαμβανόντων ὀφφίκιον.

Ἀποστόλων κανὼν κθ'.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων, τῆς ἀξίας ταύτης ἐγκθ' κρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω

(1) Vel potius πανταπασιν, ut alibi in ms.

καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασι τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου.

Συνόδου Χαλκηδόνος κανὼν β'.

β' Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πράσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσει ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβυτέρους, ἢ διακόνους, ἢ ἕτερόν τινα τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων, ἢ προβάλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμοναρίαν, ἢ ὅλως τινὰ τοῦ κανόνος δι' αἰσχροκέρδειαν οἰκείαν· ὁ τοῦτο ἐπιχειρήσας ἐλεγχθεὶς, κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμὸν, καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς· ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν· εἰ δέ τις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς ἢ μοναζων, ἀναθεματιζέσθω.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν κβ' κγ'.

κβ' Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, εἴτε ἐπισκόπους, ἢ οἱουσδήποτε κληρικοὺς, καὶ οὐ κατὰ δοκιμασίαν καὶ τοῦ βίου αἵρεσιν, καθαιρεῖσθαι προστάσσομεν, ἀλλὰ καὶ τοὺς χειροτονήσαντας.

κγ' Περὶ τοῦ μηδένα τῶν εἴτε ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, τῆς ἀχρόντου μεταδιδόντα κοινωνίας, παρὰ τοῦ μετέχοντος εἰσπράττειν, τῆς τοιαύτης μεταλήψεως χάριν, ὀβολοὺς ἢ εἶδος τὸ οἱονοῦν· οὐδὲ γὰρ πεπραμένη ἡ χάρις, οὐδὲ χρήμασι τὸν ἁγιασμὸν τοῦ πνεύματος μεταδιδόαμεν, ἀλλὰ τοῖς ἀξίοις τοῦ δώρου· ἀπανουργεύτως μεταδοτέον· εἰ δὲ φανείη τίς τῶν ἐν κλήρῳ καταλεγομένων, ἀπαιτῶν τὸν

ᾧ μεταδίδωσι τῆς ἀχράντου κοινωνίας τὸ οἰονεῖν εἶδος, καθαιρείσθω, ὡς τῆς Σίμωνος ξηλωτὴς πλάνης καὶ κακουργίας.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν δ' ε' ιθ'.

Περὶ τοῦ ἀπέχεσθαι τοὺς ἐπισκόπους πάσης δοσοληψίας.

Ὁ κῆρυξ τῆς ἀληθείας Παῦλος ὁ θεῖος ἀπόστολος, οἱονεὶ κανόνα τιθεὶς τοῖς Ἐφεσίων πρεσβυτέροις, μᾶλλον δὲ καὶ παντὶ ἱερατικῷ πληρώματι, οὕτως ἐπαρρησιάσθη εἰπὼν· ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα· πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτως κοπιῶντας, ἀντιλαμβάνεσθαι δεῖ τῶν ἀσθενούντων, μακάριον ἡγούμενοι τὸ διδόναι· διὸ καὶ ἡμεῖς μαθητευθέντες παρ' αὐτοῦ, ὁρίζομεν μηδόλως αἰσχροκερδῶς ἐπινοεῖσθαι ἐπίσκοπον, προφασιζόμενον προφάσεις ἐν ἁμαρτίαις, ἀπαιτεῖν χρυσὸν ἢ ἄργυρον ἢ ἕτερον εἶδος, τοὺς ὑπ' αὐτὸν τελοῦντας ἐπισκόπους, ἢ κληρικοὺς, ἢ μοναχοὺς· φησὶ γὰρ ὁ ἀπόστολος· ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· καὶ οὐκ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις· εἴ τις οὖν δι' ἀπαίτησιν χρυσοῦ ἢ ἑτέρου τινὸς εἴδους, εἴτε διά τινα ἰδιοπάθειαν, εὑρεθείη ἀπείργων τῆς λειτουργίας, καὶ ἀφορίζων τινὰ τῶν ὑπ' αὐτὸν κληρικῶν, ἢ σεπτὸν ναὸν κλείων, ὡς μὴ γίνεσθαι ἐν αὐτῷ τὰς τοῦ Θεοῦ λειτουργίας, εἰς ἀναίσθητα τὴν ἑαυτοῦ μανίαν ἐπιπέμπων, ἀναίσθητος ὄντως ἐστὶ, καὶ τῇ ταυτοπαθείᾳ ὑποκείσεται, καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὡς παραβάτου τῆς ἐντολῆς Θεοῦ καὶ τῶν ἀποστολικῶν διατάξεων· παραγγέλλει γὰρ καὶ Πέτρος ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης, ποιμαίνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ· ἐπισκοποῦντες μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως κατὰ Θεὸν· μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μὴ ὡς κα-

ταχυριεύοντες τῶν κλήρων, ἀλλ' ὡς τύποι γινόμενοι τοῦ ποιμνίου· καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον.

Ὅτι οἱ ὀνειδίζοντες τοὺς κληρικοὺς, διὰ τὸ τετάχθαι ἐν ἐκκλησίᾳ χωρὶς δόσεων, ἐπιτιμίῳ ὑπόκεινται.

Ἁμαρτία πρὸς θάνατόν ἐστιν, ὅταν τινὲς ἁμαρτάνοντες, ἀδιόρθωτοι μείνωσι· τὸ δὲ τούτου χεῖρον, ἐὰν καὶ τραχηλιῶντες κατεξανίσανται τῆς εὐσεβείας καὶ τῆς ἀληθείας, προτιμώμενοι τὸν μαμωνᾶν τῆς τοῦ θεοῦ ὑπακοῆς, καὶ τῶν κανονικῶν αὐτοῦ διατάξεων μὴ ἀντεχόμενοι· ἐν τούτοις οὐκ ἔχει κύριος ὁ θεὸς, εἰ μήπω ταπεινωθέντες, τοῦ ἰδίου σφάλματος ἀνανήψουσι· χρὴ γὰρ μᾶλλον αὐτοὺς προσέρχεσθαι τῷ θεῷ, καὶ μετὰ συντετριμμένης καρδίας, τὴν ἄφεσιν τούτου τοῦ ἁμαρτήματος καὶ τὴν συγχώρησιν αἰτεῖσθαι, οὐχὶ ἐναβρύνεσθαι τῇ ἀθέσμῳ δόσει· ἐγγὺς γὰρ κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν· τοὺς οὖν ἐγκαυχωμένους διὰ δόσεως χρυσίου τετάχθαι ἐν ἐκκλησίᾳ, καὶ ταύτῃ τῇ πονηρᾷ συνηθείᾳ ἐπελπίζοντας τῇ ἀλλοτριούσῃ ἀπὸ θεοῦ καὶ πάσης ἱερωσύνης, καὶ ἐκ τούτου ἀναιδεῖ προσώπῳ καὶ ἀπερικαλύπτῳ στόματι, ὀνειδιστικοῖς λόγοις τοὺς δι' ἀρετῆς βίου ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκλεγέντας, καὶ καταταγέντας ἐκτὸς δόσεως χρυσίου ἀτιμάζοντας, πρῶτα μὲν τοῦτο πεισῦντας, τὸν ἔσχατον βαθμὸν λαμβάνειν τοῦ οἰκείου τάγματος· εἰ δὲ ἐπιμένοιεν, δι' ἐπιτιμίου διορθοῦσθαι· εἰ δέ τις ἐπὶ χειροτονίᾳ φανῇ τοῦτο ποτὲ πεπουηκὼς, γινέσθω κατὰ τὸν ἀποστολικὸν κανόνα τὸν λέγοντα· εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθωσαν παντάπασι καὶ τῆς κοινωνίας, ὡς Σί-

μων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου· ὡσαύτως καὶ κατὰ τὸν δεύτερον κανόνα τῶν ἐν Χαλκηδόνι ὁσίων πατέρων ἡμῶν τὸν λέγοντα· εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσοιτο, καὶ εἰς πράσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι ἐπὶ χρήμασιν ἐπίσκοπον ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ τινὰ τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων, ἢ προβάλοιτο ἐπὶ χρήμασιν οἰκονόμον ἢ ἔκδικον ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος, δι' αἰσχροκέρδειαν οἰκείαν· ὁ τοῦτο ἐπιχειρήσας ἐλεγχθεὶς, κινδυνευέτω εἰς τὸν ἴδιον βαθμὸν, καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπερίαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν· εἰ δέ τις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος εἰ μὲν κληρικὸς εἴη, ἐκ τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφοριζέσθω.

Περὶ τοῦ ἐκτὸς δόσεων τὰς καταταγὰς τῶν ἱερατικῶν μοναχῶν τὲ καὶ μοναστριῶν γίνεσθαι.

Τοσοῦτον κατενεμήθη τῆς φιλαργυρίας τὸ μῦσος εἰς τοὺς ιθ' ἡγήτορας τῶν ἐκκλησιῶν, ὥστε καί τινας τῶν λεγομένων εὐλαβῶν ἀνδρῶν τὲ καὶ γυναικῶν, ἐπιλαθομένους τῶν ἐντολῶν τοῦ κυρίου ἐξαπατηθῆναι, καὶ διὰ χρυσίου τὰς εἰσοδοχὰς τῶν προσερχομένων τῷ τε ἱερατικῷ τάγματι καὶ τῷ μονήρει βίῳ ποιεῖσθαι· καὶ γίνεται ὧν ἡ ἀρχὴ ἀθόκιμος καὶ τὸ πᾶν ἀπόβλητον, ὡς φησὶν, ὁ μέγας Βασίλειος· οὐδὲ γὰρ Θεῷ διὰ μαμωνᾶ δουλεύειν ἔξεστιν· εἴ τις οὖν εὑρεθῇ τοῦτο ποιῶν, εἰ μὲν ἐπίσκοπος ἢ ἡγούμενος ἢ τίς τοῦ ἱερατικοῦ τυγχάνει, ἢ παυσάσθω ἢ καθαιρείσθω· κατὰ τὸν δεύτερον κανόνα τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου· εἰ δὲ ἡγούμενος, ἐκδιωχθήτω

ἐκ τοῦ μοναστηρίου, καὶ παραδοθήτω ἐν ἑτέρῳ μοναστηρίῳ πρὸς ὑποταγὴν· ὡσαύτως καὶ ἡγούμενος μὴ ἔχων χειροτονίαν πρεσβυτέρου, ἐπὶ δὲ τῶν παρὰ γονέων διδομένων δίκην προικῴων τοῖς τέκνοις, ἢ ἰδιοκτήτων αὐτῶν πραγμάτων προσαγομένων, ὁμολογούντων τῶν προσαγόντων ταῦτα εἶναι ἀφιερωμένα τῷ Θεῷ, ὁρίζομεν κἂν τε μείνοι, κἂν τε ἐξέλθοι, μένειν αὐτὰ ἐν τῷ μοναστηρίῳ κατὰ τὴν ὑπόσχεσιν αὐτοῦ· εἰ μὴ ἦ ἡ αἰτία τοῦ προεστῶτος, τοῦ ἐξελθεῖν αὐτὸν δηλότι.

Βασιλείου ἐκ τῆς πρὸς τοὺς ἐπισκόπους ἐπιστολῆς ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν.

Τὸ τοῦ πράγματος ἄτοπον περὶ οὗ γράφω, διά τί μὲν ὅλως ὑπωπτεύθη καὶ ἐλαλήθη, οὐδύνης ἐπλήρωσέ μου τὴν ψυχὴν, τέως δὲ ἐφάνη μοι ἄπιστον· τὸ οὖν περὶ αὐτοῦ γράμμα, ὁ μὲν συνεγνωκὼς ἑαυτῷ δεξάσθω ὡς ἴαμα, ὁ δὲ μὴ συνεγνωκὼς ὡς προφυλακτήριον, ὁ δὲ ἀδιάφορος ὅπερ ἀπεύχομαι ἐφ' ὑμῖν εὑρεθῆναι ὡς διὰ μαρτυρίαν· τί δέ ἐστιν ὁ λέγω; φασί τινες τινὰς ὑμῶν παρὰ τῶν χειροτονουμένων λαμβάνειν χρήματα, ἐπισκιάζειν δὲ ὀνόματι εὐσεβείας· τοῦτο δὲ χεῖρόν ἐστιν· ἐὰν γάρ τις τὸ κακὸν ἐν προσχήματι τοῦ ἀγαθοῦ ποιῇ, διπλασίονος τιμωρίας ἐστὶν ἄξιος· διότι αὐτὸ τὲ τὸ οὐκ ἀγαθὸν ἐργάζεται, καὶ κέχρηται εἰς τὸ τελέσαι τὴν ἁμαρτίαν, ὡς ἂν εἴποι τις, τῷ καλῷ συνεργῷ· ταῦτα εἰ οὕτως ἔχει, τοῦ λοιποῦ μὴ γινέσθω, ἀλλὰ διορθωθήτω· ἐπεὶ ἀνάγκη λέγειν πρὸς τὸν δεχόμενον τὸ ἀργύριον, ὅπερ ἐρρέθη παρὰ τῶν ἀποστόλων πρὸς τὸν Θέλοντα δοῦναι, ἵνα πνεύματος ἁγίου μετουσίαν ὠνήσηται· τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν· κουφότερος γὰρ ὁ δι' ἀπειρίαν ὠνήσασθαι θέλων, ἢ ὁ πιπράσκων τὴν τοῦ Θεοῦ δωρεάν· πράσις γὰρ ἐγένετο· καὶ ὃ σὺ δωρεὰν ἔλαβες ἐὰν πωλῇς, ὡσανεὶ πεπρα-

μένος τῷ σατανᾷ, ἀφαιρεθήσῃ τοῦ χαρίσματος· καπηλείαν γὰρ ἐπεισάγεις τοῖς πνευματικοῖς καὶ τῇ ἐκκλησίᾳ, ἔνθα πεπιστεύμεθα σῶμα καὶ αἷμα Χριστοῦ· ταῦτα οὕτως γίνεσθαι οὐ χρὴ· ὃ δέ ἐστι τὸ τέχνασμα λέγω· νομίζουσι μὴ ἁμαρτάνειν τῷ μὴ ἅμα προσλαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν· λαβεῖν δέ ἐστιν ὁτεδήποτε τὸ λαβεῖν· παρακαλῶ οὖν ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀποθέσθαι· καὶ μὴ τὰς χεῖρας μολύναντες τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια· σύγγνωτε δέ μοι πρῶτον μὲν ὡς ἀπιστήσας· εἶτα δὲ ὡς πεισθεὶς ἀπειλῶ, εἴ τις μετὰ ταύτην μου τὴν ἐπιστολὴν πράξειέ τι τοιοῦτον, τῶν μὲν ἐνταῦθα θυσιαστηρίων ἀναχωρήσει, ζητήσει δὲ ἔνθα τὴν τοῦ θεοῦ δωρεὰν ἀγοράζων, μεταπωλεῖν δύναται· ἡμεῖς γὰρ καὶ αἱ ἐκκλησίαι τοῦ θεοῦ τοιαύτην συνήθειαν οὐκ ἔχομεν· ἣν δὲ προσθεὶς παύσομαι· διὰ φυλαργυρίαν γίνεται ταῦτα· ἡ δὲ φιλαργυρία καὶ ῥίζα πάντων τῶν κακῶν ἐστι, καὶ ὀνομάζεται εἰδωλολατρία· μὴ οὖν τοῦ Χριστοῦ προτιμήσητε τὰ εἴδωλα, διὰ μικρὸν ἀργύριον· μὴ δὲ πάλιν τὸν Ἰούδαν μιμήσησθε, λήμματι προδιδόντες δεύτερον, τὸν ἅπαξ ὑπὲρ ἡμῶν σταυρωθέντα· ἐπεὶ καὶ τὰ χωρία καὶ αἱ χεῖρες τῶν τοὺς καρποὺς τούτους δεχομένων, ἀκελδαμὰ κληθήσονται.

Γενναδίου καὶ τῆς σὺν αὐτῷ συνόδου, ἐκ τῆς ἐγκυκλίου πρὸς τοὺς ὁσιωτάτους μητροπολίτας ἐπιστολῆς, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν.

Τῷ θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ συλλειτουργῷ τῷδε Γενναδίου, καὶ ἡ ἐνδημοῦσα τῇ φιλοχρίστῳ καὶ βασιλίδι Κωνσταντινουπόλει νέᾳ Ῥώμῃ ἁγία σύνοδος.

Ὁ δεσπότης ἡμῶν καὶ θεὸς καὶ σωτὴρ Ἰησοῦς, ἐγχειρί-

σας τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς τοῦ εὐαγγελίου τὸ κήρυγμα, διδασκάλους τούτους τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀνθρώποις ἐξαποστείλας, παρεκελεύσατο διαῤῥήδην ἣν εἰλήφασι παρ' αὐτοῦ δωρεὰν, ταύτης καὶ αὐτοὺς τοῖς ἀνθρώποις μεταδιδόναι δωρεὰν, μὴ κτωμένους ὑπὲρ αὐτῆς ἢ χαλκὸν ἢ ἄργυρον ἢ χρυσὸν, ἢ τινὰ περιουσίαν ἄλλην ὅλως ὑλικὴν ἢ γεώδη· μὴ γὰρ εἶναι τῶν ἐπουρανίων καὶ πνευματικῶν χαρισμάτων ἀμοιβὴν τὰ γεηρὰ καὶ ἐπίκηρα· ταύτην τὴν ἐντολὴν, οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ ἡμῖν δι' ἐκείνων ἐντέταλται, οὓς εἰς τὸν ἐκείνων βαθμόν τε καὶ τόπον ὑπεισαγαγεῖν κατηξίωσε· καὶ δεῖ καθάπερ ἐκεῖνοι τότε, καὶ ἡμᾶς νῦν ἀκριβῶς φυλάττειν τε καὶ παρατηρεῖν, καὶ μὴ σοφίζεσθαι τὰ ἀσόφιστα, μὴ δὲ κύβον ἀναῤῥιπτεῖν ἐπικίνδυνον· δωρεὰν ἐλάβετε φησὶ, δωρεὰν δότε· μὴ κτήσησθε χαλκὸν μήτε ἄργυρον, μήτε χρυσὸν εἰς τὰς ζώνας ὑμῶν· ἁπλοῦς καὶ σαφὴς ὁ τῆς ἐντολῆς ταύτης λόγος ἐστὶν, οὐδὲν ποικίλον ἔχων οὐδὲ δυσέφικτον, οὐδὲ σοφιστικῆς δεόμενον ἐξηγήσεως· παρ' ἐμοῦ, φησὶν, ἐδέξασθε τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα· εἰ μὲν ὑπὲρ αὐτοῦ μικρὸν ἢ μέγα τί κατεβάλεσθε, καὶ τοῦτο ὑμῖν πέπραται παρ' ἐμοῦ, πωλεῖτε καὶ ὑμεῖς ἑτέροις αὐτό· εἰ δὲ δωρεὰν εἰλήφατε, δότε καὶ ὑμεῖς δωρεάν· τί τῆς ἐντολῆς ταύτης σαφέστερον; τί δὲ τοῖς πειθαρχοῦσι λυσιτελέστερον; οὐαὶ τῷ ὄντι τοῖς κτήσασθαι τὴν τοῦ θεοῦ δωρεὰν, ἢ διδόναι ταύτην διὰ χρημάτων ὑπειληφόσιν· εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας οἱ τοιοῦτοι κατὰ τὴν ἀπόφασιν τοῦ ἁγίου Πέτρου ὑπάρχουσι, συλληφθέντες ὑπὸ τῆς ἑαυτῶν φιλαργυρίας· ὅθεν καὶ τῶν ὁσίων καὶ μακαρίων πατέρων τῶν τῆς ἁγίας καὶ μεγάλης καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Χαλκηδόνι συναχθείσης, τῷ δεσποτικῷ τούτῳ νόμῳ

συνᾴδων ὁ περὶ τούτου κανών, ἡμῖν σαφῶς οὕτωσὶ λέξεσιν αὐταῖς ἐκπεφώνηται.

Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι etc. ut p. 69.

Κάλλιστα καὶ λίαν εὐσεβῆ τοῦ κανόνος τῶν ἁγίων πατέρων ὑπάρχει τὰ παραγγέλματα, πᾶσαν ἔφοδον σατανικὴν καὶ πᾶν ἐγχείρημα διαβολικὸν κατὰ τῆς πνευματικῆς φερόμενον δωρεᾶς, ἀπωθούμενά τε καὶ ἀνακόπτοντα· οὐ βούλεται γὰρ οὐδαμῶς διὰ χρημάτων γίνεσθαι τὴν προβολὴν τῆς χειροτονίας ἢ ὑποδέχεσθαι, οὔτε παρὰ τοῦ ταύτην ἐνεργοῦντος, οὔτε παρὰ τοῦ τῆς χειροτονίας τὴν προβολὴν ὑποδεχομένου· ἀλλ' οὐδὲ πρὸ τοῦ καιροῦ τῆς χειροτονίας, οὐδὲ μετὰ τὸν καιρὸν τῆς χειροτονίας, οὐδὲ κατὰ τὸν καιρὸν αὐτὸν τῆς χειροτονίας, ὑπὲρ τῆς χειροτονίας χρήματα δίδοσθαι συγχωρεῖ· καθόλου γὰρ τὴν ἐπὶ τῷ πράγματι τούτῳ δωροδοκίαν ἀπέφησεν ὅμως· ἐπειδὴ νῦν καίτοι προδήλως τούτων οὕτως κεκωλυμένων, ἐφωράθησάν τινες κατὰ τὴν Γαλατῶν ὀλιγωροῦντες καὶ παραβαίνοντες δι' αἰσχροκέρδειαν καὶ φιλαργυρίαν τὰ σωτήρια ταῦτα καὶ φιλάνθρωπα παραγγέλματα, εὖ ἔχειν ἔδοξε καὶ ἡμῖν, αὐτὰ ταῦτα πάλιν ἀνανεώσασθαι μετὰ τῆς ἐνθημούσης ἁγίας συνόδου ἐν ταύτῃ τῇ βασιλευούσῃ νέᾳ Ῥώμῃ Κωνσταντινουπόλει, ὥστε δίχα πάσης προφάσεως, καὶ παντὸς σοφισμοῦ, τὴν ἀσεβῆ καὶ βδελυρὰν ταύτην οὐκ οἶδ' ὅπως ἐπεισελθοῦσαν ταῖς ἁγιωτάταις ἐκκλησίαις, παντελῶς ἐκτεμεῖν· ἵνα ἀληθῶς ἀκαπηλεύτου καὶ καθαρᾶς παρὰ τῶν ἀρχιερέων τῆς ἐπὶ τῶν χειροτονουμένων ἀναῤῥήσεως γινομένης, ἄνωθεν ἡ τοῦ ἁγίου πνεύματος χάρις ἐπιφοιτᾷ· ὃ νῦν γε οὐκ οἶδα, εἰ διὰ χρημάτων τὴν προβολὴν ποιουμένων, καὶ οὐ τῆς χειρὸς καθαρῶς ἐνεργούσης, ἐπιφοιτᾷ τῷ προχειριζομένῳ κατὰ τὴν φωνὴν τοῦ

κηρύγματος, καὶ οὐχὶ συγκέλλεται μᾶλλον ἡ τοῦ ἁγίου πνεύματος χάρις· ἴσθι τοίνυν τὰ πάντα θεοσεβέστατε· πάντα τὸν ὁντινοῦν ἁλισκόμενον ἐπὶ τοιούτῳ τινὶ ἐπίσκοπον, ἢ περιοδευτὴν, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἄλλόν τινα θήποτε τοῦ κανόνος ἢ λαϊκὸν, κοινῷ δόγματι τῶν ἀρχιερέων κατακεκρίσθαι καὶ κοινῇ ψήφῳ· καθὼς περὶ τούτου καὶ ὁ τῶν ἁγίων πατέρων κανὼν φθάσας διαλαλεῖ· δεῖ γὰρ εἶναι χάριν τὴν χάριν, καὶ μηδαμοῦ παρ' αὐτῇ μεσιτεύειν ἀργύριον· ἔςω τοίνυν καὶ ἔστιν ἀπεκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τὲ καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὅ τε κτᾶσθαι ταύτην διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς εἴτε λαϊκὸς εἴη, κἂν ἐλέγχοιτο κἂν μὴ ἐλέγχοιτο τοῦτο ποιεῖν· οὐ γὰρ οἷόν τε συμβιβασθῆναι ποτὲ τὰ ἀσύμβατα, οὐδὲ θεῷ συμφωνῆσαι τὸν μαμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας δουλεῦσαι θεῷ· δεσποτικὴ καὶ αὕτη ἐστὶν ἀπόφασις ἀναμφίλεκτος, οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ· τούτοις ἐπιθαρρύνοντες ἡμεῖς κατὰ δύναμιν, καὶ τούτοις ὑπείκοντες μετὰ τοῦ ταῦτα φήσαντος κατὰ τῶν ταῦτα παρανομούντων, τὴν ἀπόφασιν πεποιήμεθα· φροντισάτω δὲ καὶ ἡ σὴ ὁσιότης ταῦτα διὰ πάσης παραφυλακῆς ποιουμένη, δῆλα καταστῆσαι δι' ἀντιγράφων, καὶ τοῖς ὑπὸ σὲ θεοφιλεστάτοις ἐπισκόποις καὶ περιοδευταῖς, καὶ τοῖς ἄλλοις ἅπασιν· ἵνα ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ πάντες ὁμοῦ χριστιανοὶ συμφραξάμενοι κατὰ τοῦ κοινοῦ δυσμενοῦς, ἰσχύσωμεν σὺν θεῷ τὴν ὑπ' ἐκείνου φυτευθεῖσαν ἐν ἡμῖν τῆς φιλαργυρίας ῥίζαν, ἅμα πᾶσιν αὐτῆς τῶν κακῶν τοῖς βλαστήμασιν ἐκτεμεῖν· πᾶσαν τὴν σὺν σοὶ ἐν Χριστῷ ἀδελφότητα προσαγορεύομεν· ἐῤῥωμένος ἐν κυρίῳ ὑπερεύχου ἡμῶν, θεοφιλέστατε ἀδελφέ.

Γεννάδιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης ὑπέγραψα.

Ἀναστάσιος ἐπίσκοπος μητροπολίτης Ἀγκύρας ὑπ.

Εὐνόμιος μητροπολίτης Νικομηδείας ὑπ.

Πέτρος μητροπολίτης Νικαίας ὑπ.

Περγάμιος μητροπολίτης Ἀντιοχείας τῆς Πισιδίας ὑπ.

Παῦλος μητροπολίτης Μαρκιανουπόλεως ὑπ.

Νουνέχιος μητροπολίτης Λαοδικείας ὑπ.

Πέτρος μητροπολίτης Γαγγρῶν ὑπ.

Καρτέριος μητροπολίτης Κλαυδιουπόλεως ὑπ.

Ἀγαπητὸς μητροπολίτης Ῥόδου ὑπ.

Ἐλευθέριος μητροπολίτης Χαλκηδόνος ὑπ.

Στέφανος μητροπολίτης Ἱεραπόλεως τῆς Εὐφρατησίας ὑπ.

Γρηγόριος μητροπολίτης Ἀδριανουπόλεως ὑπ.

Λουκιανὸς μητροπολίτης Βύζης ὑπ.

Εὐνοῖος μητροπολίτης Μιτυλήνης ὑπ.

Θαλάσσιος μητροπολίτης Παρίου ὑπ.

Μάξιμος μητροπολίτης Λαοδικείας Συρίας ὑπ.

Γερόντιος μητροπολίτης Σελευκείας ὑπ.

Εὐστάθιος ἐπίσκοπος Παρνασσοῦ ὑπ.

Νετίρας ἐπίσκοπος Γάζης ὑπ.

Θεοδόσιος ἐπίσκοπος Κανώθας ὑπ.

Ἀνατόλιος ἐπίσκοπος Ἀθηνῶν ὑπ.

Στέφανος ἐπίσκοπος Προυσαέων ὑπ.

Κυριακὸς ἐπίσκοπος Ἀπολλωνιατῶν ὑπ.

Ἀκάκιος ἐπίσκοπος Ἀνταν̣δρῶν ὑπ.

Πλούταρχος ἐπίσκοπος Πλαταιῶν ὑπ.

Κυριακὸς ἐπίσκοπος Καρφίων ὑπ.

Ἀφόβιος ἐπίσκοπος Κορωνείας ὑπ.

Μακεδὼν ἐπίσκοπος Μαγύδων ὑπ.
Ῥουφῖνος ἐπίσκοπος Αἰγαίων ὑπ.
Παλλάδιος ἐπίσκοπος Ἄνδρου ὑπ.
Φωτεινὸς ἐπίσκοπος Ὄτρου ὑπ.
Εὐτρόπιος ἐπίσκοπος Αὐρηλιουπόλεως ὑπ.
Ἰωάννης ἐπίσκοπος Κελιτζῖνης ὑπ.
Φωτεινὸς ἐπίσκοπος τῶν Θέρμων ὑπ.
Ὑπάτιος ἐπίσκοπος Γερμηνῶν ὑπ.
Σαμβάτιος ἐπίσκοπος (1) ὑπ.
Εὐδόξιος ἐπίσκοπος Βοσπόρου ὑπ.
Βασίλειος ἐπίσκοπος Ναυκλαίων ὑπ.
Ποιμὴν ἐπίσκοπος Κλύσματος ὑπ.
Ἀπόλλων ἐπίσκοπος Πιθανίας ὑπ.
Ἡσαΐας ἐπίσκοπος Ναυκρατιτῶν ὑπ.
Ἰσαὰκ ἐπίσκοπος Θυνέως ὑπ.
Ἐλπίδιος ἐπίσκοπος Ταμιάνθεως ὑπ.
Λαρίων ἐπίσκοπος Κυνέων ὑπ.
Θεότεκνος ἐπίσκοπος Ἀσηνῆς ὑπ.
Ἄτταλος ἐπίσκοπος Μαληνῶν ὑπ.
Θεότιμος ἐπίσκοπος Ἀκμονίας ὑπ.
Χαρίτων ἐπίσκοπος Ἀππίας ὑπ.
Σερῖνος ἐπίσκοπος τῆς μητροπόλεως Μαξιμιανουπόλεως ὑπ.
Μάξιμος ἐπίσκοπος Ζαγύλεως ὑπ.
Ἀθανάσιος ἐπίσκοπος τῆς Ξουτῶν ὑπ.
Πλουσάμμων ἐπίσκοπος τῆς Νικιωτῶν ὑπ.
Πάπας ἐπίσκοπος τῆς Ἐλεϊτῶν ὑπ.

(1) Sic etiam in Conc. ed. ven. Zattae T. VII. p. 918 huic Sambatio seu Sabbatio non adscribitur propriae dioeceseos nomen.

Θεωνᾶς ἐπίσκοπος Βουτιτῶν ὑπ.
Ἀπολλὼν ἐπίσκοπος Ἀντιφρῶν ὑπ.
Ἀγαθὸς ἐπίσκοπος Περιοικίδος ὑπ.
Πέτρος ἐπίσκοπος Ἡφαίστου ὑπ.
Ἀπολλώνιος ἐπίσκοπος Ἀθριβέας ὑπ.
Πέτρος ἐπίσκοπος Θυσθέως ὑπ.
Ἀρποκρᾶς ἐπίσκοπος Τάνεως ὑπ.
Παῦλος ἐπίσκοπος Σεβεννύτου ὑπ.
Ἀριστοτέλης ἐπίσκοπος Ἐχινεατῶν ὑπ.
Φωτεινὸς ἐπίσκοπος Βαβυλῶνος ὑπ.
Αὐγουστῖνος ἐπίσκοπος νέας Μαρκιανῆς ὑπ.
Ἰωάννης ἐπίσκοπος Νικοπόλεως Ἀρμενίας ὑπ.
Ἰουλιανὸς ἐπίσκοπος Κώου ὑπ.
Σαββάτιος ἐπίσκοπος Ἀγχιάλεως ὑπ.
Στρατοκλῆς ἐπίσκοπος Προικοννήσου ὑπ.
Ἰωάννης ἐπίσκοπος Τρανουπόλεως ὑπ.
Μάξιμος ἐπίσκοπος Λιβύης ὑπ.
Θεόδουλος ἐπίσκοπος Τραϊανουπόλεως ὑπ.
Μαρῖνος ἐπίσκοπος Ἐπιφανείας ὑπ.
Βασίλειος ἐπίσκοπος Ἀλεξανδρείας ὑπ.
Ἰωάννης ἐπίσκοπος Γερμανικείας ὑπ.
Ἴνδιμος ἐπίσκοπος Εἰρηνουπόλεως ὑπ.
Τιμόθεος ἐπίσκοπος Δολιχῆς ὑπ.
Ποντιανὸς ἐπίσκοπος Ἀγαλασσοῦ ὑπ.
Δεκιμάσιος ἐπίσκοπος Μαρωνείας ὑπ.
Νοβῖνος ἐπίσκοπος Διβελτοῦ ὑπ.

Τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ
καὶ συλλειτουργῷ κυρῷ Ἀδριανῷ πάπᾳ
τῆς πρεσβυτέρας Ῥώμης
Ταρόσιος ἀνάξιος ἐπίσκοπος Κωνσταντινουπόλεως
νέας Ῥώμης, ἐν κυρίῳ χαίρειν.

Πολυμερῶς καὶ πολυτρόπως, εὐαγγελικῶς, ἀποστολικῶς, καὶ πατριακῶς διδασκόμεθα, ἀφιλάργυρον τὸν τρόπον ἔχειν ἐν τῇ τῆς ἱερωσύνης ἁγιστείᾳ, καὶ μὴ χρυσίζεσθαι ἢ ἀργυρίζεσθαι ἢ τί σφετερίζεσθαι ἐπὶ χειροτονίᾳ παντὸς ἱερατικοῦ ἀνδρὸς, ὡς ὑποδείξομεν ἐν ταῖς καθυποτεταγμέναις χρήσεσιν, ἀπό τε γραφικῶν θεηγοριῶν, καὶ πατριακῶν διδασκαλιῶν· οἱ γὰρ ἐπιτιθέντες χεῖρας, ὑπηρέται τοῦ πνεύματος εἰσὶν, οὐχὶ πράται τοῦ πνεύματος· δωρεὰν γὰρ λαμβάνοντες τὴν χάριν τοῦ πνεύματος, δωρεὰν δίδοσθαι τοῖς παρ' αὐτῶν μεταλαμβάνουσιν ἀπεφήναντο, ἐκ τῆς κυριακῆς φωνῆς ταύτην τὴν ἐλευθεριότητα εἰληφότες· εἰ δέ τις ἐλεγχθείη χρυσίῳ ταύτην ὠνησάμενος, ἀποκήρυκτον διαγορεύουσι τὸν τοιοῦτον τῆς ἱερατικῆς τάξεως· καὶ εἰ καὶ ὀνόματι τὴν ἱερωσύνην κεκλήρωται, ἀλλ' οὖν διαψεύδεται ὁ λόγος ἐπὶ τῷ πράγματι· οὐδεὶς γὰρ θεῷ δουλεύειν δύναται καὶ μαμωνᾷ, ὡς εὐαγγελικῶς ἐμάθομεν· καὶ ἐπειδὴ ἠκούσαμεν προφητικῶς τοῦ θεοῦ βοῶντος, ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλὴμ· αὖθις τε ἐπαπειλοῦντος καὶ λέγοντος, ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχὴν, τὸ αἷμα ἐκ τῆς χειρὸς τοῦ σκοποῦ ἐκζητήσω· φόβῳ τοῦ τῆς σιωπῆς κατακρίματος, ἀναγγέλλομεν τοῖς προέδροις πᾶσι τῶν καθ' ἡμᾶς ἐκκλησιῶν, ἵνα μετὰ παῤῥησίας κατὰ τὸν θεῖον ἀπόστολον εἴπωμεν· καθαρὸι ἐσμὲν ἀπὸ

τοῦ αἵματος τῶν παραβαινόντων τὰς κανονικὰς διατάξεις, καὶ πάνυ γε μᾶλλον τῶν ἐπὶ χρήμασι χειροτονησάντων ἢ χειροτονηθέντων, Πέτρου τοῦ θείου ἀποστόλου, οὗ καὶ τὸν καθέδραν ἐκληρώσατο ἡ ἀδελφικὴ ὑμῶν ἁγιότης, ὡς Σίμωνα τὸν μάγον τούτου καθελόντος· τούτου ἕνεκεν οὐχ ὑποζελλόμεθα τοῦ ἀναγγέλλειν τὴν ἀλήθειαν, φυλάττοντες καὶ κρατοῦντες τὰ παρὰ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ τῶν ἀοιδίμων πατέρων ἡμῶν κανονικῶς ἐκδοθέντα· καὶ εἴ τι τούτων παρεβάθη ὑπό τινων, βδελυττόμεθα· ἡ σὺν ἀδελφικὴ ὑμῶν ἀρχιεροπρεπὴς ἁγιωσύνη, ἐνθέσμως καὶ κατὰ θεοῦ βούλησιν, πρυτανεύουσα τὴν ἱεραρχικὴν ἁγιστείαν, διαβόητον ἔχει τὴν δόξαν· εἴρηκε γὰρ διὰ τοῦ προφήτου ὁ πρῶτος καὶ μέγας ἀρχιερεὺς Χριστὸς ὁ θεὸς, καὶ νῦν φησὶ, ζῶ ἐγὼ, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω· οἶδας γὰρ, ἄνερ ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, ὅτι φορητοτέρα μᾶλλον ἐστὶ Μακεδονίου καὶ τῶν ἀμφ' αὐτὸν πνευματομάχων ἡ δυσσεβὴς αἵρεσις· ἐκείνων γὰρ κτίσμα, καὶ δοῦλον τοῦ θεοῦ καὶ πατρὸς, τὸ ἅγιον πνεῦμα λῃρῳδούντων, οὗτοι ἑαυτῶν ὡς δοκοῦσι δοῦλον αὐτὸ ποιοῦσι· πᾶς γὰρ δεσπότης, ὅ τι ἂν ἔχοι εἰ βούλοιτο πιπράσκει, εἴτε οἰκέτην εἴτε ἕτερον ὃ κέκτηται· ὡσαύτως καὶ ὁ ἀγοράζων, δεσπότης βουλόμενος εἶναι τοῦ ἠγορασμένου, διὰ τιμῆς ἀργυρίου τοῦτο κτᾶται· οὕτως οἱ ταύτην τὴν ἄθεσμον πρᾶξιν ἐργαζόμενοι, καταβιβάζουσι τὸ πνεῦμα τὸ ἅγιον, ἴσα ἁμαρτάνοντες τοῖς βλασφημοῦσιν ἐν Βεελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια τὸν Χριστόν· ἢ τό γε ἀληθέστερον εἰπεῖν, παρεοίκασιν Ἰούδᾳ τῷ προδότῃ, ὃς τοῖς θεοκτόνοις ἰουδαίοις τιμῆς ἀργυρίου τὸν Χριστὸν ἀπεμπολήσατο· ὡς οὖν τὸ ἅγιον πνεῦμα ὁμοούσιον ἐστὶ Χριστῷ τῷ θεῷ ἡμῶν, τῆς αὐτῆς παντί που δῆλον ἔσονται μερίδος, ὡς

ἀποδέδεικται· εἰ δὲ οὐ πιπράσκεται, πρόδηλον γὰρ ὡδαμῶς, ἀναμφιλέκτως οὐκ ἔστιν ἐν αὐτοῖς ἡ χάρις τοῦ ἁγίου πνεύματος, ἤτοι ἡ τῆς ἀγιστείας ἱερωσύνη, καὶ ὃ οὐκ ἔλαβον οὐδὲ ἔχουσι· μνησθῶσι τοῦ ἁγίου Πέτρου πρὸς τὸν τοῦτο ἐπιτηδεύσαντα οὕτω λέγοντος, οὐκ ἔστι σοὶ μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· εἰ γὰρ ἀπεμπολεῖται ἡ τῆς ἱερωσύνης ἀξία, ἄρα περιττὴ παρ' αὐτοῖς ἡ κατὰ τὸν βίον σεμνὴ πολιτεία, καὶ ἡ ἐν ἁγνείᾳ καὶ ἀρετῇ ἀναστροφή· περιττὸς κατ' αὐτοὺς καὶ Παῦλος ὁ θεῖος ἀπόστολος διδάσκων· δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, σώφρονα, κόσμιον, διδακτικὸν, ἐγκρατῆ, νηφάλεον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν· οἴχεται τοίνυν ταῦτα πάντα ἐκ τοῦ πράτου καὶ ἀγοραστοῦ τῆς ἱερωσύνης· αἱ οὖν ὑποκείμεναι ἁγιόλεκτοι χρήσεις, ἀλλότριον πάντη τῆς ἱερωσύνης ἀποφαίνονται τὸν ποτὲ δόντα ἢ λαβόντα ἐν οἱῳδήποτε χρόνῳ· ἀλλὰ καὶ πάσας τὰς προβολὰς τὰς ἐκκλησιαστικὰς ἀφαιροῦσιν ἐπὶ τῇ τῶν χρημάτων δόσει.

Κανὼν τῶν ἁγίων ἀποστόλων.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων etc. ut p. 68-69.

Ἐκ τῶν πράξεων τῶν ἁγίων ἀποστόλων.

Ἰδὼν δὲ ὁ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα λέγων, δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας λαμβάνῃ πνεῦμα ἅγιον· Πέτρος δὲ εἶπε πρὸς αὐτὸν, τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν· ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι, οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ, ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ θεοῦ· μετανόησον

οὖν ἀπὸ τῆς κακίας ταύτης, καὶ δεήθητι τοῦ Θεοῦ, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου, εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.

Ἐκ τῆς τρίτης τῶν βασιλειῶν.

Καὶ οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ ἀπὸ τῆς κακίας αὐτοῦ· καὶ ἐπέστρεψε καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν· ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγένετο ἱερεὺς εἰς τὰ ὑψηλὰ, καὶ ἐγένετο ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοὰμ καὶ εἰς ὄλεθρον καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς.

Ἐκ τῆς τετάρτης τῶν βασιλειῶν.

Καὶ ἐπέστρεψε Νεεμὰν πρὸς Ἐλισσαιὲ, αὐτὸς καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἦλθε καὶ ἔστηκε ἐνώπιον αὐτοῦ, καὶ εἶπεν· ἰδοὺ δὴ ἔγνωκα ὅτι οὐκ ἔστι Θεὸς ἐν πάσῃ τῇ γῇ, ἀλλ' ἢ ἐν τῷ Ἰσραὴλ· καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου· καὶ εἶπεν Ἐλισσαιὲ· ζῇ κύριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ λήψομαι· καὶ παρεβιάσατο αὐτὸν λαβεῖν, καὶ ἠπειθησε. Καὶ μετ' ὀλίγα. Καὶ εἶπε Γιεζὶ τὸ παιδάριον Ἐλισσαιὲ· ἰδοὺ ἐφείσατο ὁ κυρίος μου τοῦ Νεεμὰν τοῦ σύρου τοῦ λαβεῖν ἐκ χειρὸς αὐτοῦ ὧν ἐνήνοχε· ζῇ κύριος, εἰ μὴ δραμοῦμαι ὀπίσω αὐτοῦ, καὶ λήψομαι παρ' αὐτοῦ τί· καὶ ἐδίωξε Γιεζὶ ὀπίσω Νεεμάν. Καὶ μετὰ βραχέα. Καὶ εἶπε Νεεμὰν, λάβε δὴ τάλαντον ἀργυρίου· καὶ ἔλαβε δύο τάλαντα ἀργυρίου ἐν δυσὶ θυλάκοις, καὶ δύο ἀλλασσομένας στολάς. Καὶ μεθ' ἕτερα. Καὶ εἶπε πρὸς αὐτὸν Ἐλισσαιὲ· πόθεν Γιεζὶ; καὶ εἶπε Γιεζὶ· οὐ πεπόρευται ὁ δοῦλος σου ἔνθα καὶ ἔνθα· καὶ εἶπε πρὸς αὐτὸν Ἐλισσαιὲ· οὐχὶ ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ; καὶ οἶδα ὅτε ἐπέστεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος εἰς συνάντησίν σου, καὶ νῦν ἔλαβες τὸ

ἀργύριον, καὶ νῦν ἔλαβες τὰ ἱμάτια, καὶ λήψῃ ἐν αὐτοῖς κήπους, καὶ ἐλαιῶνα, καὶ ἀμπελῶνα, καὶ πρόβατα, καὶ βόας, καὶ παῖδας, καὶ παιδίσκας, καὶ ἡ λέπρα Νεεμὰν κολληθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶνα· καὶ ἐξῆλθεν ἐκ τοῦ προσώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῆς εἰς τὸν Ἡσαΐαν ἑρμηνείας.

Νόμον ἔδωκεν εἰς βοήθειαν, ἵνα εἴπωσιν· οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ· οὗτος δὲ ὁ νόμος οὐκ ἔστιν ὡς τὸ ῥῆμα τοῦτο τὸ ἐγγαστρίμυθον· οὐ γὰρ πρὸς ἀπάτην ἐπινενόηται, ὥσπερ ἐκεῖνα, ἀλλ' ἀληθείας ἔχει διδάσκαλος· κἀκεῖνοι μὲν ἐπ' ἀργυρίῳ μαντεύονται· τοῦτο γάρ ἐστι τὸ καταγέλαστον ὅτι καὶ ἀργύριον αὐτοῖς τελοῦσι μισθὸν τοῦ ψεύδους οἱ ἀπατώμενοι· τοῦτο δὲ τὸ ῥῆμα· τοιοῦτόν ἐστι τοῦ νομοθέτου, οὐκ ἔστι τοιοῦτον ὥστε δῶρα δοῦναι περὶ αὐτοῦ· οὐδεὶς γὰρ τὴν χάριν τοῦ Θεοῦ ἀποδίδοται· δωρεὰν φησιν ἐλάβετε, δωρεὰν δότε· ὁρᾷς πῶς ἠγανάκτησε Πέτρος ἐπὶ τῷ Σίμωνι, ἀργύριον ὑπὲρ τῆς τοῦ πνεύματος χάριτος προσκομίσαντι; τὸ γὰρ ἀργύριόν σου φησὶ, σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι ἐνόμισας τὴν δωρεὰν τοῦ Θεοῦ διὰ χρημάτων κτᾶσθαι· οὐκ ἔστιν οὖν ὁ τοῦ εὐαγγελίου λόγος ὡς τὰ πωλούμενα ῥήματα τῶν ἐγγαστριμύθων· τί γὰρ ἄν τις δῴη ἄξιον αὐτῶν ἀντάλλαγμα; ἄκουε τοῦ Δαβὶδ ἀποροῦντος καὶ λέγοντος· τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; οὐκ ἔστιν οὖν δῶρα δοῦναι περὶ τούτου, ἀνταξία τῆς ἀπ' αὐτοῦ χάριτος· ἓν δῶρον ἄξιον ἡ φυλακὴ τοῦ δωρηθέντος· ὁ δούς σοι τὸν θησαυρὸν, οὐχὶ τιμὴν ἀπαιτεῖ τοῦ δοθέντος, ἀλλὰ φυλακὴν ἀξίαν τοῦ δεδομένου.

Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμα.

Νομίζουσι μὴ ἁμαρτάνειν τῷ μὴ ἅμα προσλαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν· λαβεῖν δέ ἐςι τὸ λαβεῖν ὁτεδήποτε· παρακαλῶ οὖν ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀποθέσθαι· καὶ μὴ τὰς χεῖρας μολύναντας τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια. Sic etiam p. 71.

Ἐκ τοῦ βίου τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου.

Προσῆλθεν ὁ τῆς μακρηγορίας ἡμῖν αἴτιος τοῖς ἐπισκόποις πᾶσιν Εὐσέβιος ὁ κατήγορος τῶν ἐξ λοιπῶν ἐπισκόπων, ἀξιῶν δεχθῆναι εἰς κοινωνίαν· ωροσαντιλέγουσί τινες τῶν ἐπισκόπων, μὴ δεῖν αὐτὸν δεχθῆναι ὡς συκοφάντην· ἐπὶ τούτοις ἱκέτευε λέγων, ἐπειδὴ ἡ δίκη τὸ πλεῖστον μέρος ἐπὶ ἔτη δύο ἐβασανίσθη, εἰς μάρτυρας δὲ γεγένηται ἡ ὑπέρθεσις, δέομαι τῆς ὑμετέρας θεοφιλίας σήμερον ωαραυτὰ δοῦναι με τοὺς μάρτυρας· εἰ γὰρ καὶ Ἀντωνῖνος τετελεύτηκεν ἐπίσκοπος, ὁ λαβὼν τὸ χρυσίον καὶ χειροτονήσας, ἀλλ' οὖν γε μένουσιν οἱ δεδωκότες καὶ χειροτονηθέντες· ἐδικαίωσε τοίνυν ἡ παροῦσα σύνοδος ζητηθῆναι τὸ πρᾶγμα· ἄρχεται ἡ ὑπόθεσις ἐξ ἀναγνωσμάτων τῶν πρώην πραχθέντων ὑπομνημάτων· εἰσῆλθον οἱ μάρτυρες, καὶ εἰσῆλθον οἱ ἐξ τῶν δεδωκότων καὶ χειροτονηθέντων· ἐν ἀρχῇ ἠρνεῦντο· ἐπιμενόντων δὲ τῶν μαρτύρων, τῶν μὲν λαϊκῶν, τῶν δὲ πρεσβυτέρων, οἷς ἔδοξε τεθαρρηκέναι, τινῶν δὲ καὶ γυναικῶν, καὶ τὰ εἴδη τῶν ἐνεχύρων λεγόντων, καὶ τοὺς τόπους, καὶ τοὺς καιροὺς, καὶ τὴν ποσότητα, οὐ πάνυ καλῶς αὐτῶν διακειμένης τῆς συνειδήσεως, αὐθαίρετοι ὁμολογοῦσι δίχα πολλῆς ἀνάγκης, ὅτι δεδώκαμεν καὶ γεγόναμεν· τοιαύτην νομί-

σαντες ἀκολουθίαν εἶναι, ἵνα δόξωμεν τῆς βουλῆς τῆς δημοσίας ἐλευθεροῦσθαι· καὶ νῦν δεόμεθα, εἰ μὲν ἔστιν ὅσιον ἡμᾶς εἶναι ἐν τῇ λειτουργίᾳ τῆς ἐκκλησίας, ἐπεὶ κἂν τὸ χρυσίον ὃ δεδώκαμεν ἵνα λάβωμεν, τῶν γὰρ γυναικῶν ἡμῶν δεδώκαμέν τινες σκεύη· ὁ δὲ Ἰωάννης πρὸς ταῦτα ὑπέσχετο τῇ συνόδῳ, ὅτι τοῦ μὲν βουλευτηρίου ἐγὼ αὐτοὺς σὺν Θεῷ ἀπαλλάσσω ἀξιώσας τὸν βασιλέα, ὑμεῖς δὲ προστάξατε αὐτοὺς λαβεῖν ὃ δεδώκα, παρὰ τῶν Ἀντωνίνου κληρονόμων· προσέταξεν ἡ σύνοδος, τὸ μὲν χρυσίον αὐτοὺς λαβεῖν παρὰ τῶν Ἀντωνίνου κληρονόμων, κοινωνεῖν δὲ ἔνδον τοῦ θυσιαστηρίου· εἶναι δὲ ἀπὸ ἱερέων, ἵνα μὴ τούτων συγχωρηθέντων, ἔθος γένηται ἰουδαϊκὸν ἢ αἰγύπτιον τοῦ πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην· φασὶ γὰρ τὸν λυμεῶνα καὶ ψευδώνυμον πατριάρχην τῶν ἰουδαίων, κατ' ἔτος ἀμείβειν ἢ παρ' ἔτος τοὺς ἀρχισυναγώγους, ἐπὶ συλλογῇ τοῦ ἀργυρίου· ὁμοίως καὶ τὸν ζηλωτὴν τούτων τὸν αἰγυπτίων πατριάρχην· ἵνα πληρωθῇ τὸ προφητικὸν· οἱ ἱερεῖς αὐτῆς μετὰ δώρων ἀπεκρίναντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο.

Ἐκ τῶν κανόνων τῶν χλ' ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων, κανὼν β'.

Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο etc. ut p. 66.

Ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς Γενναδίου Κωνσταντινουπόλεως.

Ἔστι τοίνυν ἀποκήρυκτος etc. usque ad μαμωνᾷ ut p. 74.

Ἐκ τῶν κανόνων τῆς ἁγίας ἕκτης συνόδου, κανὼν κβ'.

Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους etc. ut p. 66.

Ἀκούσωμεν ταῦτα πάντα καὶ ἐνωτισώμεθα, οὐ μόνον ἀρχιερεῖς καὶ ἱερεῖς, καὶ οἱ τῷ κλήρῳ κατηριθμημένοι, ἀλλὰ

καὶ πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· δεῖ γὰρ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥυῶμεν· ὅτι οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἠγοράσθημεν ἐκ τῆς ματαίας παραδότου ἀναστροφῆς, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Ἰησοῦ Χριστοῦ· οὕτως ἡμᾶς ὄιδαξον, ἄνερ ἱερώτατε, ἕπεσθαι τοῖς γραφικοῖς καὶ εὐαγγελικοῖς καὶ ἀποστολικοῖς κανονικοῖς τὲ καὶ πατρικοῖς παραγγέλμασι· πειθόμεθα γὰρ τοῖς ῥήμασι τοῦ στόματος ὑμῶν· ἐπὶ τῶν ὑψηλῶν ἀνάβηθι, ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν σου· πορεύθητι ἐν πλατυσμῷ, κήρυξον μετὰ παῤῥησίας· ὅπως ἐξαρθῇ καὶ εἰς ἀφανισμὸν [illegible]κήσεται ἡ διὰ χρημάτων χειροθεσία, καὶ πᾶν εἴ τι ταύτῃ διὰ φιλαργυρίαν ἀθικίαν τὲ καὶ ἐμπορίαν αἰσχροκερδῶς παρέπεται· ταύτης γὰρ μετὰ τῶν συστοιχούντων αὐτῇ ἐξαιρουμένης ἐκ τοῦ περισυσίου λαοῦ, τοῦ τῷ ὀνόματι Χριστοῦ κεκλημένου, καὶ ὡρεὰν τυχόντος τῆς ἀπολυτρώσεως, πάντα τὰ τῇ κακίᾳ συνεπόμενα μιάσματα προῤῥιζον συνεκτμηθήσονται· καὶ οἱ ἱερεῖς ὡς φοίνιξ ἀνθήσουσι, Χριστοῦ εὐωδίαν τοῖς σωζομένοις ἐμπνέοντες, καὶ τῇ ἐκκλησίᾳ ἐπινικίως προσᾴδοντες, περιεῖλε κύριος ἐκ σοῦ τὰ ἀδικήματά σου· ἔτι δὲ καὶ τοὺς δρεπομένους γλυκάζοντες, πληθύνοντές τε αὐτοὺς ἐν γήρει πίονι, τῆς μακαρίας λέγω καὶ ἀπηράτου ζωῆς κληρονόμους ἀναδεικνύοντες.

Βιβλ. α΄ τιτ. α΄ διάτ. λ΄ μά· καὶ τίτ. α΄ τῶν νεαρῶν διάτ. α΄ β΄ ια΄, ἐν αἷς εἴρηται καὶ περὶ τῶν διδομένων ἐμφανιστικῶν παρὰ ἐπισκόπων καὶ κληρικῶν· καὶ ὅτι ἐν Βυζαντίῳ μόνοι οἱ τῆς μεγάλης ἐκκλησίας, οὐ μὴν οἱ τῶν ἄλλων κληρικοὶ, τοῖς αὐτῶν συγκληρικοῖς ταῦτα διδόασιν· οἱ δὲ παρέχοντες, οὐ διδόασι πλέον ἑνὸς ἐνιαυτοῦ διάρια· σῦτε δὲ φρόντισμα οἱονδήποτε, ἢ δικίκησιν ἐκκλησιαζικὴν ἐπὶ δό-

σει τίς δύναται λαβεῖν, ἢ ἐπὶ τῶν πτωχῶν γίνεσθαι, ἢ ξενῶνος, ἢ εὐαγοῦς οἴκου προσῆναι· πάντα δὲ τὰ ἐπὶ τούτῳ διδόμενα ἢ ὑπισχνούμενα, ἡ ἐκκλησία, ἢ ὁ εὐαγὴς οἶκος, ἐκδικεῖ· ἐξουσίαν δὲ ἔχουσιν οἱ ἐπίσκοποι, καὶ πρὸ τῆς χειροτονίας, καὶ μετὰ ταῦτα, ταῖς ἐκκλησίαις αὐτῶν προσφέρειν.

ΚΕΦ. ΚΕ.

Περὶ τοῦ μὴ γίνεσθαι ἀναχειροτονήσεις.

Ἀποστόλων κανὼν ξή.

ξή Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, δευτέραν χειροτονίαν δέξεται παρά τινος, [illegible]αιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας· εἰ μή γε ἄρα συσταίη, ὅτι παρὰ αἱρετικῶν ἔχει τὴν χειροτονίαν· τοὺς γὰρ περὶ τῶν τοιούτων χειροτονηθέντας ἢ βαπτισθέντας, οὔτε πιστοὺς οὔτε κληρικοὺς εἶναι δυνατόν.

Συνόδου Καρθαγέννης κανὼν μή.

Περὶ ἀναβαπτισμάτων, καὶ ἀναχειροτονιῶν ἢ μεταβάσεων ἐπισκόπων.

μή Ἐκεῖνο δὲ ἀναφέρομεν ἐνταλθὲν ἡμῖν, τὸ καὶ ἐν τῇ συνόδῳ τῇ ἐν Καπύῃ ὁρισθὲν, ὥστε μὴ ἐξεῖναι γίνεσθαι ἀναβαπτίσεις, ἢ ἀναχειροτονήσεις, ἢ μετακινήσεις ἐπισκόπων· Κρεσκώνιος σὺν τοῦ Ῥεκένσης ἀγροῦ ἐπίσκοπος καταφρονήσας τοῦ ἰδίου λαοῦ, τῇ τοῦ Βικένη ἐπέβη ἐκκλησίᾳ· καὶ ἕως τῆς σήμερον πολλάκις ὑπομνησθεὶς κατὰ τὸ ὁρισθὲν καταλιπεῖν τὴν αὐτὴν ἐκκλησίαν ἢ τινι ἐπῆλθεν, οὐχ εἵλετο· περὶ τούτου δὲ τὰ προαγγελθέντα βέβαια ἠκούσαμεν, καὶ αἰτοῦμεν κατὰ τὸ ἐνταλὲν ἡμῖν, ἵνα καταξιώσητε δοῦναι παῤῥησίαν ἐπ' ἀδείας ἡμῖν γενέσθαι· ὅτι αὕτη ἡ ἀνάγκη παρασκευάζει τῷ ἄρχοντι τῆς χώρας κατ' ἐκείνου προσελθεῖν, κατὰ τὰς

διαστίξεις τῶν ἐνδοξοτάτων βασιλέων· ἵνα ὁ τῇ πράξει ὑπομνήσει τῆς ὑμετέρας ἀγωσύνης πειθαρχῆσαι μὴ θελήσας, καὶ διορθώσασθαι τὸ ἀσυγχώρητον, αὐθεντίᾳ ἀρχοντικῇ παραχρῆμα κωλυθῇ.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Φυλαχθέντος τοῦ τύπου τῆς κατασάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων, ἐὰν ἐπιεικῶς αἰτηθεὶς παρὰ τῆς ὑμετέρας ἀγάπης ἀποστῆναι παρητήσατο, ἐπειδὴ ἐκ τῆς οἰκείας καταφρονήσεως καὶ μονετονίας, περιῆλθεν εἰς ἀρχοντικὴν ἐξουσίαν.

Ὀνωράτος καὶ Οὐρβανὸς εἶπον· τοῦτο πᾶσιν ἀρέσκει· ἀπὸ πάντων ἐπισκόπων ἐλέχθη· δίκαιόν ἐστιν, ἀρέσκει.

ΚΕΦ. Κς.

Περὶ τοῦ μὴ μετιέναι ἐπίσκοπον ἢ κληρικὸν, ἀπὸ πόλεως εἰς πόλιν.

Συνόδου Νικαίας κανὼν ιέ ις'.

Διὰ τὸν πολὺν τάραχον καὶ τὰς στάσεις τὰς γινομένας, ιε'
ἔδοξε παντάπασι περιαιρεθῆναι τὴν συνήθειαν τὴν παρὰ τὸν κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν, ὥστε ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν, μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον· εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας καὶ μεγάλης συνόδου ὅρον, τοιούτῳ τινὶ ἐπιχειρήσειεν, ἢ ἐπιδοίη ἑαυτὸν πράγματι τοιούτῳ, ἀκυρωθήσεται ἐξάπαντος τὸ κατασκεύασμα, καὶ ἀποκατασταθήσεται τῇ ἐκκλησίᾳ ἧ ὁ ἐπίσκοπος ἢ ὁ πρεσβύτερος ἐχειροτονήθη.

Ὅσοι ῥιψακινδύνως μήτε τὸν φόβον τοῦ θεοῦ πρὸ ὀφθαλ- ις'
μῶν ἔχοντες, μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες, ἀναχωρήσουσι τῆς ἐκκλησίας πρεσβύτεροι ἢ διάκονοι, ἢ ὅλως ἐν

τῷ κανόνι ἐξεταζόμενοι, οὕτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ· ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἔπεσθαι χρὴ ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας, ἢ ἐπιμένοντας ἀκοινωνήτους εἶναι προσήκει· εἰ δὲ καὶ τολμήσειέ τις ὑφαρπάσαι τὸν τῷ ἑτέρῳ διαφέροντα καὶ χειροτονῆσαι ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, μὴ συγκατατιθέμενου τοῦ ἰδίου ἐπισκόπου οὗ ἀνεχώρησεν ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος, ἄκυρος ἔστω ἡ χειροτονία.

Συνόδου Ἀντιοχείας κανὼν κα'.

κα' Ἐπίσκοπον ἀπὸ παροικίας ἑτέρας εἰς ἑτέραν μὴ μεθίσασθαι, μήτε αὐθαιρέτως ἐπιῤῥίπτοντα ἑαυτὸν, μήτε ὑπὸ λαῶν ἐκβιαζόμενον, μήτε ὑπὸ ἐπισκόπων ἀναγκαζόμενον· μένειν δὲ εἰς ἣν ἐκληρώθη ὑπὸ τοῦ Θεοῦ ἐξ ἀρχῆς ἐκκλησίαν, καὶ μὴ μεθίστασθαι αὐτῆς, κατὰ τὸν ἤδη πρότερον περὶ τούτου ἐξενεχθέντα ὅρον.

Συνόδου Χαλκηδόνος κανὼν ε' ι' κ'.

ε' Περὶ τῶν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν ἐπισκόπων ἢ κληρικῶν, ἔδοξε τοὺς περὶ τούτων τεθέντας κανόνας παρὰ τῶν ἁγίων πατέρων ἔχειν τὴν ἰδίαν ἰσχύν.

ι' Μὴ ἐξεῖναι κληρικὸν ἐν δύο πόλεων κατὰ ταυτὸν καταλέγεσθαι ἐκκλησίαις, ἐν ᾗ τε τὴν ἀρχὴν ἐχειροτονήθη, καὶ ἐν ᾗ προσέφυγεν ὡς μείζονι δῆθεν, διὰ δόξης κενῆς ἐπιθυμίαν· τοὺς δέ γε τοῦτο ποιοῦντας, ἀποκαθίσασθαι τῇ ἰδίᾳ ἐκκλησίᾳ ἐν ᾗ ἐξ ἀρχῆς ἐχειροτονήθησαν, καὶ ἐκεῖ μόνον λειτουργεῖν· εἰ μέν τοι ἤδη τίς μετετέθη ἐξ ἄλλης εἰς ἄλλην ἐκκλησίαν, μηδὲν τοῖς τῆς προτέρας ἐκκλησίας, ἤτοι τῶν ὑπ' αὐτὴν μαρτυρείων ἢ πτωχείων ἢ ξενοδοχείων ἐπικοινωνεῖν πράγμασι· τοὺς δέ γε τολμῶντας μετὰ τὸν ὅρον τῆς μεγάλης καὶ οἰκουμενικῆς ταύτης συνόδου πράττειν τί τῶν

νῶν ἀπηγορευμένων, ὥρισεν ἡ ἁγία σύνοδος ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ.

Κληρικοὺς εἰς ἐκλησίαν τελοῦντας, καθὼς ἤδη ὡρίσα- κ΄
μεν, μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως τάττεσθαι ἐκκλησίαν, ἀλλὰ στέργειν ἐκείνην ἐν ᾗ λειτουργεῖν ἐξ ἀρχῆς ἠξιώθησαν· ἐκτὸς ἐκείνων, εἴ τινες ἀπολέσαντες τὰς ἰδίας πατρίδας, ἀπὸ ἀνάγκης εἰς ἄλλην ἐκκλησίαν μετῆλθον· εἰ δέ τις ἐπίσκοπος, μετὰ τὸν ὅρον τοῦτον, ἄλλῳ ἐπισκόπῳ προσήκοντα δέξοιτο κληρικὸν, ἔδοξεν ἀκοινώνητον εἶναι καὶ τὸν δεχθέντα καὶ τὸν δεξάμενον· ἕως ἂν ὁ μεταστὰς κληρικὸς, εἰς τὴν ἰδίαν ἐπανέλθῃ ἐκκλησίαν.

Συνόδου Σαρδικῆς κανὼν α΄ β΄ ιέ.

Ἡ ἁγία σύνοδος ἡ ἐν Σαρδικῇ συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν ὥρισε τὰ ὑποτεταγμένα.

Ὅσιος ἐπίσκοπος πόλεως Κορδούβης εἶπεν· οὐ τοσοῦτον ἡ α΄
φαύλη συνήθεια, ὅσον ἡ βλαβερωτάτη τῶν πραγμάτων διαφθορὰ, ἐξ αὐτῶν τῶν θεμελίων ἐστὶν ἐκριζωτέα· ἵνα μηδενὶ τῶν ἐπισκόπων ἐξῇ ἀπὸ πόλεως μικρᾶς εἰς ἑτέραν πόλιν μεθίστασθαι· ἡ γὰρ τῆς αἰτίας ταύτης πρόφασις φανερὰ δι' ἣν τὰ τοιαῦτα ἐπιχειρεῖται· οὐδεὶς γὰρ πώποτε εὑρεθῆναι ἐπίσκοπος δεδύνηται, ὃς ἀπὸ μείζονος πόλεως εἰς ἐλαχιστοτέραν πόλιν ἐσπούδασε μεταστῆναι· ὅθεν συνέσχηκε διαπύρῳ πλεονεξίας τρόπῳ ὑπεκκαίεσθαι τοὺς τοιούτους, καὶ μᾶλλον τῇ ἀλαζονείᾳ δουλεύειν, ὅπως ἐξουσίαν δεκεῖεν μείζονα κεκτῆσθαι· εἰ πᾶσι τοίνυν τοῦτο ἀρέσκει, ὥστε τὴν τοιαύτην σκαιότητα αὐστηρότερον ἐκδικηθῆναι, ἡγοῦμαι γὰρ μὴ δὲ λαϊκῶν ἔχειν τοὺς τοιούτους χρῆναι κοινωνίαν.

Ἅπαντες οἱ ἐπίσκοποι εἶπον. – Τοῦτο ἀρέσκει πᾶσιν.

Ὅσιος ἐπίσκοπος εἶπεν· εἰ δέ τις τοιοῦτος εὑρίσκοιτο μα- β΄

νιώδης ἢ τολμηρὸς, ὡς περὶ τῶν τοιούτων δόξαι τινὰ φέρειν παραίτησιν, διαβεβαιούμενον ἀπὸ τοῦ πλήθους ἑαυτὸν κεκομίσθαι γράμματα, δῆλον ἐστὶν ὀλίγους τινὰς δεδυνῆσθαι, μισθῷ καὶ τιμήματι διαφθαρέντας, ἐν τῇ ἐκλησίᾳ στασιάζειν, ὡς δῆθεν τὸν αὐτὸν ἔχειν ἐπίσκοπον ἀξιοῦντας· καθάπαξ οὖν τὰς τοιαύτας ῥᾳδιουργίας καὶ τέχνας οὐ δεκτέας, ἀλλὰ μᾶλλον κολαστέας εἶναι νομίζω, ὥστε μηδένα τοιοῦτον μὴ δὲ ἐν τῷ τέλει λαϊκῆς γοῦν ἀξιοῦσθαι κοινωνίας· εἰ τοίνυν ἀρέσκει αὕτη ἡ γνώμη, ἀποκρίνασθε.

Ἀπεκρίναντο. – Τὰ λεχθέντα ἤρεσεν.

ιε' Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο δὲ πάντες ὁρίσωμεν, ἵνα εἴ τις ἐπίσκοπος ἐξ ἑτέρας παροικίας βουληθῇ ἀλλότριον ὑπηρέτην, χωρὶς τῆς συγκαταθέσεως τοῦ ἰδίου ἐπισκόπου, εἴς τινα βαθμὸν καταστῆσαι, ἄκυρος καὶ ἀβέβαιος ἡ κατάστασις ἡ τοιαύτη νομίζοιτο· εἴ τινες δὲ τοῦτο ἐπιτρέψειαν, παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν καὶ ὑπομμνήσκεσθαι καὶ διορθοῦσθαι ὀφείλουσιν.

Ἅπαντες εἰρήκασι. – Καὶ οὗτος ὁ ὅρος κήπω ἀσάλευτος.

Συνόδου Καρθαγέννης κανὼν νδ' ψ.

Περὶ τοῦ ἀλλοτρίους κληρικοὺς μηδαμῶς παρ' ἑτέρων ὑποδέχεσθαι ἐπισκόπων.

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν.

νδ' Ἐν πολλαῖς συνόδοις τοῦτο ὁρισθὲν, καὶ νῦν ἔτι μὴν ἐκ τῆς ὑμετέρας βεβαιωθῇ συνέσεως, μακαριώτατοι ἀδελφοὶ, ὥστε μηδένα ἐπίσκοπον ἰδιοποιεῖσθαι ἀλλότριον κληρικὸν παρὰ τὴν κρίσιν τοῦ προτέρου αὐτοῦ ἐπισκόπου· ἀναφέρω δὲ Ἰουλιανὸν ἀχαρίστως ἐνεχθέντα περὶ τὰς διὰ τῆς ἐμῆς βραχύτητος εἰς αὐτὸν σωρευθείσας τοσαύτας τοῦ Θεοῦ εὐεργεσίας, καὶ οὕτως προπετῶς καὶ τολμηρῶς διαγενόμενον, ὥστε

τὸν ἀπὸ νηπίας ἡλικίας ὑπ' ἐμοῦ βαπτισθέντα, τὸν καὶ διὰ πολλὴν ἔνδειαν ἐξ αὐτοῦ παρατεθέντα μοι, καὶ ἐπὶ πολλὰ ἔτη ἐξ ἐμοῦ τραφέντα καὶ αὐξηθέντα, τὸν ὡς εἶπον ἐν τῇ ἐμῇ ἐκκλησίᾳ τῇ χειρὶ τῆς ἐμῆς μετριότητος βαπτισθέντα, καὶ δεικνύμενον ἐν τῇ τῶν Μαπαλιτῶν παροικίᾳ ἀναγνώστην γενόμενον, καὶ ἐπὶ δύο ἔτη ἐκεῖσε ἀναγινώσκοντα, τοῦτον οὐκ οἶδα ποίᾳ καταφρονήσει τῆς ἐμῆς μετριότητος, ἁφαρπάσαι τὸν αὐτὸν Ἰουλιανὸν, καὶ λέγειν πολίτην τοῦ διαφέροντος αὐτῷ Βαζαριτανοῦ τόπου, καὶ παρὰ τὴν ἐμὴν γνώμην τούτῳ κατακεχρῆσθαι· καὶ γὰρ καὶ διάκονον τοῦτον ἐχειροτόνησε· τοῦτο εἰ ἔξεσι, γνωσθῇ ὑμῖν ἡ τοιαύτη ἄδεια μακαριώτατοι ἀδελφοὶ· εἰ δὲ μή γε τὸ οὕτως ἀναιδὲς κωλυθείη, ἵνα μὴ ὁ λεχθεὶς Ἰουλιανὸς ἐπικοινωνῇ ἀλλοτρίοις.

Νουμήδιος ἐπίσκοπος εἶπεν.

Ἐὰν μὴ ἐρωτηθείσης μὴ δὲ αἰτηθείσης τῆς σῆς ἀξίας φανείη τοῦτο πράξας Ἰουλιανὸς, κρίνομεν πάντες ἀδίκως γενόμενον καὶ μὴ ἀξίως· διὸ εἰ μὴ ὁ αὐτὸς Ἰουλιανὸς διορθώσηται τὴν οἰκείαν πλάνην, καὶ μετὰ ἀποθεραπεύσεως τῷ ὑμετέρῳ λαῷ τὸν αὐτὸν ἀποκαταςήσει κληρικὸν, ὃν ἐτόλμησε χειροτονῆσαι, κατὰ τῶν ὁρισθέντων τῇ συνόδῳ πράττων, καὶ χωρισθεὶς ἀφ' ἡμῶν, τῆς οἰκείας μονοτονίας ἀπενέγκῃ τὴν κρίσιν.

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν.

Ὁ κατὰ τὴν κεῖραν πατὴρ, καὶ αὐτῇ τῇ προσοπῇ ἀρχαιότατος ἐπαινετὸς ἀνὴρ, ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Βάκτωρ τὴν αἴτησιν ταύτην γενικὴν βούλεται ἐπὶ πᾶσιν ἐκτελεσθῆναι.

Ὁμοίως ἤρεσεν ἵνα ὁστισθήποτε ἐν ἐκκλησίᾳ, κἂν ἄπαξ ἀνέγνω, ὑπ' ἄλλης ἐκκλησίας πρὸς κλήρωσιν μὴ κατέχηται. Καὶ ὑπέγραψα.

Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνήνεσα· καὶ ἀναγνωσθέντι ὑπέγραψα· ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιζ΄ τὴ κ΄.

ιζ΄ Ἐπειδήπερ διαφόρων ἐκκλησιῶν κληρικοὶ, τὰς ἰδίας ἐν αἷς ἐχειροτονήθησαν ἐκκλησίας καταλιπόντες, πρὸς ἑτέρους συνέδραμον ἐπισκόπους, καὶ γνώμης δίχα τοῦ οἰκείου ἐπισκόπου, ἐν ταῖς ἀλλοτρίαις κατετάγησαν ἐκκλησίαις, ἐκ τούτου τὲ συνέβη ἀνυποτάκτους αὐτοὺς καταζῆναι, ὁρίζομεν ὥστε ἀπὸ τοῦ νῦν, ἤτοι ἀπὸ τοῦ ἰαννουαρίου μηνὸς τῆς παρελθούσης τετάρτης ἐπινεμήσεως, μηδένα τῶν ἁπάντων κληρικῶν, κἂν ἐν οἱῳδήποτε τυγχάνῃ βαθμῷ, ἄδειαν ἔχειν ἐκτὸς τῆς τοῦ οἰκείου ἐπισκόπου ἐγγράφου ἀπολυτικῆς, ἐν ἑτέρᾳ κατατάττεσθαι ἐκκλησίᾳ· ἐπεὶ ὁ μὴ τοῦτο ἀπὸ τοῦ νῦν παραφυλαττόμενος, ἀλλὰ καταισχύνων, τό γε ἐπ' αὐτῷ, τὸν τὴν χειροτονίαν αὐτῷ ἐπιτεθεικότα, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ παραλόγως αὐτὸν προσδεξάμενος.

ιη΄ Τοὺς προφάσει βαρβαρικῆς ἐπιδρομῆς, ἢ ἄλλως πῶς ἐκ περιστάσεως, μεταναστας γενομένους κληρικοὺς, ἡνίκα δ' ἂν ὁ τρόπος αὐτοῖς ἀποπαύσηται, ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ, δι' ἃ τὴν ἀναχώρησιν ἐποιήσαντο, αὖθις ἐν ταῖς οἰκείαις ἐκκλησίαις προστάσσομεν ἐπανέρχεσθαι, καὶ μὴ ἐπὶ πολὺ ταύτας ἀπροφασίζως καταλιμπάνειν· εἰ δέ τις μὴ κατὰ τὸν παρόντα διαγένηται κανόνα, ἀφοριζέσθω μέχρις ἂν πρὸς τὴν οἰκείαν ἐκκλησίαν ἐπαναδράμοι· τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῷ κατέχοντι αὐτὸν ἐπισκόπῳ γινέσθω.

κ΄ Μὴ ἐξέστω ἐπισκόπῳ εἰς ἑτέραν τὴν μὴ αὐτῷ προσήκουσαν πόλιν δημοσίᾳ διδάσκειν· εἰ δέ τις φωραθείη τοῦτο ποιῶν, τῆς ἐπισκοπῆς παυέσθω, τὰ δὲ τοῦ πρεσβυτέρου ἐνεργείτω.

Ἡ δὲ θ' καὶ ι' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν λέγει, πῶς εἰς τὴν μεγάλην ἐκκλησίαν Κωνσταντινουπόλεως οἱ τῶν ἄλλων αὐτῆς ἐκκλησιῶν κληρικοὶ μετατίθενται.

ΚΕΦ. ΚΖ.

Περὶ τοῦ ὑποκειμένου ἁμαρτήματι, καὶ χειροτονηθέντος.

Συνόδου Νικαίας κανὼν θ' ι'.

Εἴ τινες ἀνεξετάστως προσήχθησαν πρεσβύτεροι, ἢ ἀνακρινόμενοι ὡμολόγησαν τὰ ἡμαρτημένα αὐτοῖς, καὶ ὁμολογησάντων αὐτῶν, παρὰ κανόνα κινούμενοι οἱ ἄνθρωποι, τοῖς τοιούτοις χεῖρα ἐπιτεθείκασι, τούτους ὁ κανὼν οὐ προσίεται· τὸ γὰρ ἀνεπίληπτον ἐκδικεῖ ἡ καθολικὴ ἐκκλησία. θ'

Ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων, κατὰ ἄγνειαν, ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο οὐ προκρίνει τῷ κανόνι τῷ ἐκκλησιαστικῷ· γνωσθέντες γὰρ καθαιροῦνται. ι'

Συνόδου Νεοκαισαρείας κανὼν θ'.

Πρεσβύτερος ἐὰν παρημαρτηκὼς σώματι προαχθῇ, καὶ ὁμολογήσῃ ὅτι ἥμαρτε πρὸ τῆς χειροτονίας, μὴ προσφερέτω, μένων ἐν τοῖς λοιποῖς, διὰ τὴν ἄλλην σπουδήν· τὰ γὰρ λοιπὰ ἁμαρτήματα ἔφασαν οἱ πολλοὶ καὶ τὴν χειροθεσίαν ἀφιέναι· ἐὰν δὲ αὐτὸς μὴ ὁμολογῇ, ἐλεγχθῆναι δὲ φανερῶς μὴ δυνηθῇ, ἐπ' αὐτῷ ἐκείνῳ ποιεῖσθαι τὴν ἐξουσίαν. θ'

Βασιλείου κανὼν κζ'.

Περὶ τοῦ πρεσβυτέρου τοῦ κατὰ ἄγνειαν ἀθέσμῳ γάμῳ περιπαρέντος, ὅρισα ἃ ἐχρῆν, καθέδρας μὲν μετέχειν, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη· εὐλογεῖν δὲ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα ἀνακόλουθον· εὐλογία γὰρ ἁγιασμοῦ μετά- κζ'

δοσίς ἐστιν· ὁ δὲ τοῦτο μὴ ἔχων διὰ τὸ ἐκ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέρῳ μεταδώσει; μήτε τοίνυν δημοσίᾳ, μήτε ἰδίᾳ εὐλογείτω, μήτε τὸ σῶμα τοῦ Χριστοῦ κατανεμέτω ἑτέροις, μήτέ τι ἄλλο λειτουργείτω· ἀλλ' ἀρκούμενος τῇ προεδρίᾳ, προσκλαιέτω τῷ κυρίῳ συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν δ' ε' ς'.

δ' Περὶ δὲ Πανσὺφ τοῦ καταστάντος διακόνου ἐν τῇ Λυκῷ ζητῆσαι· καὶ εἰ μὲν εὑρεθείη οὗτος ἔτι κατηχούμενος τυγχάνων, τὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν δεξάμενος, μετὰ δὲ τὸ βάπτισμα εἰς κλῆρον ἀχθεὶς, μενέτω ἐν τῷ κλήρῳ, εἴ γε κεκοίμηται ἐκείνη, καὶ μετὰ τὸ βάπτισμα οὐ κεκοινώνηκεν αὐτῇ· εἰ δὲ πιστὸς τυγχάνων τὴν αὐτὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν ἐδέξατο, ἔστω τοῦ κλήρου ἀλλότριος· οὐ γὰρ πρόκριμα τῷ ἐπισκόπῳ φέρει Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας κατέστησεν αὐτόν.

ε' Περὶ Ἰακὼβ ζητῆσαι· εἰ ἀναγνώστης ὤν, ἐγκλήματι πορνείας ὑπεύθυνος ἐδείχθη, καὶ παρὰ τῶν πρεσβυτέρων ἐξεβλήθη, εἶτα κεχειροτόνηται, οὗτος ἐκβαλλέσθω, ἀκριβοῦς ἐξετάσεως γινομένης, καὶ μὴ μόνον ἐκ ψιθυρισμῶν ἢ κακολογιῶν ὑποψίας εἰς αὐτὸν γενομένης· εἰ δὲ μὴ εὑρεθείη ὑπεύθυνος, μενέτω ἐν τῷ κλήρῳ· οὐ γὰρ δεῖ ταῖς ματαίαις διαβολαῖς προσέχειν.

ς' Ἐπειδὴ Ἱέραξ τόνδε ὡσανεὶ ἐπὶ πορνείᾳ διαβαλλόμενον, οὐκ ὀφείλειν ἐν τῷ κλήρῳ εἶναι, ὁ δὲ ἐπίσκοπος Ἀπόλλων διϊσχυρίσατο, τὸ τηνικαῦτα μηδένα κατήγορον ἐν μέσῳ ἐληλυθέναι κατ' αὐτοῦ, ἐξεταζέσθω καὶ οὗτος· καὶ εἰ μὲν κατήγορός τις ἀναφύεται πίστεως ἄξιος, καὶ τὸ ἔγκλημα ἀποδείκνυνται, φερομένων μαρτύρων ἀξιοπίστων, τῆς ἐκκλησίας

ἐκβαλλέσθω· εἰ δὲ τοῦ κλήρου ἄξιός ἐστι, καὶ ἐπὶ σωφροσύνῃ μαρτυρεῖται, μενέτω ἐν τούτῳ.

ΚΕΦ. ΚΗ.

Περὶ τῆς ἡλικίας τῶν χειροτονουμένων ἀρρένων καὶ θηλειῶν.

Συνόδου Νεοκαισαρείας κανὼν ια'.

Πρεσβύτερος πρὸ τῶν λ' ἐτῶν μὴ χειροτονείσθω, ἐὰν καὶ πάνυ εἴη ὁ ἄνθρωπος ἄξιος, ἀλλ' ἀποτηρείσθω· ὁ γὰρ κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐφωτίσθη καὶ ἤρξατο διδάσκειν. ια'

Συνόδου Χαλκηδόνος κανὼν ιε'.

Διακόνισσαν μὴ χειροτονεῖσθαι γυναῖκα πρὸ ἐτῶν τεσσαράκοντα, καὶ ταύτην μετὰ ἀκριβοῦς δοκιμασίας· εἰ δέ γε δεξαμένη τὴν χειροθεσίαν, καὶ χρόνον τινὰ παραμείνασα τῇ λειτουργίᾳ, ἑαυτὴν ἐπιδῷ γάμῳ, ὑβρίσασα τὴν τοῦ θεοῦ χάριν, ἡ τοιαύτη ἀναθεματιζέσθω μετὰ τοῦ αὐτῇ συναφθέντος. ιε'

Συνόδου Καρθαγέννης κανὼν ις'.

Ὥστε μηδένα ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον ἔκλη-
ψίν τινα λαμβάνειν· καὶ ὥστε τοὺς ἀναγνώστας γα-
μετὰς λαμβάνειν· καὶ ἵνα οἱ κληρικοὶ γυναικῶν καὶ τό-
κων ἀπέχωνται· καὶ ποίῳ δεῖ καιρῷ ἢ αὐτοὺς ἢ τὰς
παρθένους καθιεροῦσθαι· καὶ περὶ τοῦ μὴ προσκυνεῖν
τὸν δῆμον.

Ὁμοίως ἤρεσεν ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται ἢ πρακτορατόρες, μὴ δὲ ἔκ τινος αἰσχροῦ ἢ ἀτίμου πράγματος τροφὴν πορίζωνται· ὀφείλουσι γὰρ ἀποβλέψαι εἰς τὸ γεγραμμένον· οὐδεὶς στρατευόμενος τῷ θεῷ, ἐμπλέκει ἑαυτὸν πράγμασι κοσμικοῖς· ἤρεσεν ὥστε τοὺς ἀναγνώστας, εἰς τὸν καιρὸν τῆς ἥβης ἐρχομέ- ις'

νους ἀναγκάζεσθαι ἢ συμβίους ἀγαγέσθαι, ἢ ἐγκράτειαν ὁμολογεῖν· ὁμοίως ἤρεσεν ἵνα κληρικὸς, ἐὰν χρήματα θῷ ἐν χρήσει, τὰ χρήματα λάβῃ· ἐὰν δὲ εἶδος, ὅσον δέδωκε λάβῃ, καὶ ἵνα πρὸ τῶν κε' ἐνιαυτῶν, μήτε διάκονοι χειροτονῶνται· ἀλλὰ καὶ οἱ ἀναγνῶσται τὸν θῆμον μὴ προσκυνῶσιν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιθ' ιε'.

ιθ' Ὁ τῶν ἁγίων καὶ θεοφόρων ἡμῶν πατέρων κρατείτω κανὼν καὶ ἐν τούτῳ, ὥστε πρεσβύτερον πρὸ λ' ἐτῶν, μὴ χειροτονεῖσθαι, κἂν πάνυ ᾖ ἄξιος ὁ ἄνθρωπος, ἀλλ' ἀποτηρεῖσθαι, ὁ γὰρ κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐβαπτίσθη, καὶ ἤρξατο διδάσκειν· ὁμοίως μήτε διάκονον πρὸ τῶν κε' ἐτῶν, ἢ διακόνισσαν πρὸ τῶν μ' χρόνων χειροτονείσθω.

ιε' Ὑποδιάκονος μὴ ἧττον τῶν κε' χειροτονείσθω ἐνιαυτῶν, εἰ δέ τις τῶν ἐν οἱασοῦν ἱερατικῇ καταστάσει παρὰ τοὺς ὁρισθέντας χειροτονηθείη χρόνους, καθαιρείσθω.

Ἡ θ' διάταξις τοῦ α' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. οὐ συγχωρεῖ γίνεσθαι διακόνισσαν, τὴν μὴ ὑπερβᾶσαν τὸν ξ' ἐνιαυτὸν· ἡ δὲ α' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν, ἐτῶν αὐτὴν εἶναι θέλει ν', ὡς εἴ γε, διά τινα αἰτίαν ἀναγκαίαν, ἐλάττων οὖσα ταύτης τῆς ἡλικίας ἐχειροτονήθη, βούλεται μοναστηρίῳ ἐμβληθῆναι, ἐν ᾧ ἀνδρῶν ἐπιμιξία οὐκ ἔστιν, οὔτε αὐτεξούσιος δίαιτα· ἡ μέν τοι β' διάτ. τοῦ αὐτοῦ τίτ. οὐ θέλει διακόνισσαν ἐκκλησίας γίνεσθαι, τῶν μ' ἐτῶν ἧττονα· ἡ αὐτὴ δὲ διάτ. φησὶ, τὸν χειροτονούμενον πρεσβύτερον, μὴ ὀφείλειν εἶναι ἧττονα τῶν λ' ἐτῶν, καὶ κε' τὸν διάκονον, τὸν δὲ ἀναγνώστην ιθ', καὶ τὸν ἐπίσκοπον λε'· ἡδὲ ιζ' διάτ. τοῦ αὐτοῦ τίτ. θέλει αὐτὸν ὑπερβηκέναι τὰ λ' ἔτη.

ΚΕΦ. ΚΘ.

Περὶ ποιήσεως χωρεπισκόπων, καὶ πότε, καὶ πῶς προσφέρουσιν ἢ μεταδιδόασι, καὶ τίνας χειροτονοῦσιν ἢ οὔ.

Συνόδου Ἀγκύρας κανὼν ιγ'.

Χωρεπισκόποις μὴ ἐξεῖναι πρεσβυτέρους ἢ διακόνους χει- ιγ'
ροτονεῖν· ἀλλὰ μὴν μὴ δὲ ἐπισκόπεις πόλεως, χωρὶς τοῦ ἐπιτραπῆναι ὑπὸ τοῦ ἐπισκόπου μετὰ γραμμάτων, ἐν ἑτέρᾳ παροικίᾳ.

Συνόδου Νεοκαισαρείας κανὼν ιγ'.

Ἐπιχώριοι πρεσβύτεροι ἐν τῷ κυριακῷ τῆς πόλεως, προσ- ιγ'
φέρειν οὐ δύνανται, παρόντος ἐπισκόπου ἢ πρεσβυτέρων πόλεως· οὔτε μὴν ἄρτον διδόναι ἐν εὐχῇ οὐδὲ ποτήριον· ἐὰν δὲ ἀπῶσι, καὶ εἰς εὐχὴν κληθῇ, μόνος δίδωσιν.

Συνόδου Ἀντιοχείας κανὼν ί.

Τοὺς ἐν ταῖς κώμαις ἢ χώραις, ἢ τοὺς καλουμένους χω- ί
ρεπισκόπους, εἰ καὶ χειροθεσίαν εἶεν ἐπισκόπων εἰληφότες, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ εἰδέναι τὰ ἑαυτῶν μέτρα, καὶ διοικεῖν τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ τῇ τούτων ἀρκεῖσθαι φροντίδι καὶ κηδεμονίᾳ, καθιστᾶν τε ἀναγνώστας καὶ ὑποδιακόνους καὶ ἐξορκιστὰς, καὶ τῇ τούτων ἀρκεῖσθαι προαγωγῇ· μήτε δὲ πρεσβύτερον μήτε διάκονον χειροτονεῖν τολμᾶν δίχα τοῦ ἐν τῇ πόλει ἐπισκόπου, ᾗ ὑπόκειται αὐτός τε καὶ ἡ χώρα· εἰ δέ τολμήσειέ τις παραβῆναι τὰ ὁρισθέντα, καθαιρεῖσθαι αὐτὸν καὶ ἧς μετέχει τιμῆς· χωρεπίσκοπον δὲ γίνεσθαι ὑπὸ τοῦ τῆς πόλεως ᾗ ὑπόκειται ἐπισκόπου.

Βασιλείου ἐκ τῆς πρὸς τοὺς χωρεπισκόπους ἐπιστολῆς, ὥστε μὴ γίνεσθαι χωρὶς αὐτοῦ ὑπηρέτας παρὰ τοὺς κανόνας.

Πάνυ με λυπεῖ ὅτι ἐπιλελοίπασι λοιπὸν etc. ut p. 41-42.

ΚΕΦ. Λ.

Περὶ τοῦ ἑπτὰ καὶ μόνους εἶναι διακόνους ὀφείλειν, κἂν ἡ πόλις μεγάλη ᾖ.

Συνόδου Νεοκαισαρείας κανὼν ιδ' ιε'.

ιδ' Οἱ δὲ χωρεπίσκοποι εἰσὶ μὲν εἰς τύπον τῶν ο', ὡς δὲ συλλειτουργοὶ, διὰ τὴν σπουδὴν τὴν εἰς τοὺς πτωχοὺς προσφέρουσι τιμώμενοι.

ιε' Διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη ᾖ ἡ πόλις· πεισθήσῃ δὲ ἀπὸ τῆς βίβλου τῶν πράξεων.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ις'.

ις' Ἐπειδὴ αἱ τῶν πράξεων βίβλοι, ἑπτὰ διακόνους ὑπὸ τῶν ἀποστόλων καταστῆναι παραδιδόασιν, οἱ δὲ τῆς κατὰ Νεοκαισάρειαν συνόδου οὕτως ἐν τοῖς ἐκτεθεῖσι παρ' αὐτῶν κανόσι σαφῶς διεξῆλθον, ὅτι διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη ἡ πόλις εἴη, πεισθήσῃ δὲ ἐκ τῆς βίβλου τῶν πράξεων, ἡμεῖς τῷ ἀποστολικῷ ῥητῷ τὸν νοῦν ἐφαρμόσαντες τῶν πατέρων, εὕρομεν ὡς ὁ λόγος αὐτοῖς οὐ περὶ τῶν τοῖς μυστηρίοις διακονουμένων ἀνδρῶν ἦν, ἀλλὰ περὶ τῆς ἐν ταῖς χρείαις τῶν τραπεζῶν ὑπουργίας· τῆς τῶν πράξεων βίβλου οὕτως ἐχούσης· « ἐν ταῖς ἡμέραις ἐκεί-» ναις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν » ἑλληνιστῶν πρὸς τοὺς ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ » διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν· προσκαλεσάμενοι

» δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· οὐκ ἀρε-
» στόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ θεοῦ, δια-
» κονεῖν τραπέζαις· ἐπισκέψασθε οὖν, ἀδελφοὶ, ἄνδρας ἐξ
» ὑμῶν μαρτυρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου καὶ
» σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς
» δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερή-
» σομεν· καὶ ἤρεσεν ὁ λόγος ἐπὶ παντὸς τοῦ πλήθους· καὶ
» ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος
» ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ
» Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον ἀν-
» τιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων. » Ταῦτα
διερμηνεύων ὁ τῆς ἐκκλησίας διδάσκαλος Ἰωάννης ὁ χρυσό-
στομος, οὕτως διέξεισι· θαυμάσαι ἄξιον πῶς οὐκ ἐσχίσθη
τὸ πλῆθος ἐπὶ τῇ αἱρέσει τῶν ἀνδρῶν, πῶς οὐκ ἀπεδοκι-
μάσθησαν ὑπ' αὐτῶν οἱ ἀπόστολοι· ὁπαῖον δὲ ἄρα ἀξίωμα
εἶχον οὗτοι, καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μα-
θεῖν· ἆρα τὴν τῶν διακόνων; καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλη-
σίαις οὐκ ἔστιν, ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία·
καί τοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ' οἱ ἀπόστολοι μό-
νον· ὅθεν οὔτε διακόνων, οὔτε πρεσβυτέρων εἶναι τὸ ὄνομα
δῆλον φανερὸν· ἐπὶ τούτοις οὖν κηρύσσομεν καὶ ἡμεῖς, ὥστε
τοὺς προειρημένους ἑπτὰ διακόνους, μὴ ἐπὶ τῶν τοῖς μυ-
στηρίοις διακονουμένων λαμβάνεσθαι, κατὰ τὴν προερμηνευ-
θεῖσαν διδασκαλίαν, ἀλλὰ τοὺς τὴν οἰκονομίαν τῆς κοινῆς
χρείας τῶν τότε συνηθροισμένων ἐγχειρισθέντας, τούτους
ὑπάρχειν, οἱ τύπος ἡμῖν κἂν τούτῳ γεγόνασι τῆς περὶ τοὺς
δεομένους φιλανθρωπίας τε καὶ σπουδῆς.

Ἡ δὲ α΄ διάταξις τοῦ α΄ τίτ. τῶν νεαρῶν, φησὶ, ὅτι τὸν
ἀριθμὸν τῶν ἐν ἑκάστῃ ἐκκλησίᾳ λειτουργούντων, ἡ ποσό-

της τῆς προσόδου καὶ ἡ κρατήσασα ὁρίζει συνήθεια· ἡ δὲ Θ' τοῦ αὐτοῦ τίτλου, τάττει ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Κωνσταντινουπόλεως πρεσβυτέρους ξ', διακόνους ρ', διακονίσσας μ', ὑποδιακόνους ψ, ἀναγνώστας ρί, ψάλτας κέ, Θυρωροὺς ρ'· ἡ δὲ ί τοῦ αὐτοῦ τίτ. διάτ. βούλεται ἐν ταῖς ἄλλαις ἐκκλησίαις φυλάττεσθαι τὸ ἐξ ἀρχῆς ὁρισθὲν στατοῦτον· ἀπὸ δὲ τύπου τοῦ δεσπότου Ἡρακλείου ὡρίσθησαν ἐν τῇ αὐτῇ μεγάλῃ ἐκκλησίᾳ πρεσβύτεροι π', διάκονοι ρν', διακόνισσαι μ', ὑποδιάκονοι ο', ἀναγνῶσται ρξ', ψάλται κέ, Θυρωροὶ σέ.

ΚΕΦ. ΛΑ.

Τίνες εἰσὶ κληρικοὶ, ἢ τῆς ἐκκλησιαστικῆς τάξεως.

Συνόδου Λαοδικείας κανὼν κδ'.

κδ' Ὅτι οὐ δεῖ ἱερατικοὺς ἀπὸ πρεσβυτέρων ἕως διακόνων, καὶ ἐξῆς τῆς ἐκκλησιαστικῆς τάξεως, ἕως ὑπηρετῶν, ἢ ἀναγνωστῶν, ἢ ψαλτῶν, ἢ ἐπιορκιστῶν, ἢ Θυρωρῶν, ἢ τοῦ τάγματος τῶν ἀσκητῶν, εἰς καπηλεῖον εἰσιέναι.

Ἡ β' διάταξις τοῦ α' τίτ. τῶν νεαρῶν κληρικοὺς ἔχει, πρεσβυτέρους, διακόνους, ὑποδιακόνους, ἀναγνώσας, ψάλτας· ἡ μέν τοι ς' διάτ. τοῦ γ' τίτ. τοῦ α' βίβλ. τοῦ κώδ. καὶ ἐξορκιστῶν καὶ πυλωρῶν μέμνηται.

ΚΕΦ. ΛΒ.

Περὶ τοῦ μὴ χειροτονεῖσθαι οὗ τινος ἡ γυνὴ ἐμοιχεύθη· καὶ ἐὰν γυνὴ κληρικοῦ μοιχευθῇ.

Συνόδου Νεοκαισαρείας κανὼν ἡ'.

η' Γυνὴ τινὸς μοιχευθεῖσα λαϊκοῦ ὄντος, ἐὰν ἐλεγχθῇ φανερῶς, ὁ τοιοῦτος εἰς ὑπηρεσίαν ἐλθεῖν οὐ δύναται· ἐὰν δὲ

μετὰ τὴν χειροτονίαν μοιχευθῇ, ὀφείλει ἀπολῦσαι αὐτήν· ἐὰν δὲ συζῇ, οὐ δύναται ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ ὑπηρεσίας.

Καὶ ὁ πολιτικὸς νόμος πάντας τοὺς τὰς γυναῖκας ἑαυτῶν μοιχευομένας, μὴ ἀπολύοντας τιμωρεῖται· ἡ δὲ β΄ διάτ. τοῦ θ΄ τίτ. τοῦ θ΄ βίβλ. τοῦ κώδ. λέγει, ὅτι προαγωγός ἐστιν ὁ τὴν αὐτοῦ γαμετὴν μοιχευθεῖσαν μὴ ἀπολύσας· οὐ μὴν ὁ ψιλῶς ὑποπτεύσας· σήμερον δὲ καὶ μετὰ δίκην, δύναται ὁ ἀνὴρ ἀναλαβεῖν ἐκ τοῦ μοναστηρίου τὴν μοιχευθεῖσαν αὐτοῦ γυναῖκα, κατὰ τὴν παρατήρησιν τῆς περὶ repudium ρμ΄ νεαρᾶς.

ΚΕΦ. ΛΓ.

Περὶ τοῦ μὴ χειροτονεῖσθαι κληρικοῦς ἀπολελυμένως, ἀλλὰ πάντως εἰς ἐκκλησίαν ἢ εἰς μοναστήριον.

Συνόδου Χαλκηδόνος κανὼν ς΄.

Μηδένα ἀπολελυμένως χειροτονεῖσθαι, μήτε πρεσβύτερον, μήτε διάκονον, μήτε ὅλως τινὰ τῶν ἐν τῷ ἐκκλησιαστικῷ τάγματι, εἰ μὴ ἰδικῶς ἐν ἐκκλησίᾳ πόλεως ἢ κώμης, ἢ μαρτυρείῳ, ἢ μοναστηρίῳ, ὁ χειροτονούμενος ἐπικηρύττοιτο· τοὺς δὲ ἀπολύτως χειροτονουμένους, ὥρισεν ἡ ἁγία σύνοδος ἄκυρον ἔχειν τὴν τοιαύτην χειροθεσίαν, καὶ μηδαμοῦ δύνασθαι ἐνεργεῖν, ἐφ' ὑβρει τοῦ χειροτονήσαντος. ς΄

ΚΕΦ. ΛΔ.

Περὶ περιοδευτῶν, καὶ τῶν ἐν ταῖς κώμαις ἐκκλησιῶν.

Συνόδου Λαοδικείας κανὼν νζ΄.

Ὅτι οὐ δεῖ ἐν ταῖς κώμαις καὶ ἐν ταῖς χώραις, καθίστασθαι ἐπισκόπους, ἀλλὰ περιοδευτάς· τοὺς μέν τι ἤδη νζ΄

προκαταστα θέντας, μηδὲν πράττειν ἄνευ γνώμης τοῦ ἐπισκόπου τοῦ ἐν τῇ πόλει· ὡσαύτως δὲ καὶ τοὺς πρεσβυτέρους, μηδὲν πράττειν ἄνευ τῆς γνώμης τοῦ ἐπισκόπου.

Ἡ δὲ ια΄ διάταξις τοῦ γ΄ τίτ. τοῦ α΄ βιβλ. λέγει· ἐκ τῶν χωρίων καὶ τῶν κωμῶν, καὶ οὐκ ἔξωθεν εἰς τὰς ἐκκλησίας αὐτῶν χειροτονεῖσθαι, ὥστε συντελεῖν τὴν ἰδίαν καπιτατιόνα καὶ τὸ δημόσιον· ἡ δὲ ις΄ διάτ. τοῦ αὐτοῦ τίτλου, καὶ ἡ β΄ τοῦ α΄ τίτ. τῶν νεαρῶν, φασὶ τοὺς ἐναπογράφους, καὶ ἀκόντων τῶν δεσποτῶν, ἐν ταῖς κατ' αὐτοὺς κτήσεσι χειροτονεῖσθαι· ἐφ' ᾧ διὰ τῶν δεσποτῶν τὴν καπιτατιόνα συντελεῖν, καὶ δι' ὑποκαταστάτου λειτουργεῖν.

ΚΕΦ. ΛΕ.

Περὶ τοῦ ὑπὸ τὸν ἐπίσκοπον τῆς πόλεως εἶναι τοὺς κληρικοὺς τῶν πτωχείων καὶ μοναστηρίων καὶ μαρτυρείων.

Συνόδου Χαλκηδόνος κανὼν η΄.

η΄ Οἱ κληρικοὶ τῶν πτωχείων καὶ μοναστηρίων καὶ μαρτυρείων, ὑπὸ τὴν ἐξουσίαν τῶν ἐν ἑκάστῃ πόλει ἐπισκόπων κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν διαμενέτωσαν, καὶ μὴ κατὰ αὐθάδειαν ἀφηνιάτωσαν τοῦ ἰδίου ἐπισκόπου· οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν τοιαύτην διατύπωσιν καθ' οἱονδήποτε τρόπον, καὶ μὴ ὑποτατόμενοι τῷ ἰδίῳ ἐπισκόπῳ, εἰ μὲν εἶεν κληρικοὶ, τοῖς τῶν κανόνων ὑποκείσθωσαν ἐπιτιμίοις· εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ, ἔστωσαν ἀκοινώνητοι.

ΚΕΦ. Λς.

Περὶ δούλων κληρουμένων.

Ἀποστόλων κανὼν πβ΄.

πβ΄ Οἰκέτας εἰς κλῆρον προχειρίζεσθαι ἄνευ τῆς τῶν δεσπο-

τῶν γνώμης, οὐκ ἐπιτρέπομεν ἐπὶ λύπῃ τῶν κεκτημένων· οἴκων γὰρ ἀνατροπὴν τὸ τοιοῦτο ἐργάζεται· εἰ δέ ποτε καὶ ἄξιος φανείη οἰκέτης πρὸς χειροτονίαν βαθμοῦ, εἷος καὶ ὁ ἡμέτερος Ὀνήσιμος ἐφάνη, καὶ συγχωρήσουσιν οἱ δεσπόται καὶ ἐλευθερώσουσι, καὶ τοῦ οἴκου ἑαυτῶν ἐξαποστείλωσι, γινέσθω.

Ἡ δὲ λς' διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ., φησὶν, ὅτι δοῦλος, οὔτε κατὰ γνώμην τοῦ δεσπότου κληροῦται, εἰ μὴ πρότερον ἐλευθερωθῇ· ἡ δὲ β' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν, φησὶν ὅτι ἐὰν γινώσκοντος καὶ μὴ ἀντιλέγοντος τοῦ δεσπότου κληρωθῇ, ἐλευθεροῦται καὶ εὐγενὴς γίνεται· εἰ δὲ ἠγνόησεν εἴσω ἐνιαυτοῦ δεικνὺς τὴν τύχην, λαμβάνει αὐτὸν· ὁ δὲ ἐλευθερούμενος, ἐὰν κοσμικὸς γένηται, παραδίδοται εἰς δουλείαν τῷ δεσπότῃ αὐτοῦ· ἡ δὲ αὐτὴ διάταξις λέγει, ὅτι ἡ ἐπισκοπὴ, καὶ δουλικῆς καὶ ἐναπογράφου τύχης ἐλευθεροῖ καὶ ὑπεξουσιότητος· τὸ αὐτὸ δὲ καὶ ἡ οε' νεαρὰ ἡ διαλαμβάνουσα διὰ ποίων ἀξιωμάτων βουλευτηρίου τίς ἐλευθεροῦται καὶ ὑπεξουσιότητος· ἡ γὰρ ὁ νεαρὰ, ἐπισκόπων οὐ μέμνηται.

ΚΕΦ. ΛΖ.

Περὶ διακονισσῶν, καὶ ὅτι γυνὴ οὐ γίνεται πρεσβυτέρα.

Συνόδου Νικαίας κανὼν ιθ'.

Περὶ τῶν παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθο- ιθ'
λικῇ ἐκκλησίᾳ, ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος· εἰ δέ τινες τῷ παρεληλυθότι χρόνῳ ἐν τῷ κλήρῳ ἐξητάσθησαν, εἰ μὲν ἄμεμπτοι καὶ ἀνεπίληπτοι φανεῖεν, ἀναβαπτισθέντες χειροτονείσθωσαν ὑπὸ τοῦ τῆς καθολικῆς

ἐκκλησίας ἐπισκόπου· εἰ δὲ ἡ ἀνάκρισις ἀνεπιτηδείους αὐτοὺς εὑρίσκει, καθαιρεῖσθαι αὐτοὺς προσήκει· ὡσαύτως δὲ καὶ περὶ τῶν διακονισσῶν, καὶ ὅλως περὶ τῶν ἐν τῷ κανόνι ἐξεταζομένων, ὁ αὐτὸς τύπος περιφυλαχθήσεται· ἐμνήσθημεν δὲ τῶν διακονισσῶν τῶν ἐν τῷ σχήματι ἐξετασθεισῶν, ἐπεὶ μὴ δὲ χειροθεσίαν τινὰ ἔχουσιν· ὥστε ἐξάπαντος ἐν τοῖς λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι.

Συνόδου Λαοδικείας κανὼν ια'.

ια' Περὶ τοῦ μὴ δεῖν τὰς λεγομένας πρεσβύτιδας, ἤτοι προκαθημένας, ἐν ἐκκλησίᾳ καθίστασθαι.

Συνόδου Χαλκηδόνος κανὼν ιε'.

Διακόνισσαν μὴ χειροτονεῖσθαι γυναῖκα etc. ut p. 95.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιθ'.

Ὁ τῶν ἁγίων καὶ θεοφόρων ἡμῶν πατέρων etc. ut p. 96.

ΚΕΦ. ΛΗ.

Περὶ τῶν διὰ τῆς χειροτονίας λυομένων ἁμαρτημάτων.

Συνόδου Νεοκαισαρείας κανὼν θ'.

Πρεσβύτερος ἐὰν προημαρτηκὼς σώματι etc. ut p. 93.

ΤΙΤΛΟΣ Β.

ΠΕΡΙ ΠΟΙΗΣΕΩΣ ΕΚΚΛΗΣΙΩΝ ΚΑΙ ΠΕΡΙ ΙΕΡΩΝ ΣΚΕΥΩΝ ΚΑΙ ΑΝΑΘΗΜΑΤΩΝ, ΚΑΙ ΚΛΗΡΙΚΩΝ ΠΑΡΑ ΓΝΩΜΗΝ ΕΠΙΣΚΟΠΩΝ ΙΣΤΩΝΤΩΝ ΘΥΣΙΑΣΤΗΡΙΑ.

ΚΕΦ. Α.

Περὶ καθιερώσεως καὶ μαρτυρείων μὴ ἐχόντων λείψανα ἁγίων.

Συνόδου Καρθαγέννης κανὼν ς' πγ'.
Ὥστε χρίσμα ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι.

Φουρτουνάτος ἐπίσκοπος εἶπεν.

Ἐν ταῖς προλαβούσαις συνόδοις μεμνήμεθα τὰ ὁρισθέντα, ς'
ὥστε χρίσμα, ἢ καταλλαγὴν μετανοούντων, ἢ κορῶν, καὶ τόπων, καὶ ναῶν καθιέρωσιν ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι· ἐὰν δέ τις ἀναφυῇ τοῦτο πράττων, τί δεῖ περὶ τούτου ὁρίσαι;

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Τὸ ὑμέτερον ἀξίωμα ἤκουσε τὸ ἀνενεχθὲν παρὰ τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Φουρτουνάτου, τί πρὸς ταῦτα λέγετε;

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη.

Χρίσματος ποίησις, καὶ κορῶν καθιέρωσις, ἀπὸ πρεσβυτέρων μὴ γένηται, μήτε δὲ καταλλάξαι τινὰ εἰς δημοσίαν λειτουργίαν πρεσβυτέρῳ ἐξεῖναι· τοῦτο πᾶσιν ἀρέσκει.

Περὶ τῶν πλαστῶν μνημείων τῶν μαρτύρων.

Ὁμοίως ἤρεσεν ἵνα τὰ πανταχοῦ ἀνὰ τοὺς ἀγροὺς καὶ πγ'
τοὺς ἀμπελῶνας θυσιαστήρια, ὡσανεὶ εἰς μνήμην μαρτύρων καθιερώμενα, ἐν οἷς οὐδὲ ἓν σῶμα ἢ λείψανα μαρτύρων ἀποκείμενα δείκνυται, ἀπὸ τῶν ἐντοπίων ἐπισκόπων εἰ ἔχει δυν-

ατὸν καταστρέφωνται· εἰ δὲ τοῦτο θορύβοις δημοτικοῖς οὐ συγχωρεῖται, ὅμως τὰ πλήθη νουθετηθῶσι μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους· καὶ ἵνα οἱ τὰ ὀρθὰ φρονοῦντες μηδεμιᾷ δεισιδαιμονίᾳ τῶν τοιούτων τόπων καταδεσμῶνται· καὶ παντελῶς μὴ δὲ μνήμη μαρτύρων ἐπιτελεσθῇ, εἰ μή που ἢ σῶμα ἢ τινὰ λείψανα ὦσιν, ἢ ἀρχαιογονία τινὸς οἰκήσεως, ἢ κτίσεως, ἢ πάθους πιστῇ ἀρχαιότητι παραδίδοται· ὅσα γὰρ δι' ἐνυπνίων καὶ ματαίων ἀποκαλύψεων ἀνθρώπων τινῶν ὁπουδήποτε καθίσανται θυσιαστήρια, παντὶ τρόπῳ τὰ τοιαῦτα ἀποδοκιμασθῶσιν.

Συνόδου Νικαίας τὸ β', κανὼν ζ' ιζ'.

Ὅτι τοὺς ἐγκαινισθέντας ναοὺς ἐκτὸς καταθέσεως ἁγίων λειψάνων, δέον ἀναπληρωθῆναι.

ζ Ἔφη Παῦλος ὁ θεῖος ἀπόστολος· τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοι εἰσὶ, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν· ἁμαρτιῶν οὖν προκαταλαμβανουσῶν, καὶ ἕτεραι ἁμαρτίαι παρέπονται ταύταις· τῇ οὖν ἀσεβεῖ αἱρέσει τῶν χριστιανοκατηγόρων, καὶ ἄλλα ἀσεβήματα συνηκολούθει· ὥσπερ γὰρ τὴν τῶν σεπτῶν εἰκόνων ὄψιν ἀφείλοντο ἐκ τῆς ἐκκλησίας, καὶ ἕτερά τινα ἔθη ἀντὶ τοῦ ἀπεδοκίμασαν παραλελοίπασιν, ἃ χρὴ ἀνανεωθῆναι, καὶ κατὰ τὴν ἔγγραφον καὶ ἄγραφον θεσμοθεσίαν οὕτως κρατεῖν· ὅσοι οὖν σεπτοὶ ναοὶ καθιερώθησαν, ἐκτὸς ἁγίων λειψάνων μαρτύρων, ὁρίζεμεν ἐν αὐτοῖς κατάθεσιν γενέσθαι λειψάνων, μετὰ τῆς συνήθους εὐχῆς· ὁ δὲ ἄνευ ἁγίων λειψάνων καθιερῶν ναὸν, καθαιρείσθω, ὡς παραβεβηκὼς τὰς ἐκκλησιαστικὰς παραδόσεις.

Ὅτι μὴ ἔχων τίς τὰ πρὸς ἀπαρτισμὸν, μὴ ἐπιχειρείτω κτίζειν εὐκτήριον οἶκον.

ιζ Ὅτι τινὲς τῶν μοναχῶν καταλιπόντες τὰ ἑαυτῶν μονα-

στήρια, ὡς ἐφιέμενοι ἄρχειν καὶ τὸ ὑπακούειν ἀπαναινόμενοι, ἐγχειροῦσι κτίζειν εὐκτηρίους οἴκους, τὰ πρὸς ἀπαρτισμὸν μὴ ἔχοντες· εἴ τις οὖν τοῦτο ἐπιχειρήσοι ποιεῖν, κωλυέσθω ὑπὸ τοῦ κατὰ τὸν τόπον ἐπισκόπου· εἰ δὲ τὰ πρὸς ἀπαρτισμὸν ἔχει, τὰ βεβουλευμένα αὐτῷ εἰς πέρας ἀγέσθωσαν· τὸ αὐτὸ δὲ φυλαττέσθω καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν.

Ἐν τῷ ιδ΄ κεφαλαίῳ τοῦ γ΄ τίτ. τοῦ παρόντος συντάγματος, παρέγραψα πῶς γίνεται ἐκκλησία· λέγει δὲ καὶ διάτ. ιε΄ τοῦ β΄ τίτ. τοῦ α΄ βιβλ. τοῦ κώδ. ὡς ἐάν τις δωρήσηται πρᾶγμα κινητὸν ἢ ἀκίνητον ἢ αὐτοκίνητον ἢ δίκαιον εἰς πρόσωπον μάρτυρος, ἢ προφήτου, ἢ ἀγγέλου, ὡς αὐτοῦ μέλλων εὐκτήριον οἰκοδομῆσαι, καὶ τὴν δωρεὰν ἐμφανίσῃ ἐφ᾽ ὧν ἀναγκαῖον ἐστὶν, ἀναγκάζεται τὸ ἔργον κἂν μὴ ἤρχθη πληροῦν μετὰ κληρονόμων, καὶ πληρωθέντι δοῦναι τὰ τῆς δωρεᾶς· τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν ξενοδοχείων καὶ νοσοκομείων καὶ πτωχείων· ἀδείας οὔσης τοῖς ἐπισκόποις καὶ οἰκονόμοις ἐνάγειν αὐτοὺς· τούτων δὲ πληρουμένων, ἡ διοίκησις κατὰ τὰ δόξαντα τοῖς φιλοτιμησαμένοις καὶ τοὺς ἐπιτεθέντας ὅρους γίνεται, καὶ ἡ μέ διάτ. τοῦ γ΄ τίτ. τοῦ αὐτοῦ α΄ βιβλ. φησὶν, ὅτι ἐάν τις εὐσεβῆ ποιήσοιτο διατύπωσιν, ἐν ἐνστάσει ἢ λιγάτῳ, ἢ **fidei commisso mortis causa** δωρεᾷ, ἀνάγκην ἔχει ὁ κελευσθεὶς διὰ τοῦ ἐπισκόπου, κἂν ἐκωλύθη ὑπὸ τοῦ διαθεμένου προνοῆσαι, εἰ μὲν ἐκκλησίαν ἐπετράπη ποιῆσαι, πληροῦν αὐτὴν εἴσω τριετίας· εἰ δὲ ξενῶνα, εἴσω ἐνιαυτοῦ· δυνατὸν γὰρ καὶ οἶκον εἰς ἀνάκλισιν τῶν ἀῤῥώστων μισθοῦσθαι, ἕως οὗ τὸ ἔργον πληρωθῇ· τοῦ δὲ τοιούτου χρόνου παρερχομένου, ἀπαιτεῖ τὸ καταλειφθὲν ὁ ἐπίσκοπος μετὰ καρπῶν καὶ αὐξήσεων ἀπὸ τοῦ καιροῦ τῆς τοῦ διαθεμένου τελευτῆς, καὶ ποιεῖται τὰς οἰκοδομὰς τῶν ἐκκλησιῶν

καὶ τῶν ξενώνων, ἢ τῶν γηροκομείων, ἢ ὀρφανοτροφείων, ἢ νοσοκομείων, ἢ πτωχείων, καὶ προχειρίζεται τοὺς διοικητὰς αὐτῶν· εἴ γε μὴ ῥητῶς ὁ τελευτήσας εἶπε τὸν ὀφείλοντα διοικεῖν· εἰ καὶ ὠνόμασεν, ἄδειαν ὁ ἐπίσκοπος ἔχει κακῶς αὐτὸν διαγινόμενον, ἀποκινεῖν, καὶ ποιεῖν ἄλλον· εἰ δὲ ὁ κελευσθεὶς καὶ παρὰ τοῦ ἐπισκόπου ὀχληθεὶς, ἀρχικὴν ὑπόμνησιν ἀναμείνῃ, δίδωσι διπλοῦν τὸ καταλειφθὲν· ῥαθυμοῦντος δὲ τοῦ ἐπισκόπου, ἀναγκάζει πληρωθῆναι τὸ διατυπωθὲν ὁ μητροπολίτης, ἢ ὁ τῆς διοικήσεως ἐκείνης ἀρχιεπίσκοπος, καὶ πᾶς βουλόμενος τῶν πολιτῶν κινεῖ· εἰ δὲ μετὰ τὴν ἰδίαν τελευτὴν, οἱ κληρονόμοι ἐκελεύσθησαν δοῦναι ἢ ποιῆσαι, ὁ προδηλούμενος χρόνος μετὰ τὴν ἀποβίωσιν αὐτῶν ἀριθμεῖται, οἱ δὲ ἄρχοντες ἀναγκάζουσι ταῦτα πληροῦσθαι.

Ἡ γ' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν φησὶ, διὰ δημοσίων προσώπων δὶς ὀχλεύμενον τὸν κελευσθέντα παρὰ τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου, καὶ ὑπερθέμενον, ἐκπίπτειν παντὸς κέρδους· καὶ τὴν οὐσίαν πᾶσαν μετὰ τῶν ἐν μέσῳ ἐπαυξήσεων ὁ ἐπίσκοπος δαπανᾷ εἰς τὰ διατυπωθέντα, μὴ παρακρατουμένου φαλκιδίου· τὸ αὐτό ἐστι, κἂν προσάπαξ τί ληγατευθῇ· ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν φησὶν, εἴσω ἓξ μηνῶν μετὰ τὴν ἐμφάνειαν τῆς διαθήκης ἐξ ὑπερθέσεως, καρποὺς καὶ τόκους καὶ ἐπαυξήσεις ἀπὸ τελευτῆς τοῦ καταλιπόντος ἀπαιτεῖσθαι· ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τοῦ αὐτοῦ τῶν νεαρῶν συντάγματος φησὶν, εἴσω πενταετίας τὴν ἐκκλησίαν ὀφείλειν πληροῦσθαι· τοὺς δὲ ἄλλους εὐαγεῖς οἴκους, εἴσω ἐνιαυτοῦ· εἰ δὲ μὴ ἐντὸς τοῦ ἐνιαυτοῦ ποιήσουσιν οἱ κληρονόμοι, ἀναγκαζέσθωσαν εἴκον ἀγοράζειν ἢ μισθοῦσθαι, ἔνθα δύναται τὰ κελευσθέντα πληροῦσθαι· τὰ δὲ περὶ τῆς διοικήσεως ὁμοίως τῇ προλαβούσῃ διατυποῖ· λέγει

δὲ βιβλ. α' τῶν διγέστων τίτ. ν' βιβλ. ι' καὶ α'· ὅτι τὰ ἱερὰ θείου δικαίου εἰσὶ, καὶ ὑπ' οὐδενὸς δεσπόζονται· ἱερὸν δὲ πρᾶγμα ἐςὶ, τὸ ἀνιερωθὲν δημοσίᾳ· τὰ γὰρ ἰδιωτικὰ οὐκ εἰσὶν ἱερὰ, ἀλλὰ βέβηλα· εἰ δὲ καταπέσῃ τὸ οἰκοδόμημα, μένει ὁ τόπος ἱερὸς, ὡς βιβλ. δίγ. ς'· καθιεροῦνται δὲ καὶ ἐν πόλεσι καὶ ἐν χωρίοις· δημόσιος δὲ τόπος παρὰ κέλευσιν βασιλέως, οὐ γίνεται ἱερὸς, ὡς δίγεστον ἡ καὶ θ'· ἀδιατίμητον δὲ ἔστι τὸ ἱερὸν, ὡς δίγεστον ι'· καὶ ἰνστιτουτιώνων βιβλ. τίτ. α' φησὶν, ὅτι ἱερόν ἐστι, τὸ ὀρθῶς καὶ διὰ τοῦ ἱερέως τῷ θεῷ ἀνιερωμένον· ὡς εἰ ναοὶ καὶ τὰ σκεύη· καὶ τοῦ ναοῦ καταπεσόντος, μένει ὁ τόπος ἱερὸς· οὐκ ἔστι δὲ ἱερὸν, ὅπερ τις κατ' οἰκείαν αὐθεντίαν ὡς ἱερὸν ποιήσει· καὶ τίτ. ς'· ὅτι οὐ κτᾶται τίς τὰ ἱερὰ διὰ τῆς χρονίας νομῆς· οὔτε ἰσχυρῶς τις ἐπερωτᾷ λαβεῖν ἱερὸν, ἰνστιτουτιώνων ιγ' τίτ. ιε' καὶ τίτ. κγ'· ὅτι οὐδεὶς ἐν εἰδήσει ἀγοράζει ἱερὸν· εἰ δὲ ἀπατηθεὶς ἠγόρασεν ὡς ἰδιωτικὸν, κινεῖ ἐπὶ τῷ διαφέροντι· καὶ ἰνστιτουτιώνων ιδ' τίτ. ιε', ὅτι ἐπιβλέπουσι τὰ ἱερὰ καὶ παρασκευάζουσιν αὐτὰ φιλοκαλεῖσθαι· βιβλ. β' τίτ. ιδ', βιβλ. ις' ξ'· οὐ καλῶς τίς πακτεύει μὴ καθιεροῦν τὸν ἴδιον τόπον· βιβλ. ς' τίτ. α' δίγεστον κγ'· τὰ ἱερὰ ὡς ἡμέτερα ἐκδικεῖν οὐ δυνάμεθα· βιβλ. ή, τίτ. α', βιβλ. ις' ιδ'· ἱεροῦ τόπου παρεντιθεμένου, καὶ ἡ δι' αὐτοῦ πάροδος εἰς ἰδιωτικὸν ἐμποδίζεται, δουλεία γὰρ οὐ συνίσταται διὰ τοῦ τοιούτου τόπου· βιβλ.ια', τίτ. ζ', βιβλ. ις' λς'· τὰ ἱερὰ γινόμενα ὑπὸ τοὺς πολεμίους, παύονται εἶναι ἱερὰ· ὥσπερ ὁ ἐλεύθερος δουλωθεὶς· ἀπολυθέντα δὲ τῆς συμφορᾶς, ἀναλαμβάνουσι τὴν προτέραν κατάστασιν· καὶ βιβλ. ιζ', τίτ. β', βιβλ. ις' ξγ'· ὅτι ἐὰν ἀνιερωθῇ τὸ κοινὸν πρᾶγμα, λύεται ἡ ἐπ' αὐτῷ κοινωνία· βιβλ. ιή τίτ. α', βιβλ. ις' έ ς'

ξβ'· τοῦ ἱεροῦ πράγματος ἀγορασία συνίσταται, ἐὰν ἀγνοῇ ὁ ἀγοραστὴς ἱερὸν αὐτὸ εἶναι, καὶ ἔχει κατὰ τοῦ πράτου, εἰς ὅπερ αὐτῷ διέφερε μὴ ἀπατηθῆναι· εἰ δὲ γινώσκει ὁ ἀγοραστὴς, οὐ συνίσταται ἡ πράσις· βιβλ. ζ' σγ', τοῦ αὐτοῦ τίτ. τοῦ ἱεροῦ πεσόντος ὁ τόπος οὐ γίνεται βέβηλος· ὅθεν οὐδὲ πωλεῖται· βιβλ. κδ', τίτ. α' δίγεσον ις' ε'· καλῶς θωροῦμαι τῇ γαμετῇ μου τόπον ἐφ' ᾧ ποιῆσαι ναὸν ἐν αὐτῷ, καὶ γίνεται ὁ τόπος ἱερὸς· βιβλ. κζ', τίτ. ί, δίγ. ιβ'· ὁ τοῦ μαινομένου κυράτωρ οὐ δύναται πρᾶγμα αὐτοῦ καθιερεῦν· βιβλ. λ' δίγ. λθ'· ὁ ἱερὸν ληγατεύων, μαίνεσθαι δοκεῖ, καὶ οὔτε τὸ τίμημα δίδοται, ἐπειδὴ οὐδὲ ὅλως πωλεῖται· βιβλ. λθ' τίτ. α' δίγ. α'· ἡ περὶ τῆς καινοτομίας παραγγελία, χώραν ἔχει, ἵνα μὴ γένηται παρὰ τὸν νόμον ἔργον ἐν ἱερῷ τόπῳ· τίτ. γ' βιβλ. ις' ιζ'· ἱεροῦ τόπου παρεντιθεμένου, δουλεία οὐ συνίσταται· βιβλ. μά', τίτ. β', βιβλ. ις' λά'· παυόμεθα νέμεσθαι τόπον, γινομένου αὐτοῦ ἱεροῦ, κἂν μὴ ὡς τοιοῦτον ἀλλ' ὡς ἰδιωτικὸν αὐτὸν ἔχωμεν· τίτ. γ' βιβλ. ις' θ'· τὰ ἱερὰ οὐ κτώμεθα διὰ τῆς χρονίας νομῆς· βιβλ. μγ' τίτ. α' βιβλ. ις' α' β'· οὐ δεῖ γίνεσθαί τι κατὰ ἱεροῦ τόπου, καὶ γενόμενον ἀποκαθίσταται· τίτ. ς' τοῦ αὐτοῦ βιβλίου, βιβλ. ις' α'· οὐκ ἔξεστί τι ποιεῖν ἢ ἐμβάλλειν ἱερῷ τόπῳ, ὅπερ ἀμορφίαν καὶ οὐ κόσμον αὐτῷ φέρει· τοῦτο δὲ πρὸς τὰ ἱερὰ οὐκ ἀνήκει τὰ ἰδιωτικά· ἡ δὲ φυλακὴ τῶν ἱερῶν τοῖς προεστῶσιν αὐτῶν ἐπιτέτραπται· τίτ. η' βιβλ. ις' β'· οὐκ ἔξεστι κατὰ τόπου ἱεροῦ κτίζειν, ἀλλὰ καὶ τὸ κτισθὲν καταλύεται· βιβλ. μδ' τίτ. ς' βιβλ. ις' γ'· οὐκ ἔξεστι τὸ ἐπίδικον τῷ θεῷ καθιεροῦν· καὶ ὁ τοῦτο ποιήσας, δίδωσι τὸ διπλοῦν τῷ ἀντιδίκῳ αὐτοῦ, ὑπὲρ ὧν δυνατωτέρῳ αὐτοῦ ἀντιδίκῳ παρεδόθη· βιβλ. με' τίτ. α' βιβλ. ις' λη'· καλῶς

ἐπερωτῶ σε κτίσαι ἱερὸν· καὶ ἡ ἐπὶ τῷ τοιούτῳ γὰρ μίσθωσις ἔῤῥωται· βιβλ. ις' πγ'· οὐ δυνατὸν ἱερὸν ἐπερωτᾶν, κἂν εἰ δύναται γενέσθαι ἰδιωτικὸν· εἰ γὰρ καὶ ἰδιωτικὸν ἐπερωτηθῶ τόπον, καὶ συμβῇ αὐτὸν χωρὶς δόλου μου καθιερωθῆναι ἐλευθεροῦμαι· καὶ εἰ συμβῇ ἔκ τινος νόμου γενέσθαι ἰδιωτικὸν τὸν τόπον, οὐκ ἐνέχομαι· οὐ δύναμαι δὲ ἱερὸν ἐπερωτᾶν ὑπὸ αἵρεσιν τὴν ὅταν ἰδιωτικὸν γένηται· ἐκεῖνα γὰρ ἐπερωτᾶν δυνάμεθα, ὅσα κατὰ τὸν καιρὸν τῆς ἐπερωτήσεως, τῆς χρήσεως καὶ τῆς δεσποτείας ἡμῶν εἶναι δύναται· βιβλ. ις' ψά· ἐὰν τὸ ἐπερωτηθὲν πρᾶγμα ἔστι μὲν ἐν φύσει, οὐ δύναται δὲ δοθῆναι διὰ τὸ τυχὸν αὐτὸ γενέσθαι ἱερὸν, εἰ μὲν ἐν καιρῷ τῆς ἐπερωτήσεως, ἢ μετὰ ταῦτα, τοῦ ἐπερωτηθέντος ἦν, καὶ οὕτως γέγονεν ἱερὸν, ἐνέχεται· ὥσπερ καὶ ὅτε δι' ἑτέρου πωλήσαντος, αὐτὸ γέγονεν ἱερὸν· εἰ δὲ τοῦ πράγματος ὄντος ἀλλοτρίου, συμβῇ δι' ἑτέρου αὐτὸ ἱερὸν γενέσθαι, οὐκ ἐνέχεται ὁ ἐπερωτηθεὶς, εἰ μὴ μετὰ τὸ ποιῆσαι αὐτὸν ὑπέρθεσιν, γεγόνε τὸ πρᾶγμα ἱερὸν· βιβλ. ις' ρλζ'· ἀνισχύρως ἐπερωτῶ ὑπὸ αἵρεσιν ὑπὸ τοῦ νόμου κεκωλυμένην· οἷον δίδως ἐάν τις πωλήσῃ τὸ ἱερὸν, εἰ καὶ μὴ δυνατόν ἐστιν ὕστερον ἐναλλαγῆναι τὸ δίκαιον αὐτοῦ· βιβλ. μζ' τίτ. κβ' βιβλ. ις' β'· οἱ σὺν ὅπλοις κατέχοντες τόπον ἱερὸν, ὑπόκεινται ποινῇ· κινεῖται γὰρ κατ' αὐτῶν ὁ περὶ καθοσιώσεως, ὡς βιβλ. μή τίτ. ιδ' βιβλ. ις' α' βιβλ. ν' τίτ. ις' βιβλ. ις' ιζ'· τὰ ἱερὰ οὐκ εἰσὶ δημόσια· βιβλ. λγ' τίτ. α' ψί καὶ κ', ἐὰν ληγαστεύσω τοῖς ἱερφύλαξι δέκα νομίσματα δίδοσθαι τῷ καιρῷ τῆς ἑορτῆς, αὐτῷ τῷ ἱερῷ δοκῶ διηνεκῶς τὰ ί καταλιπεῖν ἐτήσια· βιβλ. λδ' τίτ. α' ψις' ιζ'· ἐὰν ἀφορίσας δούλους μου εἰς παραφυλακὴν τοῦ παρ' ἐμοῦ κτιζομένου ἱεροῦ, ληγατεύσω αὐτοῖς ἐτήσια πρὸς ἀποτροφὴν,

καὶ βεστιάριον λαμβάνουσιν ἀπὸ τελευτῆς μου μέχρις οὗ πληρωθῇ ὁ ναὸς, δοῦλοι δὲ μένουσι τοῦ κληρονόμου, οὓς ὁ διαθέμενος εἰς περιφυλακὴν τοῦ αὐτοῦ κτισθέντος ἱεροῦ ἀφώρισεν, εἰ μὴ αὐτοὺς ἠλευθέρωσεν, ὡς βιβλ. μ΄ τίτ. ιβ΄ δίγ. λέ βιβλ. κδ΄ τίτ. α΄ δίγ. ε΄· καλῶς δωροῦμαι τῇ γαμετῇ μου πρᾶγμα, ἐφ᾽ ᾧ τῷ θεῷ προσαγαγεῖν αὐτὸ· βιβλ. λδ΄ τίτ. β΄ δίγ. λζ΄· ἐὰν εἴπω γενέσθαι σταυροὺς ἀπὸ ἑκατὸν λιτρῶν, καὶ ἀνατεθῆναι ἐν τῷδε τῷ ἱερῷ, πάντες δὲ οἱ ἐν τῷ αὐτῷ ἱερῷ ὄντες, ἀργυροῖ καὶ χαλκοῖ εἰσὶν, ἀργυροῦς ὁ κληρονόμος ἀναγκάζεται ποιεῖν· βιβλ. λέ τίτ. β΄ δίγ. α΄, καὶ ἐπὶ τοῖς τῷ θεῷ ληγατευομένοις χώρα τῷ φαλκιδίῳ· βιβλ. ν΄ τίτ. ιβ΄ δίγ. β΄· ἐάν τις πρᾶγμα καρποφορήσῃ, γίνεται αὐτὸς ἔνοχος, οὐ μὴν τὸ πρᾶγμα· ὅτε δὲ τὸ πρᾶγμα καταβληθῇ, αὐτὸ μὲν ἱερὸν οὐ γίνεται, ἐλευθεροῦται δὲ ὁ ἐπαγγειλάμενος· ἐκ δὲ τῆς τοιαύτης ἐπαγγελίας, ἐνέχονται αὐτεξούσιοι ἔφηβοι, οὐ μὴν ὑπεξούσιοι παρὰ γνώμην τῶν πατέρων ἢ τῶν δεσποτῶν· εἰ δέ τις τὸ δέκατον μέρος καρποφορήσει τῶν αὐτοῦ πραγμάτων, ἕως ἂν αὐτὸ χωρίσῃ, οὐ παύεται εἶναι τῆς οὐσίας αὐτοῦ· εἰ δὲ τελευτήσει μὴ χωρίσας, ἐνέχονται οἱ κληρονόμοι· διαβαίνει γὰρ εἰς κληρονόμους ἡ τῆς καρποφορίας ἐνοχὴ· βιβλ. α΄ τοῦ κώδ. τίτ. β΄ διάτ. α΄· ἔξεσι τῷ βουλομένῳ καταλιμπάνειν ἐν τελευταίᾳ βουλήσει· τῆς ἁγίας ἐκκλησίας γὰρ εἶναι δεῖ τὰς τῶν τελευτώντων βουλήσεις· διάτ. ιγ΄· ἐρρωμένη διαθήκη ἢ κωδικέλλῳ ἢ ἀγράφῳ βουλήσει, ἔξεσι ταῖς χήραις καὶ ταῖς διακονίσσαις, καὶ ταῖς ἄλλαις ἱεραῖς καταλιμπάνειν ἐκκλησίαις· καὶ κληρικῷ καὶ μοναχῷ καὶ πτωχῷ ἐν ἐνςάσει καὶ ὑποκατασάσει, καὶ ληγάτοις καὶ φειδικομμίσσοις ἰδικοῖς καὶ καθ᾽ ὁμάδα· διάτ. ιϑ΄· αἱ γινόμεναι μέχρι φ΄ ΙΙ (1)

(1) Scilicet *quingenti solidi*, ut loco citato codicis lib. I. tit. II. 19.

ἀνεμφάνιστοι δωρεαὶ εἰς ἐκκλησίαν, ἢ ξενοδοχεῖον, ἢ νοσοκομεῖον, ἢ ὀρφανοτροφεῖον, ἢ πτωχεῖον, ἐῤῥωνται· αἱ δὲ λοιπαὶ, κἂν εἰς εὐσεβεῖς αἰτίας γένωνται, χρήζουσιν ἐμφανείας· καὶ αἱ λεχθεῖσαι ὑπὲρ τὰ φ΄ ΙΙ σῶσαι, ἐξηρημένων τῶν βασιλικῶν δωρεῶν· διάτ. κβ΄.

Τὰ εἰς εὐαγεῖς οἴκους ἀπὸ βουλευτικῆς φιλοτιμίας ἐρχόμενα, οὐχ ὑπόκεινται τῇ τῶν ἐπικερδῶν διαγραφῇ· διάτ. κγ΄. Ἐάν τι δωρηθῇ, ἢ κληρονομίᾳ, ἢ ληγάτον εὐαγεῖ τόπῳ καταλειφθῇ, εἰς ἀνάῤῥυσιν αἰχμαλώτων, κινητὸν ἢ ἀκίνητον, ἁρμόζουσιν **personalia** καὶ **in rem** καὶ ὑποθηκαρίαι·, καὶ μόνῃ τῇ τῶν ἑκατὸν ἐνιαυτῶν ἐκβάλλονται παραγραφῇ· οὗτος γὰρ ὁ χρόνος ἐστὶ τοῦ μακροβίου ἀνθρώπου· διάτ. κε΄. Ἐάν τις γράψῃ κληρονόμον τὸν δεσπότην Χριστὸν, μὴ προσθεὶς εὐκτηρίου προσηγορίαν, ἢ ἐκκλησίαν τοῦ τόπου, καθ' ὃν ἦν καὶ ὁ τελευτήσας, δοκεῖ γεγράφθαι· τὸ αὐτὸ καὶ ἐπὶ ληγάτου· καὶ προχωρεῖ εἰς ἀποτροφὴν πτωχῶν· εἰ δέ τινι τῶν ἁγίων ἀγγέλων ἢ μαρτύρων καταλίποι, μὴ μνημονεύσας οἴκου, εἰ μὲν ἔστιν ἐν ἐκείνῃ τῇ πόλει, ἢ τῇ ἐνορίᾳ αὐτῆς τοιοῦτος οἶκος, αὐτὸς λαμβάνει· εἰ δὲ μὴ ἔστιν, ὁ ἐν τῇ μητροπόλει λαμβάνει· εἰ δὲ μήτε ἐκεῖ τοιοῦτός ἐστιν οἶκος, αἱ κατὰ τὸν τόπον ἐκκλησίαι λαμβάνουσιν αὐτὸ, τῶν ἄλλων οἴκων παραχωρούντων αὐταῖς, εἴ γε μὴ δειχθῇ ὁ τελευτήσας, ἕτερον ἐνθυμηθεὶς, καὶ ἕτερον εἰπών· τότε γὰρ τὸ ἀληθὲς καὶ οὐ τὸ γεγραμμένον κρατεῖ· εἰ δὲ τόπον εἴποι ῥητὸν, εὑρεθῶσι δὲ πολλοὶ τοῦ αὐτοῦ ὀνόματος ἐν τῇ πόλει ἢ

(*) Sic ponendi erant tituli a p. 105. et deinceps. Quin adeo p. 105. sub titulo graeco ponendus erat latinus sic: TITULUS II. DE EXSTRUCTIONE ECCLESIARUM, ET DE SACRIS VASIS ATQUE DONARIIS, ET DE CLERICIS PRAETER SENTENTIAM EPISCOPI ALTARIA ERIGENTIBUS.

τῇ περικεκίδι, εἰ μὲν πρός τινα τούτων εἶχε μείζονα προσπάθειαν, ἢ συνεχῶς ἐκεῖσε ἐφοίτα, αὐτῷ δοκεῖ καταλελεῖφθαι· τοιούτου δέ τινος μὴ εὑρισκομένου, ὁ μᾶλλον ἐκ τῶν τοιούτων οἴκων ἐνδεὴς λαμβάνει τὸ καταλειφθέν.

Καὶ τίτ. γ' τοῦ αὐτοῦ βιβλ. διάτ. κδ' φησὶν ἐρρῶσθαι τὸ τοῖς πτωχοῖς καταλιμπανόμενον· διάτ. κη' τοῦ αὐτοῦ τίτλου. Ἐρρῶται τὸ καταλιμπανόμενον εἰς ἀναρρύσιν αἰχμαλώτων· καὶ εἰ μὲν εἶπεν ὁ διαθέμενος τὸν ὀφείλοντα ὑπουργῆσαι τῷ πράγματι, αὐτὸς ἀπαιτεῖ, καὶ κατὰ τὴν οἰκείαν συνείδησιν πληροῖ τὴν διατύπωσιν· εἰ δὲ μὴ εἶπε τὸ πρόσωπον, ὁ τῆς πόλεως ἐπίσκοπος, ἐν ᾗ ὁ διαθέμενος ἐτέχθη, λαμβάνει τὸ καταλειφθὲν φανερὸν ἐπὶ πράξεως δῶρον παρὰ τῷ ἄρχοντι συνιζαμένης τὸ ποσὸν τῶν δοθέντων αὐτῷ χρημάτων, καὶ μετ' ἐνιαυτὸν τὸν ἀριθμὸν τῶν ἀναρρυσθέντων, καὶ τῶν ὑπὲρ αὐτῶν δοθέντων· εἰ δὲ βάρβαρος ἦν ὁ διαθέμενος, καὶ περὶ τῆς αὐτοῦ πόλεως ἀμφιβάλλεται, ὁ ἐπίσκοπος τοῦ τόπου, καθ' ὃν ἐτελεύτησε, λαμβάνει τὰ χρήματα καὶ πληροῖ τὸ διατυπωθέν· ὁ δὲ γινώσκων τὸ καταλειφθὲν, καλῶς ποιεῖ λέγων τῷ ἄρχοντι καὶ τῷ ἐπισκόπῳ, καὶ οὐκ ἔστι δηλάτωρ· ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν, εἶπε τὸν ἐπίσκοπον τῆς πόλεως, ἐν ᾗ τὴν οἴκησιν εἶχεν ὁ διαθέμενος, λαμβάνειν τὰ χρήματα, καὶ πιεῖν τὰ διατυπωθέντα· διάτ. μέ. Ἐὰν ἐτήσιον διηνεκὲς ληγατευθῇ, ἢ δωρηθῇ τόποις εὐαγέσιν, ἢ κλήρῳ, ἢ μοναχοῖς, ἢ μοναστρίαις, ἢ πτωχοῖς, καὶ ἁπλῶς εὐαγέσιν, ἢ οὐκ ἀπηγορευμένοις συστήμασιν, οὐκ ἔξεστιν ἐπ' αὐτῷ διαλύεσθαι, εἰ μὴ δοθῇ πρόσοδος εὐθαλὴς μηδὲ βεβαρημένη δημοσίοις, καὶ προσθήκην οὐχ ἧττον τοῦ τετάρτου τῆς καθαρᾶς προσόδου μέρους ἔχουσα, μηδέποτε ἐκπεσθησομένη· δεῖ δὲ καὶ συν-

θήκας καὶ διαλύσεις ἐγγράφους ἐπὶ τούτῳ γίνεσθαι, καὶ ἐν ὑπομνήμασιν ἐμφανίζεσθαι· εἰ δὲ παρὰ ταῦτα ἐκπίπτει τοῦ δοθέντος χρυσίου ὁ διαλυσάμενος, καὶ ἐκδικεῖ τὸ πρᾶγμα ὁ εὐαγὴς οἶκος, ἔχων εἰς ὑποθήκην τὰ πράγματα τοῦ καταλιπόντος, καὶ ἐπὶ καρποῖς καὶ προσόδοις καὶ πάσῃ νομίμῳ ἐπαυξήσει, καὶ οὐκ ἀντίκειται τῇ ἀγωγῇ χρονία παραγραφή· κατ' ἐνιαυτὸν γὰρ τίκτεται· τῷ μέν τοι δεδωκότι τὸ χρυσίον, ὑπόκειται ὁ συλλαβὼν αὐτὸ μετὰ κληρονόμων, καὶ οἴκοθεν αὐτὸ δίδωσιν, ὡς ἡ νε διάτ. τοῦ αὐτοῦ τίτ.

Ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν, ἐπὶ τοῦ τοιούτου ληγάτου φησὶν, ὅτι εἰ μὲν οἱ λαμβάνειν καὶ οἱ διδόναι κελευσθέντες, ἢ ὁ τόπος ἐξ οὗ ἐτυπώθη δίδοσθαι, ἐν τῇ αὐτῇ ἢ τῇ γείτονι ἐπαρχίᾳ εἶησαν, μηδενὶ τρόπῳ τὸ ληγάτον ἐκποιεῖσθαι· εἰ δὲ πορρώτερω ὦσιν, ἔξεστιν ἑκατέρου μέρους συναινοῦντος, πλησίον ὑπὲρ αὐτοῦ λαμβάνειν πρόσοδον εὔπορον, καὶ μετὰ προσθήκης τοῦ τετάρτου τῆς καταλειφθείσης ποσότητος μὴ βεβαρημένης πολλοῖς τελέσμασιν· εἰ δὲ πωλῆσαι τὸ ληγάτον βούλοιντο, μὴ λαμβανέτωσαν ἧττονα τιμὴν τοῦ συναγομένου ἐπὶ λέ ἐνιαυτοὺς, ἀπὸ τοῦ ληγάτου· ὥστε μέν τοι τὸ τίμημα εἰς τὸ συμφέρον τοῦ σεβασμίου οἴκου ᾧ κατελείφθη προχωρήσαι.

Ἡ δὲ μή διάτ. τοῦ γ' τίτ. τοῦ α' βιβλ. φησὶν, ὅτι ἐῤῥωμένως τις γράφει τοὺς αἰχμαλώτους κληρονόμους, καὶ λαμβάνει τὴν κληρονομίαν ὁ ἐπίσκοπος, καὶ ὁ τῆς πόλεως οἰκονόμος ἐν ᾗ τὴν οἴκησιν εἶχε, καὶ δαπανῶσιν εἰς ἀνάῤῥυσιν αἰχμαλώτων, ἢ τὰς τιμὰς τῶν πραγμάτων, ἢ τὰς προσόδους τῶν ἀκινήτων, μὴ παρακρατοῦντες φαλκίδιον· καὶ ἐνάγονται ἐπὶ τοῖς χρέεσι· καὶ τοὺς πτωχούς τις καλῶς γράφει κληρονόμους, καὶ ἐὰν μὴ προσδιορίσῃ ποίους, ὁ ξενοδόχος

τῆς αὐτῆς πόλεως λαμβάνει τὰ πράγματα, καὶ ἐκ τῆς διαπράσεως αὐτῶν ἀγοράζει πρόσοδον· εἰ δὲ πολλοὶ ξενῶνες εἰσὶν ἐν τῇ πόλει, ὁ ἀπορώτερος αὐτὰ λαμβάνει, τὰ περὶ τούτου δοκιμάζοντος τοῦ ἐπισκόπου καὶ τῶν ὑπ' αὐτὸν κληρικῶν· εἰ δὲ μὴ ἔχει ξενῶνα ἡ πόλις, διανέμονται τὰ πράγματα ὑπὸ τοῦ ἐπισκόπου ἢ τοῦ οἰκονόμου εἰς τοὺς πτωχοὺς ἢ ἄλλως ἐνδεεῖς, μὴ παρακρατουμένου φαλκιδίου· εἰ δὲ πρόδηλον ἢ ἄδηλον ὄνομα ἐκκλησίας ἢ εὐαγοῦς οἴκου ἀπιδὼν κατέλιπεν, αὐτὸς μόνος λαμβάνει, μὴ ὑφιστάμενος φαλκίδιον· ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν λέγει, ὅτι τοῖς πένησι διὰ τοῦ ἐπισκόπου διανέμονται.

Καὶ ἡ νβ' διάτ. τοῦ β' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι ἐάν τις βαρηθῇ ἀποκαταξάσει ἢ ὑποκαταξάσει ἐξ ἀπαιδίας, καὶ μὴ βουληθῇ γαμῆσαι δι' ἄσκησιν, μένει ἔχων τὰ πράγματα, καὶ δαπανᾷ ταῦτα περιὼν, ἢ καταλιμπάνει ὡς θέλει, εὐσεβῶς μέν τοι· εἰ δὲ καὶ ὑπὸ αἵρεσιν παιδοποιΐας καταλειφθῇ αὐτοῖς, ἔχουσιν αὐτὸ καὶ μὴ παιδοποιοῦντες· τὸ αὐτὸ καὶ ἐπὶ παρθενευούσαις καὶ ἐπὶ τοῖς γαμεῖν κωλυομένοις κληρικοῖς· ἡ δὲ β' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν λέγει, ὅτι ὁ βεβαρημένος ληγάτῳ ἢ ἀποκαταξάσει, ὑπὸ αἵρεσιν γάμου ἢ ἀπαιδίας, ἢ ἐὰν οὕτω δωρηθῇ ἢ ἐαθῇ τινὶ, καὶ γένηται κληρικὸς, ἢ μοναχὸς, ἢ διακόνισσα, ἢ ἀσκήτρια, σβέννυται ἡ ἀποκατάστασις· ἀλλ' ἐπὶ μὲν τῶν κληρικῶν καὶ διακονισσῶν τῶν ἐκκλησιῶν, ὅτε μέχρι τῆς ἰδίας ζωῆς τοῖς τοιούτοις ἐπιμένοιεν, καὶ τὰ ὑπὸ τοιαύτην αἵρεσιν δωρηθέντα ἢ καταλειφθέντα, εὐσεβῶς δαπανήσουσιν ἢ καταλίπουσιν· οἱ γὰρ μοναχοὶ καὶ ἀσκήτριαι, κἂν τῶν μοναστηρίων αὐτῶν ἐξέλθωσιν, ὅμως τὰ τοιαῦτα πράγματα μετὰ τῶν ἄλλων πραγμάτων τοῖς μοναστηρίοις διαφέρει· εἰ δὲ ἐπὶ ἀναῤῥύσει αἰχμαλώτων, ἢ

πτωχῶν ἀποτροφῇ ὑπὸ τὰς εἰρημένας αἱρέσεις ἡ ὑποκατάσασις γένηται, ἐξ οὐδενὸς τῶν εἰρημένων ἀποκλείεται τρόπων.

Λέγει δὲ καὶ ἡ α΄ καὶ μόνη διάτ. τοῦ μή τίτ. τοῦ ς΄ βιβλ. τοῦ κώδ. ὅτι ἔῤῥωται τὸ καταλιμπανόμενον θεμιτῷ συστήματι, ἢ σωματείῳ, οἷον συγκλητικῆς, ἢ βουλῇ, ἢ τάξει ἄρχοντος, ἢ ἰατροῖς, ἢ διδασκάλοις, ἢ συνηγόροις, ἢ ῥητιώταις, ἢ ὁμοτέχνοις, ἢ ἱερεῦσιν, ἢ ἑτέρῳ τινὶ· καὶ μερίζονται κατὰ πρόσωπον ἐξ ἴσου οἱ ἐν τῷ καιρῷ τῆς τελευτῆς ἐν τῷ καταλόγῳ εὑρισκόμενοι, εἰ μὴ ῥητὸν ποσὸν ὁ διαθέμενος ἑκάστῳ ὁρίσει· καὶ ἐν τῷ τέλει τῆς αὐτῆς διάτ. ὅτι ἐὰν προσάπαξ ἢ ἐτήσιον καταλειφθῇ εὐσεβῶς, ἢ ἐκκλησίαις, ἢ ξενῶσιν, ἢ πτωχείοις, ἢ εὐαγέσιν οἴκοις, ἢ κοινῷ κλήρῳ, ἢ εἰς αἰχμαλώτων λύσιν, ἢ αὐτοῖς τοῖς πτωχοῖς ἢ τοῖς αἰχμαλώτοις κρατεῖ ἡ τοῦ τελευτήσαντος βούλησις.

Ἱνστιτουτιώνων γ΄ τίτ. κζ΄, ἔστιν ὅτε τὸ κατὰ πλάνην ἐνδέβιτον διδόμενον, οὐ ῥεπετιτεύεται, ὡς ἐπὶ τῶν ληγατευομένων εὐαγέσιν οἴκοις σκοπῷ θρησκείας ἢ εὐσεβείας· ἱνστιτουτιώνων δ΄ τίτ. ις΄ τὸ ληγατευόμενον εὐαγέσι τόποις ἐξ ἀρνήσεως διπλασιάζεται· φησὶ δὲ καὶ ἡ β΄ διάτ. τοῦ β΄ τίτ. τῶν νεαρῶν, ὡς ἐάν τινες οἱῳδήποτε καθεχῶτι ἄπορον κτῆσιν δωρήσωνται, ἢ πωλήσωσιν, ἢ ἑτέρῳ τρόπῳ παράσχωσιν, ἢ καταλίπωσι, μὴ βλάπτεσθαι τὸν σεβάσμιον οἶκον, ἢ δημοσίῳ ὀνόματι, ἢ ἄλλης οἱασοῦν χάριν αἰτίας βαρύνεσθαι· ἀλλὰ ἅπαν τοιοῦτον βάρος, εἰς τοὺς δεδωκότας καὶ τοὺς αὐτῶν κληρονόμους ἐπανιέναι, ἀναγκαζομένους καὶ τὰς δοθείσας κτήσεις ἀναλαβεῖν, καὶ πᾶσαν ζημίαν προσγινομένην τῷ εὐαγεῖ οἴκῳ ἀποκαθιςᾷν· εἰ δὲ ὡς εἰκὸς κατά τινα δόλον, καί τινα ὑπὲρ τῶν τοιούτων ἀπόρων ἐδόθη τοῖς εὐαγέσιν οἴκοις, τὰ μὲν δοθέντα τὸν σεβάσμιον οἶκον ἀποκερ-

δαίνειν· τὰ δὲ ἄπορα πράγματα τῷ δεδωκότι καὶ τοῖς αὐτοῦ κληρονόμοις ἀποκαθίστασθαι· ἡ δὲ α΄ διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι ὁ τοιοῦτον τί πράξας οἰκονόμος, ἢ ἡγούμενος, ἢ ξενοδόχος, ἢ νοσοκόμος, ἢ πτωχοτρόφος, ἢ ὀρφανοτρόφος, ἢ γεροντοκόμος, οἴκοθεν τῷ δεδωκότι θεραπεύσει τὴν ἐντεῦθεν αὐτῷ συμβᾶσαν ζημίαν.

ΚΕΦ. Β.

Περὶ ἱερῶν σκευῶν καὶ ἀναθημάτων.

Ἀποστόλων κανὼν ογ΄.

ογ΄ Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν, ἢ ὀθόνην, μηδεὶς ἔτι εἰς οἰκείαν χρῆσιν σφετεριζέσθω· παράνομον γάρ· εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ.

Συνόδου α΄ καὶ β΄ συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων, κανὼν α΄ καὶ ι΄.

α΄ Πρᾶγμα σεμνὸν οὕτω καὶ τίμιον, καὶ τοῖς μακαρίοις καὶ ὁσίοις πατράσιν ἡμῶν πάλαι καλῶς ἐπινοηθὲν, ἡ τῶν μοναστηρίων ἀνεικοδομὴ, κακῶς ὁρᾶται πραττόμενον σήμερον· τινὲς γὰρ ὄνομα μοναστηρίου ταῖς οἰκείαις περιουσίαις καὶ ὑπάρξεσι περιθέμενοι, καὶ θεῷ καθαγιάζειν ταύτας ἐπαγγελλόμενοι, χωρίσας τὲ τῶν ἀφιερωθέντων ἑαυτοὺς ἀναγράφουσι, καὶ μόνῃ τῇ προσηγορίᾳ τὸ θεῖον ἀφοσιοῦν ἐκμηχανᾶσθαι διεγνώκασι· τὴν γὰρ αὐτὴν ἐξουσίαν, καὶ μετὰ τὴν ἀφιέρωσιν οὐκ ἐρυθριῶσι σφετερίζεσθαι, ἣν περ ἔχειν οὐκ ἐκωλύοντο πρότερον· καὶ τοσαύτη καπηλεία προσετρίβη τῷ πράγματι, ὥστε πολλὰ τῶν ἀφιερωθέντων, παρ' αὐτῶν γε τῶν ἀφιερωσάντων καθοδρᾶται πιπρασκόμενα, θάμβος ὁμοῦ καὶ μῖσος τοῖς ὁρῶσιν παρεχόμενα· καὶ οὐ μόνον οὐκ ἔστιν αὐτοῖς μεταμέλεια, ἐφ' οἷς τῶν ἅπαξ ἀνατεθειμένων θεῷ τὴν

ἐξουσίαν ἑαυτοῖς ἐπιτρέπουσιν, ἀλλὰ καὶ ἑτέροις ταύτην ἀδεῶς παραπέμπουσιν· ὥρισεν οὖν διὰ ταῦτα ἡ ἁγία σύνοδος, μηδενὶ ἐξεῖναι μοναστήριον οἰκοδομεῖν, ἄνευ τῆς τοῦ ἐπισκόπου γνώμης καὶ βουλῆς· ἐκείνου δὲ συνειδότος καὶ ἐπιτρέποντος, καὶ τὴν ὀφειλομένην ἐπιτελοῦντος εὐχὴν ὡς τοῖς πάλαι θεοφιλῶς νενομοθέτηται, οἰκοδομεῖσθαι μὲν τὸ μοναστήριον· μετὰ ποντων δὲ τῶν αὐτῷ προσηκόντων σὺν αὐτῷ ἐκείνῳ βρεβίῳ ἐγκαταγράφεσθαι, καὶ τοῖς ἐπισκοπικοῖς ἀρχείοις ἐναποτίθεσθαι· μηδαμῶς ἄθειαν ἔχοντος τοῦ ἀφιεροῦντος, παρὰ γνώμην τοῦ ἐπισκόπου, ἑαυτὸν ἡγούμενον ἢ ἀνθ' ἑαυτοῦ ἕτερον καθιζᾶν· εἰ γὰρ ἅπερ τίς ἀνθρώπῳ χαρίζεται, τούτων οὐκέτι κύριος εἶναι δύναται, πῶς ἅπερ τίς θεῷ καθαγιάζει καὶ ἀνατίθησι, τούτων ὑφαρπάζειν τὴν κυριότητα παραχωρηθήσεται;

Οἱ τοῖς πάθεσιν ἑαυτοὺς ἐκδότους παραστήσαντες, οὐ μόνον τὴν ἀπὸ τῶν ἱερῶν κανόνων τιμωρίαν οὐ φρίττουσιν, ἀλλὰ καὶ αὐτῶν ἐκείνων κατορχεῖσθαι τετολμήκασι· στρεβλοῦσι γὰρ αὐτοὺς, καὶ πρὸς τὸ ἐμπαθὲς αὐτῶν ἀποκιβδηλεύουσι τοῦ θελήματος, ἵνα τῇ φιλοτιμίᾳ τῆς ἐμπαθείας, κατὰ τὸν θεολόγον Γρηγόριον, μὴ μόνον ἀνεύθυνον αὐτοῖς ἢ τὸ κακὸν, ἀλλὰ καὶ θεῖον νομίζοιτο· τὸν γὰρ ἀποστολικὸν κανόνα τὸν λέγοντα, σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν, ἢ ὀθόνην, μηδεὶς ἔτι εἰς οἰκείαν χρείαν σφετερίζέσθω, παράνομον γὰρ, εἰ δέ τις φωραθείη ἐπιτιμάσθω ἀφορισμῷ· τοῦτον οὖν εἰς συνηγορίαν τῶν οἰκείων παρανομημάτων ἐκλαμβάνοντες, οὐ φασὶ δεῖν καθαιρέσεως ἀξίους κρίνεσθαι τοὺς τὴν σεβασμίαν τῆς ἁγίας τραπέζης ἐνδυτὴν, εἰς οἰκεῖον χιτῶνα ἢ εἰς ἑτερόν τι τῶν ἀμφίων μετασχηματίζοντας· οὐ μὴν ἀλλ' οὐδὲ τοὺς τὸ ἅγιον ποτήριον, ὦ τῆς ἀσεβείας, ἢ

τὸν σεπτὸν δίσκον, ἢ τὰ τούτοις παραπλήσια, εἰς ἰδίαν ἐκδαπανῶντας χρείαν, ἢ καταχραίνοντας· ὁ γὰρ κανὼν φησὶ τοὺς εἰς τοῦτο περιπίπτοντας, ἀφορισμῷ καθυποβάλλειν, ἀλλ' οὐ καθαιρέσει ἐδικαίωσεν· ἀλλὰ τίς ἂν ἀνάσχοιτο τῆς τοσαύτης περιποιήσεως καὶ δυσσεβείας τὸ μέγεθος; τοῦ γὰρ κανόνος τοῖς τὸ μόνον ἁγιασθὲν, εἰς χρῆσιν ἀλλ' οὐκ εἰς τελείαν ἁρπαγὴν σφετεριζομένοις, τὸν ἀφορισμὸν ἐπιπέμποντος, αὐτοὶ καὶ τοὺς καθαρπάζοντας καὶ ἱεροσυλοῦντας τὰ τῶν ἁγίων ἅγια, ἐλευθεροῦσι τῆς καθαιρέσεως· καὶ τοὺς εἰς βρωμάτων ὑπηρεσίαν, ὅσον γε τῇ ἐφ' ἑαυτοῖς κρίσει, τοὺς σεβασμίους δίσκους ἢ τὰ ἱερὰ ποτήρια καταμολύνοντας ἢ καταλύοντας, ἀναθαιρέτους εἰσάγουσι, καί τοι φανεροῦ καθεστηκότος τοῦ μιάσματος· καὶ δῆλον ὡς οἱ τὰ τοιαῦτα πράσσοντες, οὐ μόνον καθαιρέσεως, ἀλλὰ καὶ τῆς ἐσχάτης δυσσεβείας τῷ ἐγκλήματι περιπίπτουσι· διόπερ ὥρισεν ἡ ἁγία σύνοδος, τοὺς τὸ ἅγιον ποτήριον, ἢ τὸν δίσκον, ἢ τὴν λαβίδα, ἢ τὴν σεβασμίαν ἐνδυτὴν, ἢ τὸν λεγόμενον ἀέρα, ἢ ἁπλῶς τοὺς ἕν τι τῶν ἐν τῷ θυσιαστηρίῳ ἱερῶν καὶ ἁγίων σκευῶν ἢ ἀμφιασμάτων, εἰς ἴδιον κέρδος ὑφαρπάζοντας, ἢ εἰς χρῆσιν ἀποχρωμένους ἀνίερον, παντελεῖ καθαιρέσει καθυποβάλλεσθαι· τὸ μὲν γάρ ἐστι βεβηλῶσαι, τὸ δὲ συλῆσαι τὰ ἅγια· τοὺς μέν τοι τὰ ἔξωθεν τοῦ θυσιαστηρίου ἄμφια ἀφωρισμένα, ἢ σκεύη τινὰ, εἰς χρῆσιν ἀνίερον ἑαυτοῖς ἢ ἑτέροις παρέχοντας, τούτους καὶ ὁ κανὼν ἀφορίζει· καὶ ἡμεῖς συναφορίζομεν· τοὺς δὲ παντελῶς ἁφαρπάζοντας, τῇ τῶν ἱεροσύλων καταδίκῃ καθυποβάλλομεν.

Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. β'.

β' Τὰ δὲ ἀδίκως ληφθέντα παρ' αὐτοῦ χρήματα, ἀναδοθῆναι δίκαιον κατὰ δύο τρόπους· πρῶτον μὲν ὅτι οὐδὲ ἐχρῆν

ὅλως γενέσθαί τι τοιοῦτον, καθότι λυπεῖ σφόδρα, καὶ εἰς ἐσχάτην ἀκηδίαν καταφέρει τοὺς ἁπανταχόσε γῆς ὄντας θεοσεβεστάτους ἐπισκόπους, τὸ ἀπαιτεῖσθαι λόγους τῆς οἰκονομίας τῶν παραπιπτόντων αὐτοῖς ἀναλωμάτων, εἴτε ἐκ προσόδων ἐκκλησιαστικῶν, εἴτ' οὖν καὶ ἀπὸ τῆς τινῶν καρποφορίας· ἕκαστος γὰρ ἡμῶν τῶν ἰδίων, καιρῷ δώσει λόγον τῷ πάντων κριτῇ· κειμήλια μὲν γὰρ καὶ κτήσεις ἀκινήτους, ἀνεκπεσήτως ταῖς ἐκκλησίαις σώζεσθαι χρὴ· θαρσεῖσθαι δὲ τοὺς κατὰ καιρὸν τὴν θείαν διέποντας ἱερωσύνην, τῶν παραπιπτόντων ἀναλωμάτων τὴν οἰκονομίαν.

Ἡ ιζ' διάταξις τοῦ β' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι κινητῶν ὑπόντων ἔξωθεν τῶν ἱερῶν σκευῶν, ἀργεῖ τῶν ἀναγκαίων ἀκινήτων καὶ τῶν ἄρτων ἡ ἐκποίησις καὶ ἡ ὑποθήκη· καὶ ἡ κα' διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι ὁ μὴ δι' ἀνάῤῥυσιν αἰχμαλώτων ἀγοράζων ἱερὰ σκεύη, ἢ ἁπλώματα, ἢ λαμβάνων εἰς ὑποθήκην ἢ ἐνέχυρον, καὶ τῶν τιμῶν καὶ τοῦ χρέους ἐκπίπτει, καὶ ἐκδικοῦνται διὰ τῶν ἐπισκόπων καὶ οἰκονόμων καὶ σκευοφυλάκων, εἰ καὶ ἐχωνεύθησαν· ἢ καὶ αἱ τιμαὶ αὐτῶν ἀπαιτοῦνται, εἰ μὴ φαίνονται· φησὶν βιβλ. ηʹ τίτ. α' διάτ. ξβ', ὅτι ὁ ἐν ἀγνοίᾳ τὸ ἱερὸν ὡς ἰδιωτικὸν ἀγοράζων, εἰ καὶ μὴ συνίσταται ἡ πράσις, ὅμως ἔχει κατὰ τοῦ πράτου εἰς ὅπερ αὐτῷ διέφερε μὴ ἀπατηθῆναι· καὶ ἐνστιτουτ. ιβ' τίτ. α' φησὶν, ὅτι τὰ ἱερὰ σκεύη οὔτε πιπράσκεται οὔτε ὑποτίθεται, εἰ μὴ διὰ λύσιν αἰχμαλώτων· ἡ δὲ α' διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν, ἐπιτιμίοις ὑποβάλλει τοὺς τὰ ἱερὰ σκεύη παρὰ τὸν νόμον ἐνεχυράζοντας, ἢ πωλοῦντας, ἢ χωνεύοντας, ἢ ἐκποιοῦντας, εἰ μὴ διὰ λύσιν αἰχμαλώτων.

Ἡ δὲ β' διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὥστε τὰ ἱερὰ σκεύη

τῆς ἐκκλησίας Κωνσαντινουπόλεως, καὶ τῶν ὁπουδήποτε κειμένων εὐκτηρίων, μὴ ἄλλως πιπράσκεσθαι ἢ ὑποτίθεσθαι, εἰ μὴ εἰς ἀνόρρυσιν αἰχμαλώτων· εἰ δὲ πλείονα εἶεν σκεύη, μηδεμίαν ἀναγκαίαν ποιοῦντα χρῆσιν, συμβῇ δέ τινα τῶν εὐαγῶν οἴκων βαρύνεσθαι χρέεσιν, εἰ μὴ ὕπεστιν ἕτερα κινητὰ πράγματα, ἐξ ὧν ὀφείλει δοθῆναι τὰ χρέα, ἄδεια ἔσται συνισταμένης πράξεως ἀζημίως, ἐπισκόπου μὲν ἐκποιοῦντος παρὰ τῷ μητροπολίτῃ, μητροπολίτου δὲ παρὰ τῷ ἰδίῳ πατριάρχῃ, τὰ ἱερὰ σκεύη τὰ περιττὰ ἄλλοις εὐαγέσιν οἴκοις χρείαν ἔχουσι πωλεῖν ἢ χωνεύειν καὶ πιπράσκειν, καὶ τὴν αὐτῶν τιμὴν εἰς τὸ χρέος παρέχειν, ὥστε μὴ τὰ ἀκίνητα ἐκποιεῖσθαι.

Λέγει δὲ βιβλ. α' τίτ. ιη' διάτ. ιγ', ὅτι οἱ ἄρχονται ἀναζητοῦσι τοὺς ἱεροσύλους· καὶ βιβλ. ι' τίτ. β' δίγ. δ', ὅτι τὰ ἐξ ἱεροσυλίας κτηθέντα, οὐ διαιροῦνται οἱ κληρονόμοι· καὶ βιβλ. ι' τίτ. α' δίγ. κς', ὅτι ἀνισχύρως τίς ὁμολογεῖ ἱεροσυλεῖν, καὶ οὐχ' ἁρμόζει ἐκ τούτου ἀγωγή· καὶ βιβλ. μή τίτ. δ' διάτ. α', ὅτι ὅμοιόν ἐστι τὸ ἔγκλημα τῆς καθοσιώσεως, τῷ περὶ τῆς ἱεροσυλίας καὶ τίτ. ιγ' τοῦ αὐτοῦ βιβλ. διάτ. α', ὁ περὶ τῆς ἱεροσυλίας νόμος κινεῖται, κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν χρημάτων, ἢ στρέψαντος εἰς ἰδίας χρείας, ἢ παρασκευάσαντος κατὰ δόλον γενέσθαι· τούτων τί διάτ. δ' οἱ ἱεροσύλοι πρὸς τὸ ποιὸν τοῦ ἁμαρτήματος τιμωροῦνται· διάτ. ς' τὸ ἐξ ἱεροῦ ἰδιωτικὰ χρήματα ὑφελέσθαι, οὐκ ἔστι ἱεροσυλία ἀλλὰ κλοπή· ἐν δὲ τῷ ις' διατάγματι τοῦ ιθ' τίτ. τοῦ μή βιβλίου, λέγει τὸν τόπον διακρίνειν τὸν κλέπτην ἀπὸ τοῦ ἱεροσύλου· καὶ βιβλ. ς' τοῦ κώδ. τίτ. β' διάτ. γ', ὅτι ὁ κλέπτων τὸ μήπω τῷ θεῷ καθιερωθὲν, ὡς κλέπτης ἐνάγεται.

Βιβλ. μη' τίτ. ιγ' διάτ. ζ', ἡ τοῦ ἱεροσύλου ποινὴ ἀπὸ τῆς ποιότητος τῶν προσώπων, καὶ τοῦ ἁμαρτήματος, καὶ τοῦ καιροῦ, καὶ τῆς ἡλικίας, καὶ τῆς φύσεως, ἢ βαρυτέρα ἢ ἐλαφροτέρα ἐπιφέρεται· τινὲς γὰρ θηρίοις παραδίδονται, τινὲς καίονται, τινὲς φουρκίζονται· μεμετρημένη δὲ ποινή ἐςι, τὸ παραδοθῆναι θηρίοις τὸν νυκτερινὸν ἱερόσυλον· τὸν ἡμερινὸν δὲ μέτριόν τι ἱεροσυλοῦντα μεταλλίζεσθαι· τὸν δὲ τίμιον δεπορτατεύεσθαι· δίγ. ια', οἱ ἱερόσυλοι κεφαλικῶς κολάζονται· ἱερόσυλοι δέ εἰσιν οἱ τοὺς δημοσίους ναοὺς κλέπτοντες· οἱ δὲ τὰ ἰδιωτικὰ ἱερὰ, καὶ τοὺς μικροὺς ναοὺς ἀφυλάκτους ὄντας κλέπτοντες, ἧττον μὲν τῶν ἱεροσύλων, πλέον δὲ τῶν κλεπτῶν τιμωροῦνται· ὁ δὲ ἐξωτικὸς ὑποκλέπτων τὰ ἱερὰ, ὑπόκειται τῷ τῆς ἱερσυλίας ἐγκλήματι· ὁ γὰρ τὴν αὐτῶν φυλακὴν πεπιςευμένος, κἂν ὑφέληταί τι ἐξ αὐτῶν, οὐχ ὑπόκειται τούτῳ τῷ νόμῳ· δίγ. ιβ' δεπορτατεύεται ὁ ἐμβαλὼν ἄνθρωπον ἐν κιβωτίῳ, καὶ παρενθέμενος αὐτὸν ἐν ναῷ, ἐὰν ἐκεῖνος ἐξιὼν τῆς κιβωτοῦ, κλέψῃ τινὰ τοῦ ἱεροῦ· δίγ. ις', τὸ τῆς ἱεροσυλίας καὶ κατὰ κληρονόμων ἁρμόζει, περὶ γὰρ χρημάτων ὑφαιρεθέντων ἔστιν αὐτῷ ἡ ζήτησις.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξή'.

Περὶ τοῦ μὴ ἐξεῖναί τινι τῶν πάντων, βιβλίον τῆς παλαιᾶς καὶ καινῆς διαθήκης τῶν τε ἁγίων καὶ ἐκκρίτων ἡμῶν κηρύκων καὶ διδασκάλων διαφθείρειν ἢ κατατέμνειν, ἢ τοῖς βιβλιοσκαπήλοις, ἢ τοῖς λεγομένοις μυρεψοῖς, ἢ ἄλλῳ τινὶ τῶν ἁπάντων πρὸς ἀφανισμὸν ἐκδιδόναι, εἰ μή τι ἄρα τέλεον, εἴτε ὑπὸ σητῶν, ἢ ὕδατος, ἢ ἑτέρῳ τρόπῳ ἀχρειωθῇ· ὁ δέ τι τοιοῦτο ποιεῖν ἀπὸ τοῦ νῦν ἁλισκόμενος, ἐπὶ ἐνιαυτὸν ἀφοριζέσθω· ὁμοίως καὶ ὁ τὰς τοιαύτας βίβλους ξη'

ὠνούμενος, εἰ μήτε αὐτὸς ταύτας κατέχει πρὸς οἰκείαν ἀσφάλειαν, μήτε ἑτέρῳ πρὸς εὐεργεσίαν καὶ τὸ διαμεῖναι ἀποδῶται, ἀλλὰ ταῦτα διαφθείρειν ἐπιχειρήσοι, ἀφοριζέσθω.

ΚΕΦ. Γ.

Περὶ κληρικῶν ἀποσχιζόντων καὶ παρὰ γνώμην τοῦ ἐπισκόπου ἱστώντων θυσιαστήρια.

Ἀποστόλων κανὼν λά'.

λα' Εἴ τις πρεσβύτερος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, χωρὶς συναγάγῃ, καὶ θυσιαστήριον ἕτερον πήξει, μηδὲν κατεγνωκὼς τοῦ ἐπισκόπου ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καθαιρείσθω ὡς φίλαρχος, τύραννος γάρ ἐστι· ὡσαύτως δὲ λαϊκοὶ ἀφοριζέσθωσαν· ταῦτα δὲ μετὰ μίαν καὶ δευτέραν καὶ τρίτην παράκλησιν τοῦ ἐπισκόπου γινέσθω.

Συνόδου Ἀντιοχείας κανὼν ε'.

ε' Εἴ τις πρεσβύτερος ἢ διάκονος, καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας, καὶ ἰδίᾳ συνήγαγε, καὶ θυσιαστήριον ἔστησε, καὶ τοῦ ἐπισκόπου προσκαλεσαμένου ἀπειθοίη, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι, μὴ δὲ ὑπακούειν, καὶ πρῶτον καλοῦντι καὶ δεύτερον, τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ μηκέτι θεραπείας τυγχάνειν, μὴ δὲ δύνασθαι λαμβάνειν τὴν ἑαυτοῦ τιμήν· εἰ δὲ παραμένοι θρυβῶν καὶ ἀναςατῶν τὴν ἐκκλησίαν διὰ τῆς ἔξωθεν ἐξουσίας, ὡς στασιώδη αὐτὸν ἀποστρέφεσθαι.

Συνόδου Καρθαγέννης κανὼν ί'.

Περὶ πρεσβυτέρων τῶν ἀπὸ τῶν οἰκείων καταγινωσκομένων ἐπισκόπων.

Ἀλύπιος ἐπίσκοπος τοποτηρητὴς τῆς νουμηδικῆς χώρας εἶπεν.

ι' Οὐ δ' ἐκεῖνο δεῖ παρεᾶσαι, ἵνα ἐάν τις τυχὸν πρεσβύ-

τερος ἀπὸ τοῦ ἰδίου ἐπισκόπου καταγνωσθεὶς, φυσιότητι τινὶ καὶ ὑπερηφανίᾳ ἑπαρθεὶς, ἡγήσηται ὀφείλειν κεχωρισμένως ἅγια τῷ Θεῷ προσφέρειν, ἢ ἄλλο ἀνορθοῦν θυσιαστήριον οἰηθείη κατὰ τῆς ἐκκλησιαστικῆς πίστεως καὶ καταστάσεως, ὁ τοιοῦτος ἀτιμώρητος μὴ ἐξέλθῃ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν λά'.

Τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις ἔνδον οἰκίας τυγχάνουσι λειτουργοῦντας κληρικοὺς, ὑπὸ γνώμην τοῦτο πράττειν τοῦ κατὰ τὸν τόπον ἐπισκόπου ὁρίζομεν· ὥστε εἴ τις κληρικὸς μὴ τοῦτο οὕτως φυλάξοι, καθαιρείσθω. λά'

Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν ιβ' ιγ' ιδ' ιε'.

Τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις ἔνδον οἰκίας λειτουργοῦντας ἢ βαπτίζοντας κληρικοὺς, παρὰ γνώμην τοῦ ἐπισκόπου, καθαιρέσει καθυποβαλλούσης, καὶ ἡμεῖς τοῦτο συμψηφιζόμεθα· τῆς γὰρ ἁγίας ἐκκλησίας ὀρθοτομούσης, καὶ τὸν ἀληθῆ πρεσβευούσης λόγον, καὶ τὸ σεμνὸν τῆς πολιτείας συντηρούσης τε καὶ ἐκδιδασκούσης, ἀπηχὲς καὶ ἀνόσιον παραχωρεῖν τοὺς ἀπαιδευσίᾳ καὶ ἀναρχίᾳ συζῶντας, εἰς τὰς οἰκίας ὑποδυομένους, τὴν ταύτης εὐταξίαν διαστῆσαι, καὶ πολλῆς ταραχῆς καὶ σκανδάλων ἀποπληροῦν· διόπερ ἡ νῦν ἱερὰ καὶ θεοσυνέργητος σύνοδος, τῇ οἰκουμενικῇ καὶ ἁγίᾳ ἕκτῃ συνόδῳ συμφωνοῦσα ἀποκεκληρωμένους εἶναι τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις ἔνδον οἰκίας οὖσι λειτουργοῦντας διωρίσατο, τῆς ἀποκληρώσεως δηλονότι παρὰ τοῦ κατὰ τὸν τόπον ἐπισκόπου αὐτοῖς ἀπονεμηθείσης· εἰ δέ τινες παρὰ τούτους, τοῦ ἐπισκόπου μὴ εὐδοκοῦντος, εἰς τὰς οἰκίας εἰσπίπτοντες, ἅπτεσθαι τῆς λειτουργίας ἀποτολμῶσι, τούτους μὲν καθαιρεῖσθαι· τοὺς δὲ ιβ'

τῆς αὐτῶν κοινωνίας μετασχόντας, τῷ ἀφορισμῷ καθυποβάλλεσθαι.

ιγ΄ Τὰς τῶν αἱρετικῶν ζιζανίων ἐπισπορὰς ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ὁ παμπόνηρος καταβαλὼν, καὶ ταύτας ὁρῶν τῇ μαχαίρᾳ τοῦ πνεύματος τεμνομένας προρρίζους, ἐφ' ἑτέραν ἦλθε μεθοδείας ὁδὸν, τῇ τῶν σχισματικῶν μανίᾳ τὸ τοῦ Χριστοῦ σῶμα μερίζειν ἐπιχειρῶν· ἀλλὰ καὶ ταύτην αὐτοῦ τὴν ἐπιβουλὴν ἡ ἁγία σύνοδος ἀναστέλλουσα παντελῶς, ὥρισε τοῦ λοιποῦ, ἵνα εἴ τις πρεσβύτερος ἢ διάκονος, ὡς δοθὲν ἐκ ἐγκλήμασι τισὶ τοῦ οἰκείου κατεγνωκὼς ἐπισκόπου, πρὸ συνοδικῆς ἐξετάσεως τε καὶ διαγνώσεως, καὶ τῆς ἐπ' αὐτῷ τελείας κατακρίσεως, ἀποστῆναι τολμήσει τῆς αὐτοῦ κοινωνίας, καὶ τὸ ὄνομα αὐτοῦ ἐν ταῖς ἱεραῖς τῶν λειτουργιῶν εὐχαῖς, κατὰ τὸ παραδεδομένον τῇ ἐκκλησίᾳ, μὴ ἀναφέροι, τοῦτον ὑποκεῖσθαι καθαιρέσει, καὶ πάσης ἱερατικῆς ἀποστερεῖσθαι τιμῆς· ὁ γὰρ ἐν πρεσβυτέρου τάξει τεταγμένος, καὶ τῶν μητροπολιτῶν ἁρπάζων τὴν κρίσιν, καὶ πρὸ κρίσεως αὐτὸς κατακρίνων, ὅσον τὸ ἐπ' αὐτῷ, τὸν οἰκεῖον πατέρα καὶ ἐπίσκοπον, οὗτος οὐδὲ τῆς τοῦ πρεσβυτέρου ἐστὶν ἄξιος τιμῆς ἢ ὀνομασίας· οἱ δὲ τούτοις συνεπόμενοι, εἰ μὲν τῶν ἱερωμένων εἶεν τινὲς, καὶ αὐτοὶ τῆς οἰκείας τιμῆς ἐκπεπτέτωσαν· εἰ δὲ μοναχοὶ ἢ λαϊκοὶ, ἀφοριζέσθωσαν παντελῶς τῆς ἐκκλησίας, μέχρις ἂν τὴν πρὸς τοὺς σχισματικοὺς συνάφειαν διαπτύσαντες, πρὸς τὸν οἰκεῖον ἐπίσκοπον ἐπιστραφεῖεν.

ιδ΄ Εἴ τις ἐπίσκοπος ἐγκλήματος πρόφασιν ποιούμενος, κατὰ τοῦ οἰκείου μητροπολίτου, πρὸ συνοδικῆς διαγνώσεως ἀποστήσει ἑαυτὸν τῆς πρὸς αὐτὸν κοινωνίας, καὶ μὴ ἀναφέρει τὸ ὄνομα αὐτοῦ κατὰ τὸ εἰθισμένον ἐν τῇ θείᾳ μυσταγω-

γίᾳ, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος καθηρημένον εἶναι, εἰ μόνον ἐλεγχθείη ἀποςὰς τοῦ οἰκείου μητροπολίτου, καὶ σχίσμα ποιήσας· δεῖ γὰρ ἕκαστον τὰ οἰκεῖα μέτρα γινώσκειν, καὶ μήτε τὸν πρεσβύτερον καταφρονεῖν τοῦ οἰκείου ἐπισκόπου, μήτε τὸν ἐπίσκοπον τοῦ οἰκείου μητροπολίτου, μήτε τὸν μητροπολίτην τοῦ οἰκείου πατριάρχου.

ιε΄ Τὰ ὁρισθέντα ἐπὶ πρεσβυτέρων καὶ ἐπισκόπων καὶ μητροπολιτῶν, πολλῷ μᾶλλον καὶ ἐπὶ πατριαρχῶν ἁρμόζει· ὥςε εἴ τις πρεσβύτερος, ἢ ἐπίσκοπος, ἢ μητροπολίτης, ταλμήσειεν ἀποστῆναι τῆς πρὸς τὸν οἰκεῖον πατριάρχην κοινωνίας, καὶ μὴ ἀναφέροι τὸ ὄνομα αὐτοῦ, κατὰ τὸ ὡρισμένον καὶ τεταγμένον ἐν τῇ θείᾳ μυσταγωγίᾳ, ἀλλὰ πρὸ ἐμφανείας συνοδικῆς, καὶ τελείας αὐτοῦ κατακρίσεως, σχίσμα ποιήσει, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος, πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι, εἰ μόνον ἐλεγχθείη τοῦτο παρανομήσας· καὶ ταῦτα μὲν ὥρισαι καὶ ἐσφράγισαι περὶ τῶν, προφάσει τινῶν ἐγκλημάτων, τῶν οἰκείων ἀφισαμένων προέδρων, καὶ σχίσμα ποιούντων, καὶ τὴν ἕνωσιν τῆς ἐκκλησίας διασπώντων· εἰ γὰρ διὰ αἵρεσίν τινα παρὰ τῶν ἁγίων συνόδων ἢ πατέρων κατεγνωσμένην, τῆς πρὸς τὸν πρόεδρον κοινωνίας ἑαυτοὺς διαστέλλοντες, ἐκείνου τὴν αἵρεσιν δηλονότι δημοσίᾳ κηρύττοντος, καὶ γυμνῇ τῇ κεφαλῇ ἐπ' ἐκκλησίας διδάσκοντος, οἱ τοιοῦτοι οὐ μόνον τῇ κανονικῇ ἐπιτιμήσει οὐχ ὑποκείσονται, πρὸ συνοδικῆς διαγνώσεως ἑαυτοὺς τῆς πρὸς τὸν καλούμενον ἐπίσκοπον κοινωνίας ἀποτειχίζοντες, ἀλλὰ καὶ τῆς πρεπούσης τιμῆς ὀρθοδόξοις ἀξιωθήσονται· οὐ γὰρ ἐπισκόπων, ἀλλὰ ψευδεπισκόπων καὶ ψευδοδιδασκάλων κατέγνωσαν· καὶ οὐ σχίσματι τὴν ἕνωσιν τῆς ἐκκλησίας κατέτεμον, ἀλλὰ σχισμάτων καὶ μερισμῶν, τὴν ἐκκλησίαν ἐσπούδασαν ῥύσασθαι.

ΤΙΤΛΟΣ Γ.

ΠΕΡΙ ΕΥΧΩΝ, ΚΑΙ ΨΑΛΜΩΔΙΩΝ, ΚΑΙ ΑΝΑΓΝΩΣΕΩΣ, ΚΑΙ ΑΝΑΦΟΡΑΣ, ΚΑΙ ΚΟΙΝΩΝΙΑΣ, ΚΑΙ ΦΟΡΕΣΙΑΣ, ΚΑΙ ΥΠΟΥΡΓΙΑΣ ΑΝΑΓΝΩΣΤΩΝ, ΨΑΛΤΩΝ ΚΑΙ ΥΠΗΡΕΤΩΝ.

TITULUS III.

DE PRECIBUS, ET PSALMODIIS, LECTIONE, OBLATIONE, ET COMMUNIONE, ET DE VESTITU, ATQUE OFFICIO LECTORUM, CANTORUM, ET MINISTRORUM.

ΚΕΦ. Α.

Ποίων εὐχῶν ὁ λαὸς ἀκροᾶται· καὶ διὰ τί πρὸς ἀνατολὰς ὁρῶντες εὐχόμεθα.

Συνόδου Λαοδικείας κανὼν ε' ιθ'.

ε' Περὶ τοῦ μὴ δεῖν τὰς χειροτονίας ἐπὶ παρουσίᾳ ἀκρωμένων γίνεσθαι.

ιθ' Περὶ τοῦ δεῖν ἰδίᾳ πρῶτον, μετὰ τὰς ὁμιλίας τῶν ἐπισκόπων, τῶν κατηχουμένων εὐχὴν ἐπιτελεῖσθαι· καὶ μετὰ τὸ ἐξελθεῖν τοὺς κατηχουμένους, τῶν ἐν μετανοίᾳ τὴν εὐχὴν γίνεσθαι· καὶ τούτων προσελθόντων ὑπὸ χεῖρα καὶ ὑποχωρησάντων, οὕτως τῶν πιστῶν τὰς εὐχὰς γίνεσθαι τρεῖς· μίαν μὲν τὴν πρώτην διὰ σιωπῆς, τὴν δὲ δευτέραν καὶ τρίτην διὰ προσφωνήσεως πληροῦσθαι· εἶθ' οὕτως τὴν εἰρήνην δίδοσθαι, καὶ μετὰ τὸ πρεσβυτέρους δοῦναι τῷ ἐπισκόπῳ τὴν εἰρήνην, τότε τοὺς λαϊκοὺς τὴν εἰρήνην διδόναι· καὶ οὕτω τὴν ἁγίαν προσφορὰν ἐπιτελεῖσθαι· καὶ μόνοις ἐξὸν εἶναι τοῖς ἱερατικοῖς εἰσιέναι εἰς τὸ θυσιαστήριον καὶ κοινωνεῖν.

Βασιλείου ἐκ τοῦ κζ' κεφ. τῶν περὶ τοῦ ἁγίου πνεύματος πρὸς τὸν μακάριον Ἀμφιλόχιον γεγραμμένων.

Τῶν ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων etc. usque ad δύναμιν εἰσφερομένην, ut p. 17-20.

Ἡ ιζ' διάταξις τοῦ α' τίτ. τῶν νεαρῶν λέγει τὴν εὐχὴν τῆς ἁγίας κοινωνίας καὶ τοῦ ἁγίου βαπτίσματος, ὀφείλειν ἐξακούεσθαι τῷ λαῷ.

ΚΕΦ. Β.

Περὶ τοῦ τίνας, καὶ πῶς, καὶ ποῖα δεῖ ψάλλειν, ἢ εὔχεσθαι, ἢ ἀναγινώσκειν.

Ἀποστόλων κανὼν ξ' πέ'.

Εἴ τις τὰ ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία ὡς ἅγια ξ' ἐπὶ τῆς ἐκκλησίας δημοσιεύοι ἐπὶ λύμῃ τοῦ λαοῦ καὶ τοῦ κλήρου, καθαιρείσθω.

Ἔστω δὲ ὑμῖν πᾶσι κληρικοῖς καὶ λαϊκοῖς βιβλία σεβάσμια καὶ ἅγια· τῆς μὲν παλαιᾶς διαθήκης, Μωσέως πέντε, γένεσις, ἔξοδος, λευϊτικὸν, ἀριθμοὶ, δευτερονόμιον, Ἰησοῦ υἱοῦ Ναυῆ ἕν, κριτῶν ἕν., Ῥουθ α', βασιλειῶν δ', παραλειπομένων τῆς βίβλου τῶν ἡμερῶν β', Ἔσδρα β', Ἐσθὴρ ἕν, Μακκαβαίων γ', Ἰὼβ ἕν, ψαλτήριον ἕν, Σολομῶντος γ', παροιμίαι, ἐκκλησιαστὴς, ᾆσμα ᾀσμάτων, προφητῶν δεκαδύο, ἓν Ἡσαΐου, ἓν Ἱερεμίου, ἓν Ἰεζεκιὴλ, ἓν Δανιήλ· ἔξωθεν δὲ ὑμῖν προσιστορείσθω μανθάνειν τοὺς νέους ὑμῶν τοῦ πολυμαθοῦς Σιρὰχ τὴν σοφίαν· ἡμέτερα δὲ, τουτέστι τῆς καινῆς διαθήκης, εὐαγγέλια τέσσαρα, Ματθαίου, Μάρκου, Λουκᾶ, Ἰωάννου, Παύλου ἐπιστολαὶ ιδ', Πέτρου ἐπιστολαὶ δύο, Ἰωάννου γ', Ἰακώβου α', Ἰούδα α', Κλήμεντος ἐπιστολαὶ δύο, καὶ αἱ διαταγαὶ ὑμῖν τοῖς ἐπισκόποις πε'

δι' ἐμοῦ Κλήμεντος ἐν ὀκτὼ βιβλίοις προσπεφωνημέναι, ἃς οὐ χρὴ δημοσιεύειν ἐπὶ πάντων, διὰ τὰ ἐν αὐταῖς μυστικὰ· καὶ αἱ πράξεις ἡμῶν τῶν ἀποστόλων· ταῦτα καὶ περὶ κανόνων διατετάχθω ὑμῖν παρ' ἡμῶν, ὦ ἐπίσκοποι· ὑμεῖς δὲ ἐμμένοντες αὐτοῖς, σωθήσεσθε καὶ εἰρήνην ἕξετε· ἀπειθοῦντες δὲ, κλασθήσεσθε, καὶ πόλεμον μετ' ἀλλήλων ἄϑιον ἕξετε, δίκην τῆς ἀνηκεΐας τὴν προσήκουσαν τινύντες· ὁ θεὸς δὲ ὁ μόνος ἄϊδιος καὶ τῶν ὅλων ποιητὴς, ἅπαντας ὑμᾶς διὰ τῆς εἰρήνης ἐν πνεύματι ἁγίῳ ἑνῶσαι καὶ καταρτίσαι εἰς πᾶν ἔργον ἀγαθὸν, ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους, καὶ καταξιώσαι τῆς αἰωνίου ζωῆς σὺν ἡμῖν, διὰ τῆς μεσιτείας τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, μεθ' οὗ ἡ δόξα αὐτῷ τῷ ἐπὶ πάντων θεῷ καὶ πατρὶ σὺν ἁγίῳ πνεύματι τῷ παρακλήτῳ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Συνόδου Λαοδικείας κανὼν ιε' ιζ' ιη' κγ' νϑ'.

ιε' Περὶ τοῦ μὴ δεῖν πλὴν τῶν κανονικῶν ψαλτῶν, τῶν ἐπὶ τὸν ἄμβωνα ἀναβαινόντων, καὶ ἀπὸ διφθέρας ψαλλόντων, ἑτέρους τινὰς ψάλλειν ἐν ἐκκλησίᾳ.

ιζ' Περὶ τοῦ μὴ δεῖν ἐπισυνάπτειν ἐν ταῖς συνάξεσι τοὺς ψαλμοὺς, ἀλλὰ διὰ μέσου καθ' ἕκαστον ψαλμὸν γίνεσθαι ἀνάγνωσιν.

ιη' Περὶ τοῦ τὴν αὐτὴν λειτουργίαν τῶν εὐχῶν πάντοτε, καὶ ἐν ταῖς ἑνάταις καὶ ἐν ταῖς ἑσπέραις, ὀφείλειν γίνεσθαι.

ιϑ' Περὶ τοῦ δεῖν ἰδίᾳ πρῶτον μετὰ τὰς ὁμιλίας τῶν ἐπισκόπων etc. ut p. 128.

κγ' Ὅτι οὐ δεῖ ἀναγνώστας ἢ ψάλτας ὡράριον φορεῖν, καὶ οὕτως ἀναγινώσκειν ἢ ψάλλειν.

νϑ' Ὅτι οὐ δεῖ ἰδιωτικοὺς ψαλμοὺς λέγεσθαι ἐν τῇ ἐκκλησίᾳ,

οὐδὲ ἀκανόνιστα βιβλία, ἀλλὰ μόνα τὰ κανονικὰ τῆς καινῆς καὶ παλαιᾶς διαθήκης, ἅ τινά ἐστι ταῦτα.

α. Γένεσις κόσμου. β. Ἔξοδος. γ. Λευϊτικόν. δ. Ἀριθμοί. ε. Δευτερονόμιον. ς. Ἰησοῦ Ναυῆ. ζ. Κριταὶ, Ῥούθ. η. Ἐσθήρ. θ. Βασιλειῶν α΄ καὶ β΄. ι. Βασιλειῶν γ΄ δ΄. ια. Παραλειπομένων α΄ β΄. ιβ. Ἔσδρας α΄ β΄. ιγ. Βίβλοι ψαλμῶν ρν΄. ιδ. Παροιμιῶν Σολομῶντος. ιε. Ἐκκλησιαςής. ις. Ἆσμα ᾀσμάτων. ιζ. Ἰώβ. ιη. Δωδεκαπρόφητον. ιθ. Ἡσαΐας. κ. Ἱερεμίας. Βαρούχ. Θρῆνοι, καὶ ἐπιςολαί. κα. Ἰεζεκιήλ. κβ. Δανιήλ. Καινῆς διαθήκης, εὐαγγέλια δ΄, κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην. Πράξεις ἀποστόλων. Ἐπιστολαὶ καθολικαὶ ζ΄ οὕτως· Ἰακώβου α΄, Πέτρου β΄, Ἰωάννου γ΄, Ἰούδα α΄. Ἐπιστολαὶ Παύλου ιδ΄, πρὸς Ῥωμαίους α΄, πρὸς Κορινθίους β΄, πρὸς Γαλάτας α΄, πρὸς Ἐφεσίους α΄, πρὸς Φιλιππησίους α΄, πρὸς Κολασσεῖς α΄, πρὸς Θεσσαλονικεῖς β΄, πρὸς Ἑβραίους α΄, πρὸς Τιμόθεον β΄, πρὸς Τίτον α΄, πρὸς Φιλήμονα α΄.

Συνόδου Καρθαγέννης κανὼν κδ΄ μβ΄ ργ΄.

Ὥστε ἐκτὸς τῶν καθολικῶν γραφῶν, μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκεσθαι.

Ὁμοίως ἤρεσεν ἵνα ἐκτὸς τῶν κανονικῶν γραφῶν, μηδὲν κδ΄ ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκηται ἐπ' ὀνόματι θείων γραφῶν· εἰσὶ δὲ αἱ κανονικαὶ γραφαὶ αὗται, γένεσις, ἔξοδος, λευϊτικὸν, ἀριθμοὶ, δευτερονόμιον, Ἰησοῦς ὁ τοῦ Ναυῆ, κριταὶ, Ῥοὺθ, τῶν βασιλειῶν τέσσαρες, τῶν παραλειπομένων βίβλοι δύο, Ἰὼβ, ψαλτήριον, Σολομῶντος βίβλοι πέντε, τῶν προφητῶν βίβλοι δώδεκα, Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιὴλ, Δανιὴλ, Τωβίας, Ἰουδὴθ, Ἐσθὴρ, Ἔσδρα βίβλοι δύο. Τῆς νέας διαθήκης, εὐαγγέλια τέσσαρα, πράξεων

τῶν ἀποστόλων βίβλες μιά, ἐπιστολαὶ Παύλου ιδ', Πέτρου ἀποστόλου δύο, Ἰωάννου ἀποστόλου τρεῖς, Ἰούδα ἀποστόλου μία, ἀποκάλυψεως Ἰωάννου βίβλος μία. Τοῦτο δὲ τῷ ἀδελφῷ ἡμῶν καὶ συλλειτουργῷ Βονιφατίῳ, καὶ τοῖς ἄλλοις τῶν αὐτῶν μερῶν ἐπισκόποις πρὸς βεβαίωσιν τοῦ προκειμένου κανόνος γνωρισθῇ· ἐπειδὴ παρὰ τῶν πατέρων ταῦτα ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκεσθαι παρελάβομεν.

Περὶ τοῦ μὴ συμπόσια ἐν ταῖς ἐκκλησίαις ἐπιτελεῖσθαι.

μβ' Ὥςε ἐπισκόπους ἢ κληρικοὺς ἐν ταῖς ἐκκλησίαις μὴ συμποσιάζεσθαι· εἰ μὴ δ' ἂν τυχὸν ἀνάγκη ξενίας διαβάντες, ἐκεῖ καταλύσωσι· καὶ οἱ λαοὶ δὲ ἀπὸ τῶν τειουτοτρόπων συμποσίων, ὅσον δυνατόν ἐστι, κωλυθῶσιν.

Περὶ τῶν πρὸς τὸ θυσιαστήριον ὀφειλουσῶν λέγεσθαι ἱκεσιῶν.

εγ' Ἤρεσε καὶ τοῦτο, ὥστε τὰς κεκυρωμένας ἐν τῇ συνόδῳ ἱκεσίας, εἴτε προάιμια, εἴτε παραθέσεις, εἴτε τὰς τῆς χειρὸς ἐπιθέσεις, ἀπὸ πάντων ἐπιτελεῖσθαι· καὶ παντελῶς ἄλλας κατὰ τῆς πίστεως μηδέποτε προσενεχθῆναι· ἀλλ' αἵ τινες ὁπότε ἀπὸ τῶν συνετωτέρων συνήχθησαν, λεχθήσονται.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν λγ' ξγ' οε' πα'.

λγ' Ἐπειδὴ περ ἔγνωμεν ἐν τῇ Ἀρμενίων χώρᾳ etc. ut p. 39.

ξγ' Τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν ἀναπλασθέντα μαρτυρολόγια, ὡς ἂν τοὺς τοῦ Χριστοῦ μάρτυρας ἀτιμάζοιεν, καὶ πρὸς ἀπιστίαν ἐνάγοιεν τοὺς ἀκούοντας, μὴ ἐπ' ἐκκλησίαις δημοσιεύεσθαι προστάσσομεν, ἀλλὰ ταῦτα πυρὶ περιδίδοσθαι· τοὺς δὲ ταῦτα παραδεχομένους, ἢ ὡς ἀληθέσι τούτοις προσανέχοντας, ἀναθεματίζομεν.

Τοὺς ἐπὶ τὸ ψάλλειν ἐν ταῖς ἐκκλησίαις παραγινομένους οὐ βουλόμεθα μήτε βοαῖς ἀτάκτοις κεχρῆσθαι, καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκβιάζεσθαι, μήτέ τι ἐπιλέγειν τῶν μὴ ἐκκλησίᾳ ἁρμοδίων τὲ καὶ οἰκείων· ἀλλὰ μετὰ πολλῆς προσοχῆς τὲ καὶ κατανύξεως τὰς ταιαύτας ψαλμῳδίας προσάγειν τῷ τῶν κρυπτῶν ἐφόρῳ θεῷ· εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ τὸ ἱερὸν ἐδίδαξε λόγιον.

Ἐπειδήπερ ἔν τισι χώραις μεμαθήκαμεν, ἐν τῷ τρισα- πα΄
γίῳ ὕμνῳ etc. ut p. 7.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν ιθ΄.

Ὅτι οὐ χρὴ ἐκτὸς χειροθεσίας ἀναγινώσκειν ἐν τῇ συνάξει ἐπὶ ἄμβωνος.

Ὅτι τάξις ἐμπολιτεύεται ἐν ἱερωσύνῃ, πᾶσιν ἀρίδηλόν ιθ΄
ἐστι, καὶ σὺν ἀκριβείᾳ διατηρεῖν τῆς ἱερωσύνης ἐγχειρήσεις, θεῷ εὐάρεστόν ἐστι, καὶ ἐπειδὴ ὁρῶμεν, ἐκτὸς χειροθεσίας νηπιόθεν τὴν κουρὰν τοῦ κλήρου λαμβάνοντάς τινας, μήπω δὲ παρ' ἐπισκόπου χειροθεσίαν λαβόντας, καὶ ἀναγινώσκοντας ἐν τῇ συνάξει ἐπ' ἄμβωνος, ἀκανονίςως τοῦτο ποιοῦντας, ἐπιτρέπομεν ἀπὸ τοῦ παρόντος τοῦτο μὴ γίνεσθαι· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ μοναχῶν· ἀναγνώστου δὲ χειροθεσίαν, ἄδεια ἐστιν ἐν ἰδίῳ μοναστηρίῳ καὶ μόνῳ ἑκάςῳ ἡγουμένῳ ποιεῖν, εἰ αὐτῷ τῷ ἡγουμένῳ ἐπετέθη χειροθεσία παρ' ἐπισκόπου, πρὸς προεδρίαν ἡγουμένου, δηλονότι ὄντος αὐτοῦ πρεσβυτέρου· ὡσαύτως καὶ κατὰ τὸ ἀρχαῖον ἔθος τοὺς χωρεπισκόπους κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου δεῖ προχειρίζεσθαι ἀναγνώστας.

ΚΕΦ. Γ.

Περὶ τοῦ χρῆναι κατὰ σάββατον εὐαγγέλιον ἀναγινώσκεσθαι μετὰ ἑτέρων γραφῶν.

Συνόδου Λαοδικείας κανὼν ις'.

ις' Περὶ τοῦ ἐν σαββάτῳ εὐαγγέλια μετὰ ἑτέρων γραφῶν ἀναγινώσκεσθαι.

ΚΕΦ. Δ.

Περὶ τῆς ἁγίας ἀναφορᾶς καὶ κοινωνίας.

Ἀποστόλων κανὼν γ' δ' λά'.

γ' Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, παρὰ τὴν τοῦ κυρίου διάταξιν τὴν ἐπὶ τῇ θυσίᾳ, προσενέγκῃ ἕτερά τινα ἐπὶ τὸ θυσιαστήριον, ἢ μέλι, ἢ γάλα, ἢ ἀντὶ οἴνου σίκερα ἐπιτηδευτὰ, ἢ ὄρνεις, ἢ ζῶα τινὰ, ἢ ὄσπρια παρὰ τὴν διάταξιν, καθαιρείσθω· πλὴν νέων χίδρων ἢ σαφυλῶν, τῷ καιρῷ τῷ δέοντι· μὴ ἐξὸν δὲ ἔστω προσάγεσθαί τι ἕτερον πρὸς τὸ θυσιαστήριον, ἀλλ' ἢ ἔλαιον εἰς τὴν λυχνίαν, καὶ θυμίαμα τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς.

δ' Ἡ ἄλλη πᾶσα ὀπώρα εἰς οἶκον ἀποστελλέσθω ἀπαρχὴ τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἀλλὰ μὴ πρὸς τὸ θυσιαστήριον· δῆλον δὲ ὡς ὁ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι ἐπιμεριοῦσι τοῖς διακόνοις καὶ τοῖς λοιποῖς κληρικοῖς.

λά' Εἴ τις πρεσβύτερος καταφρονήσας etc. ut p. 124.

Συνόδου Νικαίας κανὼν ιή'.

ιή' Ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην σύνοδον, ὅτι ἔν τισι τόποις καὶ πόλεσι τοῖς πρεσβυτέροις, τὴν εὐχαριστίαν οἱ διάκονοι διδόασιν, ὅπερ οὔτε ὁ κανὼν οὔτε ἡ συνήθεια παρέδωκε, τοὺς ἐξουσίαν μὴ ἔχοντας προσφέρειν, τοῖς προσφέ-

ρουσι διδόναι τὸ σῶμα τοῦ Χριστοῦ· κἀκεῖνο δὲ ἐγνωρίσθη, ὅτι ἤδη τινὲς τῶν διακόνων καὶ πρὸ τῶν ἐπισκόπων τῆς εὐχαριστίας ἅπτονται· ταῦτα οὖν πάντα περιῃρείσθω, καὶ ἐμμενέτωσαν οἱ διάκονοι τοῖς ἰδίοις μέτροις, εἰδότες ὅτι τοῦ μὲν ἐπισκόπου ὑπηρέται εἰσὶ, τῶν δὲ πρεσβυτέρων ἐλάττους τυγχάνουσι· λαμβανέτωσαν δὲ κατὰ τὴν τάξιν τὴν εὐχαριστίαν μετὰ τοὺς πρεσβυτέρους· ἀλλὰ μὴ δὲ καθῆσθαι ἐν μέσῳ τῶν πρεσβυτέρων ἐξέστω τοῖς διακόνοις· παρὰ κανόνα γὰρ καὶ παρὰ τάξιν ἐστὶ τὸ γινόμενον· εἰ δέ τις μὴ θέλει πειθαρχεῖν καὶ μετὰ τούτους τοὺς ὅρους, πεπαύσθω τῆς διακονίας.

Συνόδου Ἀγκύρας κανὼν α'.

Πρεσβυτέρους τοὺς ἐπιθύσαντας, εἶτα ἀναπαλαίσαντας, μήτε ἐκ μεθόδου τινὸς ἀλλ' ἐξ ἀληθείας, μήτε προκατασκευάσαντας καὶ ἐπιτηδεύσαντας καὶ πείσαντας, ἵνα δόξωσι μὲν βασάνοις ὑποβάλλεσθαι, ταύτας δὲ τῷ δοκεῖν καὶ τῷ σχήματι προσαχθῆναι, τούτους ἔδοξε τῆς μὲν τιμῆς τῆς κατὰ τὴν καθέδραν μετέχειν· προσφέρειν δὲ αὐτοὺς ἢ ὁμιλεῖν ἢ ὅλως λειτουργεῖν τί τῶν ἱερατικῶν λειτουργιῶν, μὴ ἐξεῖναι. α'

Συνόδου Νεοκαισαρείας κανὼν ιγ'.

Ἐπιχώριοι πρεσβύτεροι, ἐν τῷ κυριακῷ τῆς πόλεως προσφέρειν οὐ δύνανται, παρόντος ἐπισκόπου ἢ πρεσβυτέρων πόλεως· οὔτε μὴν ἄρτον διδόναι ἐν εὐχῇ οὐδὲ ποτήριον· ἐὰν δὲ ἀπῶσι, καὶ εἰς εὐχὴν κληθῇ, μόνος δίδωσιν. ιγ'

Συνόδου Λαοδικείας κανὼν ιθ' μθ'.

Περὶ τοῦ δεῖν ἰδίᾳ πρῶτον μετὰ τὰς ὁμιλίας etc. ut p. 128. ιθ'

Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν σαββάτῳ καὶ κυριακῇ μόνον. μθ'

Συνόδου Καρθαγέννης κανὼν λζ' μα' μζ'.

Περὶ τοῦ μὴ ἐξεῖναι περαιτέρω ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου, τί ποτε ἐν τοῖς ἁγίοις προσφέρειν.

λζ Ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου, ξένον προσενεχθείη, ὡς καὶ αὐτὸς ὁ κύριος παρέδωκε· ἀπαρχὴ δὲ εἴτε μέλι εἴτε γάλα, ὡς ἐιωθε, προσφερέσθω ἐν μιᾷ ἡμέρᾳ ἐθίμῳ εἰς τὸ τῶν νηπίων μυστήριον· εἰ καὶ τὰ μάλιστα γὰρ ἐν θυσιαστηρίῳ προσφέρεται, ὅμως ἐχέτω ἰδίαν κυρίως εὐλογίαν, ὡς ἐκ τοῦ ἁγιάσματος τοῦ κυριακοῦ σώματος καὶ αἵματος διΐσασθαι· μηδὲν δὲ πλέον ἐν ταῖς ἀπαρχαῖς προσφερέσθω, ἢ ἀπὸ σταφυλῶν καὶ σίτου.

Περὶ τοῦ ἀπὸ νηστικῶν τῷ θεῷ προσάγεσθαι θυσίας.

μα' Ὥστε ἅγια θυσιαστηρίου, εἰ μὴ ἀπὸ νηστικῶν ἀνθρώπων, μὴ ἐπιτελεῖσθαι, ἐξηρημένης μιᾶς ἐτησίας ἡμέρας ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται· ἐὰν δέ τινων κατὰ τὸν θειλινὸν καιρὸν τελευτησάντων, εἴτε ἐπισκόπων εἴτε τῶν λοιπῶν, παράθεσις γένηται, μόναις εὐχαῖς ἐκτελεσθῇ, ἐὰν οἱ ταύτην ποιοῦντες, ἀριστήσαντες εὑρεθῶσιν.

Περὶ Δονατιστῶν παιδίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων.

μζ' Ἤρεσεν ἵνα ἐρωτήσωμεν τοὺς ἀδελφοὺς καὶ συνιερεῖς ἡμῶν Σιρίκιον καὶ Σιμπλικιανὸν, περὶ μόνων τῶν παιδίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων, μή πως τοῦτο ὅπερ οἰκείᾳ προθέσει οὐκ ἐποιήσαν, τῇ δὲ τῶν γονέων πλάνῃ ἐμποδίσῃ αὐτοῖς, πρὸς τὸ μὴ πρόσκοπτειν εἰς ὑπουργίαν τοῦ ἁγίου θυσιαστηρίου, ὅταν πρὸς τὴν τοῦ θεοῦ ἐκκλησίαν σωτηριώδει προθέσει ἐπιστρέψωσιν.

Συνόδου οἰκουμενικῆς ἕκτης,
κανὼν κγ΄ κβ΄ καὶ λβ΄ νζ΄ καὶ ρά.

Περὶ τοῦ μηδένα τῶν εἴτε ἐπισκόπων, ἢ πρεσβυτέρων, κγ΄
ἢ διακόνων, τῆς ἀχράντου μεταδιδόντα κοινωνίας, παρὰ τοῦ μετέχοντος εἰσπράττειν, τῆς τοιαύτης μεταλήψεως χάριν, ὀβολοὺς ἢ εἶδος τὸ οἰνοῦν· οὐδὲ γὰρ πεπραμένη ἡ χάρις, οὐδὲ χρήμασι τὸν ἁγιασμὸν τοῦ πνεύματος μεταδιδόαμεν, ἀλλὰ τοῖς ἀξίοις τοῦ δώρου ἀπανουργεύτως μεταδοτέον· εἰ δὲ φανείη τίς τῶν ἐν κλήρῳ καταλεγομένων, ἀπαιτῶν ᾧ μεταδίδωσι τῆς ἀχράντου κοινωνίας τὸ οἰνοῦν εἶδος, καθαιρείσθω, ὡς τῆς Σίμωνος ζηλωτὴς πλάνης καὶ κακουργίας.

Ἐπειδὴ ἐν διαφόροις ἐκκλησίαις μεμαθήκαμεν, σταφυ- κδ΄
λῆς ἐν τῷ θυσιαστηρίῳ προσφερομένης, κατά τι κρατῆσαν ἔθος, τοὺς λειτουργοὺς ταύτην, τῇ ἀναιμάκτῳ τῆς προσφορᾶς θυσίᾳ συνάπτοντας, οὕτως ἅμα τῷ λαῷ διανέμειν ἀμφότερα συνείδομεν, ὥστε μηκέτι τοῦτο τινὰ τῶν ἱερωμένων ποιεῖν, ἀλλ' εἰς ζωοποίησιν καὶ ἀμαρτιῶν ἄφεσιν τῷ λαῷ τῆς προσφορᾶς μόνης μεταδιδόναι· ὡς ἀπαρχὴν δὲ τὴν τῆς σταφυλῆς λογιζομένους προσένεξιν, ἰδικῶς τοὺς ἱερεῖς εὐλογοῦντας, τοῖς αἰτοῦσι ταύτης μεταδιδόναι πρὸς τὴν τοῦ δοτῆρος τῶν καρπῶν εὐχαριστίαν, δι' ὧν τὰ σώματα ἡμῶν κατὰ τὸν θεῖον ὅρον, αὔξει τε καὶ ἐκτρέφεται· εἴ τις οὖν κληρικὸς παρὰ τὰ διατεταγμένα ποιῇ, καθαιρείσθω.

Ἐπειδὴ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ Ἀρμε- λβ΄
νίων χώρᾳ οἶνον μόνον ἐν τῇ ἱερᾷ τραπέζῃ προσάγουσιν, ὕδωρ αὐτῷ μὴ μιγνύντες, οἱ τὴν ἀναίμακτον θυσίαν ἐπιτελοῦντες, προτιθέμενοι τὸν τῆς ἐκκλησίας διδάσκαλον Ἰωάννην τὸν χρυσοστόμον, φάσκοντα διὰ τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας ταῦτα· « τίνος ἕνεκεν οὐχ' ὕδωρ ἔπιεν

» ἀναστὰς, ἀλλ' οἶνον; ἄλλην αἵρεσιν πονηρὰν πρόῤῥιζον
» ἀνασπῶν· ἐπειδὴ γάρ τινες εἰσὶν ἐν τοῖς μυστηρίοις ὕδατι
» κεχρημένοι, δεικνὺς ὅτι καὶ ἡνίκα τὰ μυστήρια παρέδωκεν
» οἶνον παρέδωκε· καὶ ἡνίκα ἀναστὰς χωρὶς μυστηρίων καὶ
» ψιλὴν τράπεζαν παρετίθετο, οἴνῳ ἐχρῆτο, ἐκ τοῦ γεννή-
» ματος, φησὶ, τῆς ἀμπέλου· ἄμπελος δὲ οἶνον, οὐχ ὕδωρ,
» γεννᾷ· » ἐκ τούτου δὲ τὸν διδάσκαλον οἴονται ἀνατρέπειν
τὴν τοῦ ὕδατος ἐν τῇ ἱερᾷ θυσίᾳ προσαγωγὴν, ὡς ἂν μὴ
καὶ ἀπὸ τοῦ νῦν κατέχοιντο τῇ ἀγνοίᾳ, τὴν τοῦ πατρὸς διά-
νοιαν ὀρθοδόξως ἀποκαλύπτομεν· τῆς γὰρ πονηρᾶς τῶν ὑδρο-
παραστατῶν αἱρέσεως παλαιᾶς ὑπαρχούσης, εἰ ἀντὶ οἴνου
μόνῳ τῷ ὕδατι ἐν τῇ οἰκείᾳ θυσίᾳ κέχρηνται, ἀνασκευάζων
ὁ θεοφόρος οὗτος ἀνὴρ τὴν παράνομον τῆς τοιαύτης αἱρέ-
σεως διδαχὴν, καὶ δεικνὺς ὡς ἐναντίας τῆς ἀποστολικῆς
ἔνεται παραδόσεως, τὸν εἰρημένον κατεσκεύασε λόγον· ἐπεὶ
καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, ἔνθα τὴν ποιμαντικὴν ἐνε-
χειρίσθη ἡγεμονίαν, ὕδωρ οἴνῳ μιγνύναι παρέδωκεν, ἡνίκα
τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖσθαι δεήσειε, τὴν ἐκ τῆς
τιμίας πλευρᾶς τοῦ λυτρωτοῦ ἡμῶν καὶ σωτῆρος Χριστοῦ
τοῦ θεοῦ ἐξ αἵματος καὶ ὕδατος κράσιν παραδεικνὺς, ἥ τις
εἰς ζωοποίησιν παντὸς τοῦ κόσμου ἐξεχέθη, καὶ ἁμαρτιῶν
ἀπολύτρωσιν· καὶ κατὰ πάσης δὲ ἐκκλησίας, ἔνθα οἱ πνευ-
ματικοὶ φωστῆρες ἐξέλαμψαν, ἡ θεόσδοτος αὕτη τάξις κρα-
τεῖ· καὶ γὰρ καὶ Ἰάκωβος, ὁ κατὰ σάρκα Χριστοῦ θεοῦ ἡμῶν
ἀδελφὸς, ὃς τῆς Ἱεροσολυμιτῶν ἐκκλησίας πρῶτος τὸν θρό-
νον ἐνεπιστεύθη, καὶ Βασίλειος ὁ τῆς Καισαρέων ἀρχιεπί-
σκοπος, οὗ τὸ κλέος κατὰ πᾶσαν τὴν οἰκουμένην διέδραμεν,
ἐγγράφως τὴν μυστικὴν ἡμῖν ἱερουργίαν παραδεδωκότες, οὕτω
τελεῖσθαι ἐν τῇ θείᾳ ἱερουργίᾳ, ἐξ ὕδατος καὶ οἴνου τὸ ἱερὸν

σωτήριον ἐκδεδώκασι· καὶ οἱ ἐν Καρθαγένῃ συναχθέντες ὅσιοι πατέρες οὕτω ῥητῶς ἐπεμνήσθησαν, ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου ξένον προσενεχθείη, ὡς καὶ αὐτὸς ὁ κύριος παραδέδωκε, τουτέστιν ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου· εἴ τις οὖν ἐπίσκοπος ἢ πρεσβύτερος, μὴ κατὰ τὴν παραδοθεῖσαν ὑπὸ τῶν ἀποστόλων τάξιν ποιεῖ, καὶ ὕδωρ οἴνῳ μιγνὺς, οὕτω τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω· ὡς ἀτελῶς τὸ μυστήριον ἐξαγγέλλων, καὶ καινίζων τὰ παραδεδομένα.

Ὅτι οὐ χρὴ ἐν τοῖς θυσιαστηρίοις μέλι καὶ γάλα προσφέρεσθαι. νζ

Μηδεὶς τῶν ἐν λαϊκοῖς τεταγμένων ἑαυτῷ τῶν θείων μυστηρίων μεταδιδότω, παρόντος ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου· ὁ δέ τι τοιοῦτο τολμῶν, ὡς παρὰ τὸ διατεταγμένον παιῶν, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω, ἐντεῦθεν παιδαγωγούμενος μὴ φρονεῖν παρ' ὃ δεῖ φρονεῖν. νη

Σῶμα Χριστοῦ καὶ ναὸν τὸν κατ' εἰκόνα θεοῦ κτισθέντα ἄνθρωπον, ὁ θεῖος ἀπόστολος μεγαλοφώνως ἀποκαλεῖ· πάσης οὖν αἰσθητῆς κτίσεως ὑπερκείμενος, ὁ τῷ σωτηρίῳ πάθει τοῦ οὐρανίου τυχὼν ἀξιώματος, ἐσθίων καὶ πίνων Χριστὸν, πρὸς ζωὴν διὰ παντὸς μεθαρμόζεται τὴν ἀίδιον, ψυχὴν καὶ σῶμα τῇ μετοχῇ τῆς θείας ἁγιαζόμενος χάριτος· ὥστε εἴ τις τοῦ ἀχράντου σώματος μετασχεῖν ἐν τῷ τῆς συνάξεως βουληθείη καιρῷ, καὶ ἓν πρὸς αὐτὸ τῇ μετουσίᾳ γενέσθαι, τὰς χεῖρας σχηματίζων εἰς τύπον σταυροῦ, οὕτω προσίτω καὶ δεχέσθω τὴν κοινωνίαν τῆς χάριτος· τοὺς γὰρ ἐκ χρυσοῦ ἢ ἄλλης ὕλης, ἀντὶ χειρὸς, τινὰ δοχεῖα κατασκευάζοντας πρὸς τὴν τοῦ θείου δώρου ὑποδοχὴν, καὶ δι' αὐτῶν τῆς ἀχράντου κοινωνίας ἀξιουμένους, οὐδαμῶς προσιέμεθα· ὡς ξ

προτιμῶντας τῆς τοῦ Θεοῦ εἰκόνος, τὴν ἄψυχον ὕλην καὶ ὑποχείριον· εἰ δέ τις ἀλῷ τῆς ἀχράντου κοινωνίας μεταδιδοὺς τοῖς τοιαῦτα δοχεῖα προσφέρουσιν, ἀφοριζέσθω καὶ αὐτὸς καὶ ὁ ταῦτα ἐπιφερόμενος.

ΚΕΦ. Ε.

Πῶς διδόασι τὴν εἰρήνην οἱ κληρικοί.

Συνόδου Λαοδικείας κανὼν ιθ'.

ιθ' Περὶ τοῦ δεῖν ἰδίᾳ πρῶτον, μετὰ τὰς ὁμιλίας τῶν ἐπισκόπων etc. ut p. 128.

ΚΕΦ. ς.

Περὶ τῶν διακρινομένων κοινωνεῖν ἀπὸ πρεσβυτέρου γεγαμηκότος.

Συνόδου Γαγγρῶν κανὼν γ'.

γ' Εἴ τις διακρίνοιτο παρὰ πρεσβυτέρου γεγαμηκότος, μὴ χρῆναι λειτουργήσαντος αὐτοῦ προσφορᾶς μεταλαμβάνειν, ἀνάθεμα ἔστω.

ΚΕΦ. Ζ.

Περὶ τοῦ μόνοις τοῖς ἱερατικοῖς ἐξεῖναι κοινωνεῖν ἐν τῷ Θυσιαστηρίῳ, καὶ περὶ τοῦ μὴ εἰσιέναι γυναῖκα εἰς τὸ Θυσιαστήριον.

Συνόδου Λαοδικείας κανὼν ιθ' μδ'.

ιθ' Περὶ τοῦ δεῖν ἰδίᾳ πρῶτον, μετὰ τὰς ὁμιλίας τῶν ἐπισκόπων etc. ut p. 128.

μδ' Ὅτι οὐ δεῖ γυναῖκας ἐν τῷ Θυσιαστηρίῳ εἰσέρχεσθαι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξθ' ὁ'.

ξθ' Μὴ ἐξέστω τινὶ τῶν ἁπάντων ἐν λαϊκοῖς τελοῦντι, ἔνδον

ἱεροῦ εἰσιέναι θυσιαστηρίου· μηδαμῶς ἐπὶ τοῦτο τῆς βασιλικῆς εἰργομένης ἐξουσίας καὶ αὐθεντίας, ἡνίκα δ' ἂν βουληθείη δῶρα προσάξαι τῷ πλάσαντι, κατά τινα ἀρχαιοτάτην παράδοσιν.

Μὴ ἐξέστω ταῖς γυναιξὶν ἐν καιρῷ τῆς θείας λειτουργίας λαλεῖν, ἀλλὰ κατὰ τὴν φωνὴν Παύλου τοῦ ἀποστόλου σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάττεσθαι, καθὼς καὶ ὁ νόμος λέγει· πρὸς τὸν ἄνδρα σου γάρ, φησιν, ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· εἴ τι δὲ μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. ὅ

ΚΕΦ. Η.

Πότε προσφέρουσι καὶ διδόασι κοινωνίαν οἱ χωρεπίσκοποι.

Συνόδου Νεοκαισαρείας κανὼν ιγ'.

Ἐπιχώριοι πρεσβύτεροι ἐν τῷ κυριακῷ τῆς πόλεως προσφέρειν οὐ δύνανται, παρόντος ἐπισκόπου ἢ πρεσβυτέρων πόλεως, οὔτε μὴν ἄρτον διδόναι ἐν εὐχῇ οὐδὲ ποτήριον· ἐὰν δὲ ἀπῶσι καὶ εἰς εὐχὴν κληθῇ, μόνος δίδωσιν. ιγ'

ΚΕΦ. Θ.

Περὶ τοῦ μὴ προσφέρειν διάκονον, μήτε διδόναι πρεσβυτέρῳ κοινωνίαν.

Συνόδου Νικαίας κανὼν ιή'.

Ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην σύνοδον etc. ut p. 134.

ΚΕΦ. Ι.

Περὶ φορεσίας καὶ ὑπουργίας ἀναγνωστῶν, ψαλτῶν, καὶ ὑπηρετῶν, καὶ ὅτι οὐ δεῖ ὑπηρέτην ἄρτον διδόναι ἢ ποτήριον εὐλογεῖν.

Συνόδου Λαοδικείας κανὼν κα' κβ' κγ' κε' μγ'.

κα' Ὅτι οὐ δεῖ ὑπηρέτας ἔχειν ἐν τῷ διακονικῷ, καὶ ἅπτεσθαι δεσποτικῶν σκευῶν.

κβ' Ὅτι οὐ δεῖ ὑπηρέτην ὡράριον φορεῖν, οὐδὲ τὰς θύρας ἐγκαταλιμπάνειν.

κγ' Ὅτι οὐ δεῖ ἀναγνώστας ἢ ψάλτας ὡράριον φορεῖν, καὶ οὕτως ἀναγινώσκειν ἢ ψάλλειν.

κε' Ὅτι οὐ δεῖ ὑπηρέτας ἄρτον διδόναι, οὐδὲ ποτήριον εὐλογεῖν.

μγ' Ὅτι οὐ δεῖ ὑπηρέτας, κἂν βραχὺ, τὰς θύρας ἐγκαταλείπειν, καὶ τῇ εὐχῇ σχολάζειν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν κζ'.

κζ' Μηδεὶς τῶν ἐν κλήρῳ καταλεγομένων, ἀνοίκειον ἐσθῆτα ἀμφιεννύσθω, μήτε ἐν πόλει διάγων, μήτε ἐν ὁδῷ βαδίζων· ἀλλὰ στολαῖς κεχρήσθω ταῖς ἤδη τοῖς ἐν κλήρῳ καταλεγομένοις ἀπονεμηθείσαις· εἰ δέ τις διαπράξοιτό τι τοιοῦτον, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν ις'.

Ὅτι οὐ δεῖ ἱερατικὸν ἄνδρα ἱμάτια πολυτελῆ ἀμφιέννυσθαι.

ις' Πᾶσα βλακεία καὶ κόσμησις σωματικὴ, ἀλλότριά εἰσι τῆς ἱερατικῆς καταστάσεώς τε καὶ τάξεως· τοὺς οὖν ἑαυτοὺς κοσμοῦντας ἐπισκόπους ἢ κληρικοὺς, δι' ἐσθήτων λαμπρῶν καὶ περιφανῶν, τούτους διορθοῦσθαι χρὴ· εἰ δὲ ἐπιμένοιεν, ἐπιτιμίῳ παραδίδοσθαι· ὡσαύτως καὶ τοὺς τὰ μύρα χριο-

μένους· ἐπειδὴ δὲ ῥίζα πικρίας ἄνω φύουσα, μίασμα γέγονε τῇ καθολικῇ ἐκκλησίᾳ, ἡ τῶν χριστιανοκατηγόρων αἵρεσις, καὶ οἱ ταύτην δεξάμενοι οὐ μόνον τὰς εἰκονικὰς ἀναζωγραφήσεις ἐβδελύξαντο, ἀλλὰ καὶ πᾶσαν εὐλάβειαν ἀπώσαντο, τοῖς σεμνῶς καὶ εὐσεβῶς βιοῦσι προσοχθίζοντες· καὶ πεπλήρωται ἐπ' αὐτοῖς τὸ γεγραμμένον, βδέλυγμα ἁμαρτωλῷ θεοσέβεια· εἰ εὑρεθῶσι τοίνυν ἐγγελῶντες τοῖς τὴν εὐτελῆ καὶ σεμνὴν ἀμφίασιν περικειμένοις, δι' ἐπιτιμίου διορθούσθωσαν· ἐκ γὰρ τῶν ἄνωθεν χρόνων πᾶς ἱερατικὸς ἀνὴρ, μετὰ σεμνῆς καὶ μετρίας ἀμφιάσεως ἐπολιτεύετο· πᾶν γὰρ ὃ μὴ διὰ χρείαν ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περιπερείας ἔχει κατηγορίαν, ὡς ὁ μέγας ἔφη Βασίλειος· ἀλλ' οὐδὲ ἐκ σηρικῶν ὑφασμάτων πεποικιλμένην ἐσθῆτα ἐνδέδυτό τις, οὐδὲ προσετίθεσαν ἑτερόχροα ἐπιβλήματα ἐν τοῖς ἄκροις τῶν ἱματίων· ἤκουσαν γὰρ ἐκ τῆς θεοφθόγγου γλώττης, ὅτι οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν.

ΚΕΦ. ΙΑ.

Περὶ τῶν διαγόντων ἐν πόλει, καὶ ἐπὶ τρεῖς ἑβδομάδας μὴ κοινωνούντων.

Συνόδου Σαρδικῆς κανὼν ια'.

ια' "Οσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο δὲ ὁρίσαι ὀφείλομεν, ἵνα ὁ ἐπίσκοπος ὅταν ἐξ ἑτέρας πόλεως παραγένηται εἰς ἑτέραν πόλιν, ἢ ἀπὸ ἑτέρας ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν κόμπου χάριν, ἐγκωμίοις οἰκείοις ὑπηρετούμενος, ἢ θρησκείας καθοσιώσει, καὶ πλείονα χρόνον βούλοιτο διάγειν, καὶ μὴ ὁ τῆς πόλεως ἐκείνης ἐπίσκοπος ἔμπειρος ᾖ διδασκαλίας, μὴ καταφρονῇ ἐκείνου, καὶ συνεχέστερον ὁμιλῇ, καταισχύνειν καὶ κατευτελίζειν τὸ πρόσωπον τοῦ αὐτόθι ἐπισκόπου σπουδάζων·

αὕτη γαρ ἡ πρόφασις εἴωθε ταράχους παρέχειν· καὶ ἐκ τῆς τοιαύτης πανουργίας τὴν ἀλλοτρίαν καθέδραν ἑαυτῷ προμνηστεύεσθαι καὶ παρασπᾷν σπουδάζει, μὴ διστάζων τὴν αὐτῷ παραδοθεῖσαν ἐκκλησίαν καταλιμπάνειν, καὶ εἰς ἑτέραν μεθίστασθαι· ὁριστέον τοίνυν ἐπὶ τούτῳ χρόνῳ, ἐπειδὴ καὶ τὸ μὴ ὑποδέχεσθαι ἐπίσκοπον, τῶν ἀπανθρώπων καὶ σκαιῶν εἶναι νενόμισται· μέμνησθε δὲ ἐν τῷ προάγοντι χρόνῳ τοὺς πατέρας ἡμῶν κεκρικέναι, ἵνα εἴ τις λαϊκὸς ἐν πόλει διάγων τρεῖς κυριακὰς ἡμέρας, ἐν τρισὶν ἑβδομάσι, μὴ συνέρχοιτο, ἀποκινοῖτο τῆς κοινωνίας· εἰ τοίνυν περὶ τῶν λαϊκῶν τοῦτο τεθέσπισται, οὐ χρὴ οὐδὲ πρέπει ἀλλ' οὐδὲ συμφέρει ἐπίσκοπον, εἰ μηδεμίαν βαρυτέραν ἀνάγκην ἔχοι, ἢ πρᾶγμα δυσχερὲς, ἐπὶ πλεῖσον ἀπολείπεσθαι τῆς ἑαυτοῦ ἐκκλησίας, καὶ λυπεῖν τὸν ἐμπεπιστευμένον αὐτῷ λαόν.

Ἅπαντες οἱ ἐπίσκοποι εἰρήκαν· καὶ ταύτην τὴν γνώμην σφόδρα εἶναι πρεπωδεστάτην, ὁριζόμεθα.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν π'.

π' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ τῶν ἐν κλήρῳ καταλεγομένων, ἢ λαϊκὸς, εἰ μηδεμίαν ἀνάγκην βαρυτέραν ἔχει, ἢ πρᾶγμα δυσχερὲς, ὥςε ἐπὶ πλείςον ἀπολείπεσθαι τῆς αὐτοῦ ἐκκλησίας, ἀλλ' ἐν πόλει διάγων τρεῖς κυριακὰς ἡμέρας, ἐν τρισὶν ἑβδομάσι, μὴ συνέρχοιτο, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀποκινείτω τῆς κοινωνίας.

ΚΕΦ. ΙΒ.

Περὶ τῶν ἀκουόντων τῶν γραφῶν, καὶ προσκαρτερούντων τῇ τελευταίᾳ εὐχῇ, καὶ μεταλαμβανόντων.

Ἀποστόλων κανὼν η' θ'.

η' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἐκ τοῦ

καταλόγου τοῦ ἱερατικοῦ, προσφορᾶς γενομένης μὴ μεταλάβοι, τὴν αἰτίαν εἰπάτω· καὶ ἐὰν ᾖ εὔλογος, συγγνώμης τυγχανέτω· εἰ δὲ μὴ λέγει, ἀφοριζέσθω, ὡς αἴτιος βλάβης γενόμενος τῷ λαῷ, καὶ ὑπόνοιαν ἐμποιήσας κατὰ τοῦ προσενεγκόντος, ὡς μὴ ὑγιῶς ἀνενέγκαντος.

Πάντας τοὺς εἰσιόντας πιστοὺς καὶ τῶν γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας τῇ ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή. θ'

Συνόδου Ἀντιοχείας κανὼν β'.

Πάντας τοὺς εἰσιόντας εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ τῶν ἱερῶν γραφῶν ἀκούοντας, μὴ κοινωνοῦντας δὲ εὐχῆς ὅμα τῷ λαῷ, ἢ ἀποστρεφομένους τὴν ἁγίαν μετάληψιν τῆς εὐχαριστίας κατά τινα ἀταξίαν, τούτους ἀποβλήτους γίνεσθαι τῆς ἐκκλησίας, ἕως ἂν ἐξομολογησάμενοι, καὶ δείξαντες καρποὺς μετανοίας, καὶ παρακαλέσαντες, τυχεῖν δυνηθῶσι συγγνώμης· μὴ ἐξεῖναι δὲ κοινωνεῖν τοῖς ἀκοινωνήτοις, μὴ δὲ κατ' οἴκους συνελθόντας συνεύχεσθαι τοῖς μὴ τῇ ἐκκλησίᾳ συνευχομένοις· μὴ δὲ ἐν ἑτέρᾳ ἐκκλησίᾳ ὑποδέχεσθαι τοὺς ἐν ἑτέρᾳ ἐκκλησίᾳ μὴ συναγομένους· εἰ δὲ φανείη τίς τῶν ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων, ἢ τίς τοῦ κανόνος τοῖς ἀκοινωνήτοις κοινωνῶν, καὶ τοῦτον ἀκοινώνητον εἶναι, ὡς ἂν συγχέοντα τὸν κανόνα τῆς ἐκκλησίας. β'

ΚΕΦ. ΙΓ.

Περὶ δαιμονιζομένων, πῶς κοινωνοῦσιν ἢ οὔ.

Ἀποστόλων κανὼν οθ'.

Ἐάν τις δαίμονα ἔχῃ, κληρικὸς μὴ γινέσθω, ἀλλὰ μὴ δὲ τοῖς πιστοῖς συνευχέσθω· καθαρισθεὶς δὲ, προσδεχέσθω· καὶ ἐὰν ᾖ ἄξιος, γινέσθω. οθ'

Τιμοθέου Ἀλεξανδρείας κανὼν γ'. – Ἐρώτησις.

γ' Ἐάν τις πιστὸς ὢν δαιμονίζηται, εἰ ὀφείλει μεταλαμβάνειν τῶν ἁγίων μυστηρίων ἢ σῦ;

Ἀπόκρισις.

Ἐὰν μὴ ἐξαγορεύῃ τὸ μυστήριον, μήτε ἄλλως πῶς βλασφημῇ, μεταλαμβανέτω· μὴ μέν τοι καθεκάστην, ἀρκεῖ γὰρ αὐτῷ κατὰ κυριακὴν μόνον.

ΚΕΦ. ΙΔ.

Περὶ τῶν ἔξωθεν ἐκκλησίας προσφερόντων, ἢ ἐκκλησιαζόντων.

Ἀποστόλων κανὼν λά'.

λά' Εἴ τις πρεσβύτερος καταφρονήσας etc. ut p. 124.

Συνόδου Γαγγρῶν κανὼν ς'.

ς' Εἴ τις παρὰ τὴν ἐκκλησίαν ἰδίᾳ ἐκκλησιάζοι, καὶ καταφρονῶν τῆς ἐκκλησίας, τῶν τῆς ἐκκλησίας ἐθέλοι τί πράττειν, μὴ συνόντος πρεσβυτέρου κατὰ γνώμην τοῦ ἐπισκόπου, ἀνάθεμα ἔστω.

Συνόδου Ἀντιοχείας κανὼν β' ε'.

β' Πάντας τοὺς εἰσιόντας εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ τῶν ἱερῶν γραφῶν ἀκούοντας, μὴ κοινωνοῦντας δὲ εὐχῆς ἅμα τῷ λαῷ, ἢ ἀποστρεφομένους τὴν ἁγίαν μετάληψιν τῆς εὐχαριστίας κατά τινα ἀταξίαν, τούτους ἀποκλήπτους γίνεσθαι τῆς ἐκκλησίας· ἕως ἂν ἐξομολογησάμενοι, καὶ δείξαντες καρποὺς μετανοίας, καὶ παρακαλέσαντες, τυχεῖν συνηθῶσι συγγνώμης· μὴ ἐξεῖναι δὲ κοινωνεῖν τοῖς ἀκοινωνήτοις, μὴ δὲ κατ' οἴκους συνελθόντας συνεύχεσθαι, τοῖς μὴ τῇ ἐκκλησίᾳ συνευχομένοις· μὴ δὲ ἐν ἑτέρᾳ ἐκκλησίᾳ ὑποδέχεσθαι τοὺς ἐν ἑτέρᾳ ἐκκλησίᾳ μὴ συναγομένους· εἰ δὲ φανείη τίς τῶν ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, ἢ τίς τοῦ κανόνος

τοῖς ἀκοινωνήτοις κοινωνῶν, καὶ τοῦτον ἀκοινώνητον εἶναι, ὡς συγχέοντα τὸν κανόνα τῆς ἐκκλησίας.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, καταφρονήσας τοῦ ἰδίου ε' ἐπισκόπου, ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας etc. ut p. 124.

Συνόδου Λαοδικείας κανὼν νη'.

Ὅτι οὐ δεῖ ἐν τοῖς οἴκοις προσφορὰς γίνεσθαι παρὰ ἐπι- νη' σκόπου ἢ πρεσβυτέρου.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν λα' νθ'.

Τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις ἔνδον οἰκίας τυγχάνουσι λα' λειτουργοῦντας κληρικοὺς, ὑπὸ γνώμην τοῦτο πράττειν τοῦ κατὰ τὸν τόπον ἐπισκόπου ὁρίζομεν· ὥστε εἴ τις κληρικὸς μὴ τοῦτο οὕτως παραφυλάξοι, καθαιρείσθω.

Μηδεὶς ἐν εὐκτηρίῳ οἴκῳ ἔνδον οἰκίας τυγχάνοντι βάπτι- νθ' σμα ἐπιτελείσθω, ἀλλ' οἱ μέλλοντες ἀξιοῦσθαι τοῦ ἀχράντου βαπτίσματος, ταῖς καθολικαῖς προσερχέσθωσαν ἐκκλησίαις, κἀκεῖσε τῆς δωρεᾶς ταύτης ἀπολαυέτωσαν· εἰ δέ τις ἀλῷ τὰ παρ' ἡμῶν ὁρισθέντα μὴ φυλάττων, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Ἡ ζ' διάταξις τοῦ α' τίτ. τῶν νεαρῶν, καὶ ἡ γ' τοῦ β' τίτ. φασὶ, ὅτι δεῖ τὸν θέλοντα εὐκτήριον ἢ ἐκκλησίαν κτίσαι, διαλέγεσθαι περὶ τούτου τῷ τῆς πόλεως ἐπισκόπῳ, καὶ δωρεῖσθαι τὰ ἀρκοῦντα πρὸς τὴν λυχνοκαΐαν, καὶ τὴν ἱερὰν λειτουργίαν, καὶ τὴν ἀδιάφθορον τοῦ τόπου τήρησιν, καὶ τὴν ἀποτροφὴν τῶν προσεδρευόντων· καὶ τότε τὸν ἐπίσκοπον τὸ πρᾶγμα πᾶσι φανερῶντα δημοσίᾳ ἐκεῖσε προσιέναι, καὶ σὺν εὐχῇ πηγνύναι σταυρὸν, καὶ τότε τὸ ἔργον ἄρχεται· καὶ ὅτι ὁ ἀρξάμενος νέον κτίζειν ἢ παλαιὸν ἀνανεοῦν, ἀναγκάζεται μετὰ κληρονόμων αὐτοῦ παρὰ τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου καὶ τοῦ ἄρχοντος, τὸ ἀρχθὲν πληρῶσαι· εἰ δέ τις ἐν

ἰδιωτικῷ οἴκῳ, προαστείῳ, ἢ χωρίῳ, ἱερὰν ἐκτελέσει λειτουργίαν, ἢ τισὶν ἐκτελέσαι συγχωρήσει, δίχα κληρικῶν ἀφοριζομένων παρὰ τοῦ τῶν τόπων ἐπισκόπου, ὁ τόπος ἐν ᾧ τοῦτο γέγονεν, ἐν εἰδήσει τοῦ δεσπότου, προσκυροῦται τῇ ἐκκλησίᾳ, διὰ τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου καὶ τοῦ ἄρχοντος, κατὰ τὴν γ' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν· ἡ γὰρ ς' διάτ. τοῦ α' τίτ. τῶν αὐτῶν νεαρῶν, εἶπεν αὐτὸν φισκοῦσθαι· καὶ ἡ ιε' διάτ. τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. εἰ δὲ ἠγνόησε τὸ γινόμενον ὁ δεσπότης, οὐ ζημιοῦται· ἀλλ' οἱ γινώσκοντες φροντισταὶ καὶ μισθωταὶ καὶ ἐμφυτευταὶ ἐξορίζονται τῆς ἐπαρχίας, τῶν πραγμάτων αὐτῶν προσκαρουμένων τῇ ἐκκλησίᾳ· οἱ δὲ ὕπαρχοι ταῦτα παρορῶντες ἐν εἰδήσει, ν' λίτρας ζημιοῦνται· καὶ ἡ τάξις ν'· ἔξεστι μέν τοι τοῖς ἔχουσιν ἐν τοῖς οἴκοις αὐτῶν εὐκτήρια εὔχεσθαι, οὐ μὴν καὶ λειτουργίαν παρὰ τὰ εἰρημένα ποιεῖν.

ΚΕΦ. ΙΕ.

Περὶ ἐπισκόπων ἢ κληρικῶν, συγκοινωνούντων ἢ συνευχομένων αἱρετικοῖς, ἢ ἰουδαίοις, ἢ ἐπιτρεπόντων αὐτοῖς ἐνεργεῖν, ἢ δεχομένων αὐτῶν θυσίαν.

Ἀποστόλων κανὼν ι' με' μς'.

ι' Εἴ τις ἀκοινωνήτῳ κἂν ἐν οἴκῳ συνεύξεται, οὗτος ἀφοριζέσθω.

με' Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος αἱρετικοῖς συνευξάμενος, μόνον ἀφοριζέσθω· εἰ δὲ καὶ ἐπέτρεψεν αὐτοῖς ὡς κληρικοῖς ἐνεργῆσαί τι, καθαιρείσθω.

μς' Ἐπίσκοπον ἢ πρεσβύτερον αἱρετικῶν δεξαμένους βάπτισμα ἢ θυσίαν, καθαιρεῖσθαι προσάσσομεν· τίς γὰρ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;

Συνόδου Ἀντιοχείας κανὼν β'.

Πάντας τοὺς εἰσιόντας εἰς τὴν ἐκκλησίαν etc. ut p. 146. β'

Συνόδου Λαοδικείας κανὼν λγ'.

Ὅτι οὐ δεῖ αἱρετικοῖς ἢ σχισματικοῖς συνεύχεσθαι. λγ'

Ἡ δ' διάταξις τοῦ γ' τίτ. τῶν νεαρῶν, φησὶν ὅτι συνάγοντες οἱ αἱρετικοὶ καὶ οἱ πρὸς αὐτοὺς συναγόμενοι, τὰς ἀπὸ τῶν διατάξεων ποινὰς ὑπομένουσι· καὶ οἱ οἶκοι, ἐν οἷς ἁμαρτάνεται τοῦτο, τῇ ἁγίᾳ ἐκκλησίᾳ προσκυροῦνται.

ΚΕΦ. Ις.

Περὶ τοῦ μὴ δεῖν τὰ ἅγια, λόγῳ εὐλογιῶν, εἰς τὰς παροικίας πέμπεσθαι.

Συνόδου Λαοδικείας κανὼν ιδ'.

Περὶ τοῦ μὴ τὰ ἅγια εἰς λόγον εὐλογιῶν κατὰ τὴν ἑορτὴν τοῦ πάσχα, εἰς ἑτέρας παροικίας διαπέμπεσθαι. ιδ'

ΚΕΦ. ΙΖ.

Περὶ τοῦ μὴ διδόναι τοῖς σώμασι τῶν τελευτώντων κοινωνίαν.

Συνόδου Καρθαγένης κανὼν ιη'.

Ἐάν τις κληρικὸς χειροτονῆται, ὀφείλει ὑπομιμνήσκεσθαι τοὺς ὅρους φυλάττειν, καὶ ἵνα τοῖς σώμασι τῶν ἀποθανόντων εὐχαριστία μὴ δίδωται, μὴ δὲ βάπτισμα· καὶ ἵνα καθ' ἕκαστον ἐνιαυτὸν εἰς πάσας τὰς ἐπαρχίας πρὸς σύνοδον οἱ μητροπολῖται ἔρχωνται. ιη'

Ὁμοίως ἤρεσεν ὥστε χειροτονουμένου ἐπισκόπου ἢ κληρικοῦ, πρότερον ἀπὸ τῶν χειροτονούντων αὐτοὺς τὰ δεδογμένα ταῖς συνόδοις εἰς τὰς ἀκοὰς αὐτῶν ἐντίθεσθαι· ἵνα μὴ πειθῶντες κατὰ τῶν ὅρων τῆς συνόδου τί, μεταμεληθῶσιν·

ὁμοίως ἤρεσεν ἵνα τοῖς σώμασι τῶν τελευτώντων, εὐχαριστία μὴ δοθῇ· γέγραπται γὰρ, λάβετε φάγετε· τὰ δὲ τῶν νεκρῶν σώματα, οὐδὲ λαβεῖν δύνανται οὐδὲ φαγεῖν· καὶ ἵνα μὴ τοὺς ἤδη τελευτῶντας, βαπτισθῆναι ποιήσῃ ἡ τῶν πρεσβυτέρων ἄγνοια· καὶ τοῦτο δὲ βεβαιωτέον ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ, ὥστε κατὰ τοὺς ἐν Νικαίᾳ ὅρους, διὰ τὰς ἐκκλησιαστικὰς αἰτίας, αἵ τινες πολλάκις πρὸς ὄλεθρον τοῦ λαοῦ παλαιοῦνται, καθ' ἕκαστον ἐνιαυτὸν σύνοδον συγκαλεῖσθαι, πρὸς ἣν πάντες οἱ τῶν ἐπαρχιῶν τὰς πρώτας καθέδρας ἐπέχοντες ἐκ τῶν οἰκείων συνόδων δύο, ἢ καὶ ὅσους ἐπιλέξονται, ἐπισκόπους τηρητὰς ἀποστείλωσιν, ἵνα ἐν τῇ συναχθείσῃ συνελεύσει, πλήρης εἶναι δυνηθῇ ἡ αὐθεντία.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν πγ'.

πγ' Μηδεὶς τοῖς σώμασι τῶν τελευτώντων, τῆς εὐχαριστίας μεταδιδότω· γέγραπται γὰρ, λάβετε φάγετε· τὰ δὲ τῶν νεκρῶν σώματα, οὐδὲ λαβεῖν δύνανται οὐδὲ φαγεῖν.

ΚΕΦ. ΙΗ.

Περὶ τοῦ μὴ χρῆναι γυναῖκα ἐν ταῖς ἡμέραις τῆς καθάρσεως αὐτῆς κοινωνεῖν.

Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς, κεφ. β'.

β' Περὶ τῶν ἐν ἀφέδρῳ γυναικῶν, εἰ προσῆκεν αὐτὰς οὕτω διακειμένας, εἰς τὸν οἶκον εἰσιέναι τοῦ Θεοῦ, περιττὸν καὶ τὸ πυνθάνεσθαι νομίζω· οὐδὲ γὰρ αὐτὰς πιστὰς οὔσας οἶμαι καὶ εὐλαβεῖς τολμήσειν οὕτω διακειμένας, ἢ τῇ τραπέζῃ τῇ ἁγίᾳ προσελθεῖν, ἢ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ προσάψασθαι· οὐδὲ γὰρ ἡ τὴν ῥωδεκαετῆ ῥύσιν ἔχουσα, πρὸς τὴν ἴασιν ἔθιγεν αὐτοῦ, ἀλλὰ μόνου τοῦ κρασπέδου· προσεύχεσθαι μὲν γὰρ ὅπως ἂν ἔχῃ τίς, καὶ ὡς

ἂν διάκειται μεμνῆσθαι τοῦ δεσπότου, καὶ δεῖσθαι βοηθείας τυχεῖν, ἀνεπίφθονον· εἰς δὲ τὰ ἅγια καὶ τὰ ἅγια τῶν ἁγίων, ὁ μὴ πάντη καθαρὸς καὶ ψυχῇ καὶ σώματι προσιέναι, κωλυθήσεται.

Τιμοθέου Ἀλεξανδρείας κανὼν ζ'. – Ἐρώτησις.

Ἐὰν γυνὴ ἴδῃ τὰ κατ' ἔθος τῶν γυναικείων αὐτῆς, εἰ ζ
ὀφείλει προσέρχεσθαι τοῖς μυστηρίοις, αὐτῇ τῇ ἡμέρᾳ, ἢ οὔ;

Ἀπόκρισις.

Οὐκ ὀφείλει, ἕως ἂν καθαρισθῇ.

ΚΕΦ. ΙΘ.

Περὶ τοῦ μὴ γίνεσθαι ἀναφορὰν, παρόντος αἱρετικοῦ.

Τιμοθέου Ἀλεξανδρείας κανὼν θ'. – Ἐρώτησις.

Εἰ ὀφείλει κληρικὸς εὔχεσθαι παρόντων ἀρειανῶν ἢ ἄλ- θ
λων αἱρετικῶν; ἢ εἰ σὺδὲν αὐτὸν βλάπτει ὁπόταν αὐτὸς ποιῇ τὴν εὐχὴν, ἤγουν τὴν προσφοράν;

Ἀπόκρισις.

Ἐν τῇ θείᾳ ἀναφορᾷ ὁ διάκονος προσφωνεῖ πρὸ τοῦ ἀσπασμοῦ, οἱ ἀκοινώνητοι περιπατήσατε· οὐκ ὀφείλουσιν οὖν παρεῖναι, εἰ μὴ ἂν ἐπαγγέλλωνται μετανοεῖν, καὶ ἐκφεύγειν τὴν αἵρεσιν.

ΚΕΦ. Κ.

Πῶς ὁ ὀνειρασθεὶς κοινωνεῖ.

Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κεφ. δ'.

Οἱ δὲ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι, καὶ οὗ- γ
τοι τῷ ἰδίῳ συνειδότι κατακολουθήτωσαν· καὶ ἑαυτοὺς, εἴτε διακρίνονται περὶ τοῦτο, εἴτε μὴ, σκοπείτωσαν· ὡς γὰρ ἐπὶ τῶν βρωμάτων ὁ διακρινόμενος φησὶν· ἐὰν φάγῃ, κατακέκρι-

ται· οὕτω καὶ ἐν τούτοις εὐσυνείδητος ἔσω καὶ εὐπαρρησίαστος κατὰ τὸ ἴδιον ἐνθύμιον πᾶς ὁ προσιὼν τῷ Θεῷ.

Τιμοθέου κανὼν ιβ'. - Ἐρώτησις.

ιβ' Ἐὰν ὀνειρασθεὶς λαϊκὸς ἐρωτήσῃ κληρικὸν, εἰ ὀφείλει ἐπιτρέψαι αὐτῷ κοινωνῆσαι, ἢ οὔ;

Ἀπόκρισις.

Εἰ μὲν ὑπόκειται ἐπιθυμίᾳ γυναικὸς, οὐκ ὀφείλει· εἰ δὲ ὁ σατανᾶς πειράζει αὐτὸν ἵνα διὰ τῆς προφάσεως ταύτης ἀλλοτριῶται τῆς κοινωνίας τῶν θείων μυστηρίων, ὀφείλει κοινωνῆσαι· ἐπεὶ οὐ παύεται ὁ πειράζων κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε ὀφείλει κοινωνεῖν, ἐπιτιθέμενος αὐτῷ.

ΚΕΦ. ΚΑ.

Πότε δεῖ τῆς γαμετῆς διὰ τὴν κοινωνίαν ἀπέχεσθαι.

Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κεφ. γ'.

γ' Αὐτάρκεις δὲ καὶ οἱ γεγαμηκότες ἑαυτῶν ὀφείλουσιν εἶναι κριταὶ· ὅτι γὰρ ἀπέχεσθαι προσῆκον ἀλλήλων ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσωσι τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ὦσιν, ἀκηκόασι Παύλου γράφοντος.

Τιμοθέου κανὼν ε' ιγ'. - Ἐρώτησις.

ε' Ἐὰν γυνὴ συγγένηται μετὰ τοῦ ἀνδρὸς αὐτῆς τὴν νύκτα, ἤγουν ἀνὴρ μετὰ τῆς γυναικὸς, καὶ γένηται σύναξις, εἰ ὀφείλουσι μεταλαβεῖν, ἢ οὔ;

Ἀπόκρισις.

Οὐκ ὀφείλουσι παραυτά· τοῦ ἀποστόλου βοῶντος, μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

Ἐρώτησις.

Τοῖς ζευγνυμένοις εἰς γάμου κοινωνίαν, περὶ ποίων ἡμε- ιγ'
ρῶν τῆς ἑβδομάδος παρατίθεσθαι χρὴ, ἀπέχεσθαι τῆς πρὸς
ἀλλήλους κοινωνίας, καὶ ποίας ἔχειν ἐπ' ἐξουσίας;

Ἀπόκρισις.

« Ὃ προείρηκα καὶ νῦν λέγω· ὁ ἀπόστολος λέγει· μὴ
» ἀποστερεῖτε ἀλλήλους, εἰ μήτε ἂν ἐκ συμφώνου πρὸς καὶ-
» ρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ
» ἦτε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν
ὑμῶν· ἐξ ἀνάγκης τὸ σάββατον καὶ τὴν κυριακὴν ἀπέχεσθαι
δεῖ, διὰ τὸ ἐν αὐταῖς τὴν πνευματικὴν θυσίαν ἀνεφέρε-
σθαι τῷ θεῷ.

ΚΕΦ. ΚΒ.

Πῶς γίνεται προσφορὰ ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος.

Τιμοθέου κανὼν ιδ'. – Ἐρώτησις.

Ἐάν τις μὴ ἔχων, ἑαυτὸν χειρώσηται ἢ κρημνίσῃ, εἰ ιδ'
γίνεται προσφορὰ ὑπὲρ αὐτοῦ, ἢ οὔ;

Ἀπόκρισις.

Διακρίναι ὀφείλει ὁ κληρικὸς εἰ τὸ ἀληθὲς, ἐκφρενὴς ὢν
πεποίηκε τοῦτο· πολλάκις γὰρ οἱ διαφέροντες τῷ πεπονθότι,
θέλοντες ἐπιτυχεῖν τῆς προσφορᾶς τῆς ὑπὲρ αὐτοῦ, ψεύ-
δονται καὶ λέγουσιν ὅτι οὐκ εἶχεν ἑαυτὸν· ἐνίοτε δὲ ἀπὸ ἐπ-
ηρείας ἀνθρώπων, ἢ ἄλλως πῶς ἀπὸ ὀλιγωρίας πεποίηκε
τοῦτο, καὶ οὐ χρὴ προσφέρειν ἐπάνω αὐτοῦ γενέσθαι· αὐτο-
φονευτὴς γὰρ ἑαυτοῦ ἐστὶ· δεῖ οὖν πάντως τὸν κληρικὸν μετὰ
ἀκριβείας ἀνερευνῆσαι, ἵνα μὴ ὑπὸ κρίματι πέσῃ.

Ὁ πολιτικὸς νόμος τὸν ἑαυτὸν ἀνελόντα, ἢ ἀνελεῖν ἐπι-
χειρήσαντα διὰ φόβον ἐγκλήματος, οὐ μὴν διὰ νόσον ἢ μῖσος

τῆς ζωῆς, τιμωρεῖται ὡς τὸν ἕτερον ἀνελόντα, καὶ θημεύει τὴν οὐσίαν αὐτοῦ· ὡς βιβλ. μή τίτ. κά, καὶ βιβλ. Θ τοῦ κώδ. τίτ. ν.

ΤΙΤΛΟΣ Δ.

ΠΕΡΙ ΚΑΤΗΧΟΥΜΕΝΩΝ ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ.

TITULUS IV.

DE CATECHUMENIS ET DE SANCTO BAPTISMATE.

ΚΕΦ. Α.

Περὶ τοῦ μὴ ὀφείλειν μετὰ δύο ἑβδομάδας τῆς τεσσαρακοστῆς, δέχεσθαι πρὸς τὸ φώτισμα.

Συνόδου Λαοδικείας κανὼν μέ.

μέ Ὅτι οὐ δεῖ μετὰ δύο ἑβδομάδας δέχεσθαι, εἰς τὸ φώτισμα, τῆς τεσσαρακοστῆς.

ΚΕΦ. Β.

Περὶ τῶν ἐφορκιζόντων.

Συνόδου Λαοδικείας κανὼν κς.

κς Ὅτι οὐ δεῖ ἐφορκίζειν τοὺς μὴ προαχθέντας ὑπὸ ἐπισκόπων, μήτε ἐν ταῖς ἐκκλησίαις, μήτε ἐν ταῖς οἰκίαις.

ΚΕΦ. Γ.

Πῶς δεῖ βαπτίζειν.

Ἀποστόλων κανὼν μΘ ν.

μΘ Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, κατὰ τὴν τοῦ κυρίου διάταξιν μὴ βαπτίσει εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦ-

μα, ἀλλ' εἰς τρεῖς ἀνάρχους, ἢ εἰς τρεῖς υἱοὺς, ἢ εἰς τρεῖς παρακλήτους, καθαιρείσθω.

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, μὴ τρία βαπτίσματα ν' μιᾶς μυήσεως ἐπιτελέσει, ἀλλ' ἓν βάπτισμα τὸ εἰς τὸν θάνατον τοῦ κυρίου διδόμενον, καθαιρείσθω· οὐ γὰρ εἶπεν ὁ κύριος εἰς τὸν θάνατόν μου βαπτίσατε, ἀλλὰ πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Συνόδου οἰκουμενικῆς ἕκτης, κανὼν νθ'.

Μηδεὶς ἐν εὐκτηρίῳ εἰκῷ etc. ut p. 147. νθ'

ΚΕΦ. Δ.

Περὶ τοῦ χρῆναι τοὺς φωτιζομένους ἀπαγγέλλειν τὴν πίστιν.

Συνόδου Λαοδικείας κανὼν μς' μζ'.

Ὅτι δεῖ τοὺς φωτιζομένους, τὴν πίστιν ἐκμανθάνειν· καὶ μς' τῇ πέμπτῃ τῆς ἑβδομάδος, ἀπαγγέλλειν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις.

Ὅτι δεῖ τοὺς ἐν νόσῳ παραλαμβάνοντας τὸ φώτισμα, μζ' καὶ εἶτα ἀναστάντας, ἐκμανθάνειν τὴν πίστιν, καὶ γινώσκειν ὅτι θείας δωρεᾶς κατηξιώθησαν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν σή'.

Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν, καὶ σή' τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις.

Ἡ ί διάταξις τοῦ ή τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. παρακελεύεται τοὺς ἕλληνας, μικροὺς μὲν ὄντας, χωρὶς ἀναβολῆς βαπτίζεσθαι· τοὺς δὲ τελείους, πρότερον τὰς γραφὰς κατὰ τοὺς ἁγίους κανόνας διδασκομένους· καὶ ἰσέον ὅτι οὐχ' εὑρίσκομεν κανόνας τοιοῦτόν τι διαγορεύοντας· ἡ δὲ β' διάτ.

τοῦ γ' τίτ. τῶν νεαρῶν, β' οὖσα περὶ σαμαρειτῶν, κειμένη δὲ ἐν τῷ ῥητῷ τῶν ἐν τῷ πατριαρχείῳ βιβλίων ρλγ', θεσπίζει μὴ προχείρως τοὺς σαμαρείτας ἐπὶ τὸ ἅγιον δέχεσθαι βάπτισμα, ἀλλὰ τοὺς μὲν χρηστῆς διδασκαλίας αἰσθανομένους, ἐπὶ διετίαν κατηχεῖσθαι, καὶ οὕτως βαπτίζεσθαι· τοὺς δὲ νέους πάνυ, καὶ τῆς διδασκαλίας οὐ συνιέντας, καὶ χωρὶς τῆς παρατηρήσεως ταύτης, ἀξιοῦσθαι τοῦ ἁγίου βαπτίσματος.

ΚΕΦ. Ε.

Περὶ τοῦ βαπτίζεσθαι τοὺς ἀγνοοῦντας εἰ ἐβαπτίσθησαν.

Συνόδου Καρθαγέννης κανὼν οβ'.

Περὶ νηπίων ὀφειλόντων βαπτίζεσθαι ὁσάκις ἀμφιβάλλεται περὶ αὐτῶν εἰ ἄρα ἐβαπτίσθησαν.

οβ' Ὁμοίως ἤρεσε περὶ τῶν νηπίων, ὁσάκις μὴ εὑρίσκονται βέβαιοι μάρτυρες οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ αὐτὰ διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνεσθαι ἐπιτηδείως ἔχουσι, χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι, μή ποτε ὁ τοιοῦτος διαταγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως· ἐκ τούτου γὰρ οἱ τοποτηρηταὶ τῶν Μαύρων ἀδελφοὶ ἡμῶν τοῦτο ἐβουλεύσαντο, ὅτι πολλοὺς τοιούτους ἀπὸ τῶν βαρβάρων ἐξαγοράζονται.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν πδ'.

πδ' Τοῖς κανονικοῖς τῶν πατέρων θεσμοῖς κατακολουθοῦντες, ὁρίζομεν καὶ περὶ τῶν νηπίων· ὁσάκις μὴ εὑρίσκονται βέβαιοι μάρτυρες οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ ταῦτα διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνασθαι ἐπιτηδείως ἔχουσι, χωρίς

τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι, μή ποτε ὁ τοιοῦτος διςαγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως.

ΚΕΦ. ς.

Περὶ τοῦ μὴ βαπτίζεσθαι τοὺς τελευτήσαντας.

Συνόδου Καρθαγέννης κανὼν ιή.

Ἐάν τις κληρικὸς χειροτονῆται etc. ut p. 149.

Ὁμοίως ἤρεσεν ὥστε χειροτονουμένου ἐπισκόπου ἢ κληρικοῦ etc. ut p. 149.

ΚΕΦ. Ζ.

Περὶ τῶν πρὸ τοῦ βαπτίσματος ἁμαρτανόντων, καὶ περὶ κατηχουμένων παραπιπτόντων.

Συνόδου Νικαίας κανὼν ιδ'.

Περὶ τῶν κατηχουμένων καὶ ϖαρατεσόντων, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥςε τριῶν ἐτῶν αὐτοὺς ἀκροωμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων. ιδ'

Συνόδου Ἀγκύρας κανὼν ιβ'.

Τοὺς πρὸ τοῦ βαπτίσματος τεθνικότας, καὶ μετὰ ταῦτα βαπτισθέντας, ἔδοξεν εἰς τάξιν προάγεσθαι ὡς ἀπολουσαμένους. ιβ'

Συνόδου Νεοκαισαρείας κανὼν έ.

Κατηχούμενος ἐὰν εἰσερχόμενος εἰς κυριακὸν, ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ, οὗτος δὲ φανῇ ἁμαρτάνων, ἐὰν μὲν γόνυ κλίνων, ἀκροάσθω μηκέτι ἁμαρτάνων· ἐὰν δὲ καὶ ἀκροώμενος ἔτι ἁμαρτάνῃ, ἐξωθείσθω. (1) έ

(1) In marg. paulo recentiore manu additur: ἢ τοῖς ἀκροωμένοις συνταττέσθω ἐπιτιμίου χάριν.

Βασιλείου κανὼν κ'.

κ' Ὅσαι γυναῖκες ἐν αἱρέσει οὖσαι παρθενίαν ὡμολόγησαν, εἶτα μετὰ ταῦτα γάμον ἀνθείλοντο, οὐχ ἡγοῦμαι χρῆναι καταδικάζεσθαι ταύτας· ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· αἱ δὲ μήπω ὑπελθοῦσαι τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὴν νομοθεσίαν ἐπιγινώσκουσι τοῦ δεσπότου· ὥστε δεκταί εἰσι τῇ ἐκκλησίᾳ μετὰ πάντων, καὶ τὴν ἐπὶ τούτοις ἄφεσιν ἔχουσαι ἐκ τῆς πίστεως τῆς εἰς Χριστόν· καὶ καθόλου τὰ ἐν τῷ κατηχουμένῳ βίῳ γενόμενα, εἰς εὐθύνας οὐκ ἄγεται· τούτους δὲ δηλονότι ἄνευ βαπτίσματος, ἡ ἐκκλησία οὐ παραδέχεται· ὥστε ἀναγκαιότατα ἐπὶ τούτοις τὰ πρεσβεῖα τῆς γενέσεως.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ, κανὼν δ'.

δ' Περὶ δὲ Πανοὺφ etc. ut p. 94.

Κυρίλλου ἐκ τῆς πρὸς τοὺς ἐν Λιβύῃ καὶ Πενταπόλει ἐπισκόπους ἐπιστολῆς, κανὼν δ'.

δ' Ἐὰν δὲ χωρισμὸν ὑπομείνωσί τινες ἐπιτιμηθέντες πταισμάτων ἕνεκα, εἶτα μέλλωσι τελευτᾷν κατηχούμενοι ὄντες, βαπτιζέσθωσαν, καὶ μὴ ἀποδημείτωσαν τῶν ἀνθρωπίνων ἀμέτοχοι τῆς χάριτος, ἤγουν ἀκοινώνητοι· δοκεῖ γὰρ προσέχειν καὶ τοῦτο τοῖς τῆς ἐκκλησίας θεσμοῖς· προσείπατε τὴν παρ' ὑμῖν ἀδελφότητα· ὑμᾶς ἡ σὺν ἡμῖν ἐν κυρίῳ προσαγορεύει.

Ἡ α' διάταξις τοῦ ιβ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι ἐὰν ἰουδαῖος διὰ τὸ φυγεῖν ἔγκλημα ἢ χρέος, θελήσῃ χριστιανίσαι, οὐ δεῖ αὐτὸν προσδεχθῆναι, ἕως ἂν ἀνεύθυνος φανῇ, καὶ τὸ χρέος καταβαλῃ· ἡ δὲ ί διάτ. τοῦ ια' τίτ. τοῦ α' βιβλ. θέλει τοὺς ἕλληνας βαπτίζεσθαι καὶ τὰ τέκνα αὐτῶν, χωρὶς ἀναβολῆς, μικρὰ ὄντα· τὰ δὲ τέλεια προδιδάσκεσθαι κατὰ τοὺς κανόνας τὰς γραφάς· ἡ δὲ γ' διάτ.

τοῦ γ' τίτ. τῶν νεαρῶν, ἐπὶ διετίαν θέλει τοὺς τελείους σαμαρείτας κατηχεῖσθαι.

ΚΕΦ. Η.

Περὶ ἐπισκόπων ἢ κληρικῶν δεχομένων βάπτισμα αἱρετικῶν.

Ἀποστόλων κανὼν μς'.

Ἐπίσκοπον ἢ πρεσβύτερον αἱρετικῶν δεξαμένους βάπτισμα μς'
etc. ut p. 148.

ΚΕΦ. Θ.

Περὶ τῶν ἐν νόσῳ βαπτιζομένων.

Συνόδου Νεοκαισαρείας κανὼν ιβ'.

Ἐὰν νοσῶν τίς φωτισθῇ, εἰς πρεσβυτέριον ἄγεσθαι οὐ ιβ'
δύναται· οὐκ ἐκ προαιρέσεως γὰρ ἡ πίστις αὐτοῦ, ἀλλ' ἐξ ἀνάγκης· εἰ μὴ τάχα διὰ τὴν μετὰ ταῦτα αὐτοῦ σπουδὴν καὶ πίστιν, καὶ διὰ σπάνιν ἀνθρώπων.

Συνόδου Λαοδικείας κανὼν μζ'.

Ὅτι δεῖ τοὺς ἐν νόσῳ etc. ut p. 155. μζ

Συνόδου Καρθαγέννης κανὼν με'.

Περὶ τῶν ἀσθενούντων, καὶ ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι μὴ δυναμένων.

Ὥστε τοὺς ἀσθενοῦντας, οἵ τινες ὑπὲρ ἑαυτῶν ἀποκρί- με'
νεσθαι οὐ δύνανται, τότε βαπτίζεσθαι, ὅτε τῇ αὐτῶν προαιρέσει τὴν περὶ αὐτῶν μαρτυρίαν κινδύνῳ ἰδίῳ εἴπωσιν.

Τιμοθέου κανὼν δ'. – Ἐρώτησις.

Ἐάν τις κατηχούμενος ἀσθενῶν γένηται ἐκφρενὴς, καὶ δ'
μὴ δύνηται ἑαυτῷ ὁμολογῆσαι τὴν πίστιν, καὶ παρακαλοῦσιν οἱ ἴδιοι αὐτοῦ ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα ἕως ζῇ, εἰ ὀφείλει λαβεῖν, ἢ οὔ;

Ἀπόκρισις.

Ὀφείλει λαβεῖν, ἐὰν μὴ ὑπὸ πνεύματος ἀκαθάρτου πειράζηται.

ΚΕΦ. Ι.

Περὶ τῆς ἐγκύου βαπτιζομένης.

Συνόδου Νεοκαισαρείας κανὼν ς'.

ς' Περὶ κυοφορούσης ὅτι δεῖ φωτίζεσθαι ὁπότε βούλεται· οὐδὲν γὰρ ἐν τούτῳ κοινωνεῖ ἡ τάκτουσα τῷ τικτομένῳ, διὰ τὸ ἑκάστου ἰδίαν τὴν προαίρεσιν τὴν ἐπὶ τῇ ὁμολογίᾳ δείκνυσθαι.

Καί τοι ἐν τῷ α' δίγ. τοῦ δ' τίτ. τοῦ κε' βιβλ. τῶν δίγ. φησὶ, τὸν κυοφορούμενον μέρος εἶναι τῆς ἐγκύου· ἐν δὲ ι' δίγ. τοῦ γ' τίτ. τοῦ μα' βιβλ. καὶ βιβλ. ν' τίτ. ις' δίγ. κς'· ὅτι τὸ κυοφορούμενον οὐκ ἔστι μέρος τῆς μητρὸς· καὶ ἄλλα δὲ διάφορα νόμιμα περὶ τούτου συνήγαγον ἐν τῷ φανέντι μοι περὶ ἐναντιοφανῶν μονοβίβλῳ.

ΚΕΦ. ΙΑ.

Περὶ τοῦ ὀφείλειν μετὰ τὸ ἅγιον βάπτισμα χρίεσθαι.

Συνόδου Λαοδικείας κανὼν μή'.

μή' Ὅτι δεῖ τοὺς φωτιζομένους, μετὰ τὸ βάπτισμα χρίεσθαι χρίσματι ἐπουρανίῳ, καὶ μετόχους εἶναι τῆς βασιλείας τοῦ Χριστοῦ.

ΚΕΦ. ΙΒ.

Συνόδου Καρθαγέννης κανὼν ς'.
Περὶ τῆς ποιήσεως τοῦ ἁγίου χρίσματος.

ς' Ὥστε χρίσμα ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι.

Φουρτουνάτος ἐπίσκοπος εἶπεν etc. usque ad πᾶσιν ἀρέσκει, ut p. 105.

ΚΕΦ. ΙΓ.

Περὶ τῶν διὶς ἢ μὴ δεόντως βαπτιζομένων, καὶ τῶν τοὺς ἀσεβεῖς μὴ βαπτιζόντων.

Ἀποστόλων κανὼν μζ΄ μή ν΄.

Ἐπίσκοπος ἢ πρεσβύτερος, τὸν κατὰ ἀλήθειαν ἔχοντα μζ
βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν, ἐὰν μὴ ἀναβαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδιερέων. (τὸ τοιοῦτον ὡς μὴ τῷ κεφ. συνᾴδον, οὐκ ὀφείλει ἀναγινώσκεσθαι. Sic est minutiore litterâ in cod.)

Εἴ τις λαϊκὸς τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλὼν, ἑτέραν λά- μή
βοι, ἢ παρὰ ἄλλου ἀπολελυμένην, ἀφοριζέσθω.

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, κατὰ τὴν τοῦ κυρίου ν΄
διάταξιν, μὴ βαπτίσει εἰς πατέρα etc. usque ad τοῦ ἁγίου πνεύματος, ut p. 154.

Περὶ τῶν ἀναβαπτιζόντων καὶ ἀναβαπτιζομένων διαλαμβάνει ἡ α΄ καὶ ἡ β΄. διάτ. τοῦ ς΄ τίτ. τοῦ α΄ βιβλ. τοῦ κώδ. ἡ μὲν γὰρ τῷ ἐπισκόπῳ καθαίρεσιν ἐπάγει, ἡ δὲ ἐσχάτην τιμωρίαν τῷ βαπτίσαντι καὶ τῷ βαπτισθέντι, εἴ γε ἡλικίας ἐστὶ δεκατικῆς, ἐγκλήματος· γίνωσκε δὲ ὅτι ὁ τῇ ἥβῃ πλησιάζων, ἐπ' οὐδεμιᾷ αἰτίᾳ βοηθεῖται, ὡς βιβλ. κθ΄ τίτ. ε΄ δίγ. ιδ΄· ἔστι δὲ ἥβη, ἐπὶ μὲν τοῦ ἄρρενος, ὁ ιδ΄ ἐνιαυτὰς πεπληρωμένος· ἐπὶ δὲ τῆς θηλείας, ἡ συμπλήρωσις τοῦ ιβ΄ ἐνιαυτοῦ, ὡς βιβλ. κη΄ τίτ. α΄ δίγ. ε΄, καὶ βιβλ. τοῦ κώδ. ε΄ τίτ. ξ΄ διάτ. γ΄, καὶ ἐνστιτουτίων α΄ τίτ. κβ΄· εἰ δέ τισι ληγατευθῇ ἀποτροφὴ ἕως οὗ εἰσὶν ἄνηβοι, ὁ μὲν ἄρρην λαμβάνει, ἕως οὗ πληρώσῃ τὸν ιδ΄ ἐνιαυτὸν, ἡ δὲ θήλεια τὸν

ιδ', ὡς βιβλ. λδ' τίτ. α'· ἄνηβος δὲ τὸ πλαστὸν οὐ πλημμελεῖ, ὡς βιβλ. μή τίτ. ί δίγ. κβ'· καὶ ἡ μοιχεία μετὰ τὴν ἔβην πλημμελεῖται, ὡς δίγ. λς' τοῦ ί τίτ. τοῦ αὐτοῦ μή βιβλ. ἡ δὲ διαλαμβάνουσα περὶ τῶν ἐκκλησιῶν Ἀφρικῆς λζ' νεαρὰ φησὶν, ὅτι οἱ ἀναβαπτισθέντες, στρατεύεσθαι μὲν οὐ δύνανται, μεταμέλου δὲ χώραν ἔχουσιν.

ΚΕΦ. ΙΔ.

Τίνες ἐξ αἱρετικῶν εἰς τὴν ὀρθοδοξίαν μετιόντες, βαπτίζονται· καὶ τίνες μόνον χρίονται.

Συνόδου Νικαίας κανὼν ιθ'.

ιθ' Περὶ τῶν Παυλιανισάντων etc. ut p. 103.

Συνόδου Λαοδικείας κανὼν ζ' ή'.

ζ' Περὶ τοῦ τοὺς ἐκ τῶν αἱρέσεων, τουτέστιν Ναυατιανῶν, ἤτοι Φωτεινιανῶν, Τεσσαρεσκαιδεκατιτῶν ἐπιστρεφομένους, εἴτουν κατηχουμένους, εἴτε πιστοὺς, τοὺς παρ' ἐκείνοις μὴ προσδέχεσθαι πρὶν ἂν ἀναθεματίσωσι πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ ἐν ᾗ κατείχοντο· καὶ τότε λοιπὸν τοὺς λεγομένους παρ' αὐτοῖς πιστοὺς ἐκμανθάνοντας τὰ τῆς πίστεως σύμβολα, χρισθέντας τε τῷ ἁγίῳ χρίσματι, οὕτω κοινωνεῖν τῶν μυστηρίων τῶν ἁγίων.

η' Περὶ τοῦ τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν λεγομένων Φρυγῶν ἐπιστρέφοντας, εἰ καὶ ἐν κλήρῳ νομιζομένῳ παρ' αὐτοῖς τυγχάνοιεν, εἰ καὶ μέγιστοι λέγοιντο, τοὺς τοιούτους μετὰ πάσης ἐπιμελείας κατηχεῖσθαι τε καὶ βαπτίζεσθαι ὑπὸ τῶν τῆς ἐκκλησίας ἐπισκόπων τε καὶ πρεσβυτέρων.

Συνόδου Κωνσταντινουπόλεως κανὼν ζ'.

ζ' Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα, κατὰ τὴν ὑποτεταγ-

μένην ἀκολουθίαν καὶ συνήθειαν· Ἀρειανοὺς μὲν καὶ Μακεδονιανούς, καὶ Σαββατιανούς, καὶ Ναυατιανούς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστερούς, καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας ἤγουν Τετραδίτας, καὶ Ἀπολιναριαστάς, δεχόμεθα διδόντας λιβέλλους καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον, καὶ τοὺς ὀφθαλμούς, καὶ τὰς ῥίνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς λέγομεν, σφραγὶς δωρεᾶς πνεύματος ἁγίου· Εὐνομιανοὺς μέν τοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς τοὺς υἱοπατορίαν διδάσκοντας, καὶ ἑτερά τινα χαλεπὰ ποιοῦντας, καὶ τὰς ἄλλας πάσας αἱρέσεις· ἐπειδὴ πολλοὶ εἰσὶν ἐνταῦθα μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ἐρχόμενοι, πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν πρώτην μὲν ἡμέραν ποιοῦμεν αὐτοὺς χριστιανούς, τὴν δὲ δευτέραν κατηχουμένους· εἶτα τῇ τρίτῃ ἐξορκίζομεν αὐτούς, μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον, καὶ εἰς τὰ ὦτα, καὶ οὕτως κατηχοῦμεν αὐτούς, καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιε'.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα, κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν τε καὶ συνήθειαν· Ἀρειανοὺς μὲν καὶ Μακεδονιανούς, καὶ Ναυατιανούς, καὶ Σαββατιανούς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστερούς, καὶ τοὺς Τεσ- ιε'

σαρεσκαιδεκατίτας ἤγουν Τετραδίτας, καὶ Ἀπολιναριστὰς δεχόμεθα, διδόντας λιβέλλους καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τὸ μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα, καὶ σφραγίζοντες αὐτοὺς λέγομεν, σφραγὶς δωρεᾶς πνεύματος ἁγίου· περὶ δὲ τῶν Παυλιανισάντων, εἶτα προσελθόντων τῇ καθολικῇ ἐκκλησίᾳ, ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος· Εὐνομιανοὺς μέν τοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς τοὺς υἱοπατορίαν δοξάζοντας, καὶ ἑτερά τινα χαλεπὰ ποιοῦντας, καὶ πάσας τὰς ἄλλας αἱρέσεις· ἐπειδὴ πολλοὶ εἰσὶν ἐνταῦθα μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ἐρχόμενοι, πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν μὲν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς χριστιανοὺς, τὴν δὲ δευτέραν κατηχουμένους, εἶτα τὴν τρίτην ἐξορκίζομεν αὐτοὺς μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα, καὶ οὕτω κατηχοῦμεν αὐτοὺς καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν· καὶ τοὺς Μανιχαίους δὲ καὶ τοὺς Οὐαλεντίνους καὶ Μαρκιωνιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων προσερχομένους, ὡς Ἕλληνας δεχόμενοι ἀναβαπτίζομεν· Νεστοριανοὺς δὲ καὶ Εὐτυχιανιστὰς καὶ Σεβηριανοὺς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων χρὴ ποιεῖν λιβέλλους, καὶ ἀναθεματίζειν τὴν αἵρεσιν, καὶ Νεςόριον, καὶ Εὐτυχέα, καὶ Διόσκορον, καὶ Σεβῆρον, καὶ τοὺς λοιποὺς ἐξάρχους τῶν τοιούτων αἱρέσεων, καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν, καὶ πάσας

τὰς προαναφερομένας αἱρέσεις, καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν ηʹ.

Ὅτι τοὺς Ἑβραίους οὐ χρὴ δέχεσθαι, εἰ μή ποτε ἐξ εἰλικρινοῦς καρδίας ἐπιστρέψουσιν.

Ἐπειδὴ πλανώμενοι οἱ ἐκ τῆς τῶν Ἑβραίων θρησκείας, μυκτηρίζειν ἔδοξαν Χριστὸν τὸν Θεὸν, προσποιούμενοι μὲν χριστιανίζειν, αὐτὸν δὲ ἀρνοῦντες, κρύβδην καὶ λαθραίως σαββατίζοντες, καὶ ἕτερα ἰουδαϊκὰ ποιοῦντες, ὁρίζομεν τούτους μήτε εἰς κοινωνίαν, μήτε εἰς εὐχὴν, μήτε εἰς ἐκκλησίαν δέχεσθαι, ἀλλὰ φανερῶς ἔστωσαν κατὰ τὴν ἑαυτῶν θρησκείαν Ἑβραῖοι, μήτε τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε δοῦλον ὠνήσασθαι ἢ κτᾶσθαι· εἰ δὲ καὶ ἐπιστρέψει τις αὐτῶν ἐξ εἰλικρινοῦς πίστεως, καὶ ὁμολογήσει ἐξ ὅλης καρδίας, θριαμβεύων τὰ κατ' αὐτῶν ἔθη καὶ πράγματα, πρὸς τὸ καὶ ἄλλους ἐλεγχθῆναι καὶ διορθώσασθαι, τοῦτον προσδέχεσθαι καὶ βαπτίζειν, καὶ τοὺς παῖδας αὐτοῦ, καὶ ἀσφαλίζεσθαι αὐτοὺς ἀποστῆναι τῶν ἑβραϊκῶν ἐπιτηδευμάτων· εἰ δὲ μὴ οὕτως ἔχοιεν, μηδαμῶς αὐτοὺς προσδέχεσθαι. ηʹ

Βασιλείου κανὼν μζʹ.

Ἐγκρατῖται καὶ Σακκοφόροι etc. ut p. 21. μζ

ΚΕΦ. ΙΕ.

Πῶς ὁ δαιμονιζόμενος, ἢ ὁ ἐν νόσῳ παραφρονῶν βαπτίζεται.

Τιμοθέου κανὼν βʹ δʹ. – Ἐρώτησις.

Ἐὰν δαιμονιζόμενός τις κατηχούμενος ᾖ, καὶ θέλαι αὐτὸς ἢ οἱ ἴδιοι αὐτοῦ ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα, εἰ ὀφείλει λαβεῖν ἢ οὔ, καὶ μάλιστα ἐὰν περὶ τὸν θάνατον ἐστίν; β

Ἀπόκρισις.

Ἐὰν ὁ δαιμονιζόμενος μὴ καθαιρισθῇ ἀπὸ τοῦ ἀκαθάρτου πνεύματος, οὐ δύναται λαβεῖν τὸ ἅγιον βάπτισμα· περὶ δὲ τὴν ἔξοδον, βαπτίζεται.

Ἐρώτησις.

δ΄ Ἐάν τις κατηχούμενος ἀσθενῶν γένηται ἐκφρενὴς etc. usque ad πειράζηται, ut p. 159.

ΚΕΦ. Ις.

Περὶ τοῦ μὴ χρῆναι γυναῖκα ἐν ταῖς ἡμέραις τῆς καθάρσεως αὐτῆς βαπτισθῆναι.

Τιμοθέου κανὼν ς΄. – Ἐρώτησις.

ς΄ Ἐὰν γυνὴ κατηχουμένη δέδωκε τὸ ὄνομα αὐτῆς ἵνα φωτισθῇ, καὶ περὶ τὴν ἡμέραν τοῦ βαπτίσματος γέγονεν αὐτῇ τὸ κατ' ἔθος τῶν γυναικῶν, εἰ ὀφείλει φωτισθῆναι αὐτῇ τῇ ἡμέρᾳ, ἢ ὑπερθέσθαι, καὶ πόσον ὑπερθέσθαι;

Ἀπόκρισις.

Ὑπερθέσθαι ὀφείλει, ἕως ἂν καθαρισθῇ.

ΚΕΦ. ΙΖ.

Ἐὰν ὁ κατηχούμενος πρὸ τοῦ βαπτίσματος κοινωνήσῃ.

Τιμοθέου κανὼν α΄. – Ἐρώτησις.

α΄ Ἐὰν παιδίον κατηχούμενον ὡς ἑπτὰ ἐτῶν, ἤγουν ἄνθρωπος τέλειος, εὐκαιρήσῃ που προσφορᾶς γινομένης, καὶ ἀγνοῶν μεταλάβοι, τί ὀφείλει γίνεσθαι περὶ αὐτοῦ;

Ἀπόκρισις.

Φωτισθῆναι ὀφείλει, παρὰ θεοῦ γὰρ κέκληται.

ΤΙΤΛΟΣ Ε.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑΦΡΟΝΟΥΝΤΩΝ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ, ΚΑΙ ΣΥΝΑΞΕΩΝ, ΚΑΙ ΜΝΗΜΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΕΣΘΙΟΝΤΩΝ ΕΝ ΕΚΚΛΗΣΙΑ, ΚΑΙ ΠΕΡΙ ΑΓΑΠΩΝ.

TITULUS V.

DE IIS QUI CONTEMNUNT ECCLESIAS, ET SYNAXES ATQUE MEMORIAS, ET DE MANDUCANTIBUS IN ECCLESIIS, ET DE AGAPIS.

ΚΕΦ. Α.

Περὶ τῶν διδασκόντων, τὸν οἶκον τοῦ Θεοῦ, καὶ τὰς συνάξεις καὶ τὰς μνήμας, εὐκαταφρονήτους εἶναι.

Συνόδου Γαγγρῶν κανὼν ε' κ'.

Εἴ τις διδάσκει τὸν οἶκον τοῦ Θεοῦ εὐκαταφρόνητον εἶναι, ε'
καὶ τὰς ἐν αὐτῷ συνάξεις, ἀνάθεμα ἔστω.

Εἴ τις αἰτιῶτο ὑπερηφάνῳ διαθέσει κεχρημένος, καὶ βδε- κ'
λυσσόμενος τὰς συνάξεις τῶν μαρτύρων, ἢ τὰς ἐν αὐταῖς γινομένας λειτουργίας, καὶ τὰς μνήμας αὐτῶν, ἀνάθεμα ἔςω.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ος' πη' ιζ'.

Ὅτι οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον ἢ τὰ ος'
διὰ βρωμάτων εἴδη προτιθέναι, ἢ ἑτέρας πράσεις ποιεῖσθαι, τὸ σεβάσμιον ταῖς ἐκκλησίαις φυλάσσοντας· ὁ γὰρ σωτὴρ ἡμῶν καὶ Θεὸς, διὰ τῆς ἐν σαρκὶ πολιτείας παιδαγωγῶν ἡμᾶς, μὴ ποιεῖν τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ, ἐμπορίου οἶκον, παρεκελεύετο· ὃς καὶ τῶν κολυβιστῶν τὸ κέρμα ἐξέχεε, καὶ τοὺς τὸ ἱερὸν κοινοποιοῦντας ἀπήλασεν· εἴ τις οὖν ἐπὶ τῷ προκειμένῳ ἁλῷ πλημμελήματι, ἀφοριζέσθω.

κη' Μηδεὶς ἔνδον ἱεροῦ ναοῦ ᾖ κτῆνος τὸ οἰονοῦν εἰσαγέτω· ἐκτὸς εἰ μή τις ὁδοιπορῶν, μεγίστης καταλαβούσης ἀνάγκης, οἰκίσκου καὶ καταγωγῆς ἀπορῶν, ἐν τῷ τοιούτῳ καταλύσει ναῷ· διὰ γὰρ τοῦ μὴ τὸ κτῆνος ἔνδον εἰσενεχθῆναι, αὐτὸ μὲν ἔστιν ὅτε διαφθαρήσεται, ὁ δὲ τῆ τοῦ ὑποζυγίου ἀποβολῆ καὶ τῷ ἐντεῦθεν ἀπόρῳ τῆς ἐπὶ τὴν ὁδοιπορίαν ὁρμῆς, θανάτου κινδύνῳ παραδοθήσεται· τὸ γὰρ σάββατον διὰ τὸν ἄνθρωπον γενέσθαι ἐκδιδασκόμεθα· ὥστε διὰ πάντων προτιμητέαν ἡγεῖσθαι τὴν τοῦ ἀνθρώπου σωτηρίαν τε καὶ ἀπάθειαν· εἰ δέ τις φωραθείη χωρὶς ἀνάγκης, κτῆνος εἰσάγων ἐν τῷ ἱερῷ, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ηζ' Τοὺς ἢ γαμετῇ συνοικοῦντας ἢ ἄλλως ἀδιακρίτως τοὺς ἱεροὺς τόπους κοινοποιοῦντας, καὶ καταφρονητικῶς περὶ αὐτοὺς ἔχοντας, καὶ οὕτως ἐν αὐτοῖς καταμένοντας, καὶ ἐκ τῶν ἐν τοῖς σεβασμίοις ναοῖς κατηχουμένων ἐξωθεῖσθαι προσάσσομεν· εἰ δέ τις μὴ τοῦτο παραφυλάξει, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΚΕΦ. Β.

Περὶ τοῦ μὴ ποιεῖν ἐν ἐκκλησίαις ἀγάπας.

Συνόδου Λαοδικείας κανὼν κη'.

κη' Ὅτι οὐ δεῖ ἐν τοῖς κυριακοῖς, ἢ ἐν ταῖς ἐκκλησίαις τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν.

Συνόδου Καρθαγέννης κανὼν μβ'.

μβ' Περὶ τοῦ μὴ συμπόσια ἐν ταῖς ἐκκλησίαις ἐπιτελεῖσθαι.

Ὥστε ἐπισκόπους ἢ κληρικοὺς, ἐν ταῖς ἐκκλησίαις μὴ συμποσιάζεσθαι, εἰ μή ὅ ἂν τυχὸν ἀνάγκη ξενίας διαβάν-

τες ἐκεῖ καταλύσωσι· καὶ οἱ λαοὶ δὲ ἀπὸ τῶν τοιουτοτρόπων συμποσίων, ὅσον δυνατόν ἐστι, κωλυθῶσιν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν οδ' ος' ψζ'.

Ὅτι οὐ δεῖ ἐν τοῖς κυριακοῖς ἢ ἐν ταῖς ἐκκλησίαις, τὰς οδ'
λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν, καὶ ἀκοίβιτα στρωννύειν· εἰ δὲ τοῦτο ποιεῖν τολμῶντες, ἢ παυσάσθωσαν, ἢ ἀφοριζέσθωσαν.

Ὅτι οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων etc. ut p. 167. ος'

Τοὺς ἢ γαμετῇ συνοικοῦντας etc. ut p. 168. ψζ

Καὶ ἡ γ' διάταξις τοῦ ιβ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ., κωλύει τοὺς προσφεύγοντας, ἐσθίειν ἢ καθεύδειν ἐντὸς τοῦ ναοῦ, ἀλλὰ διάγειν ἀσφαλῶς ἐντὸς τῶν πρώτων θυρῶν, ἐν αὐλαῖς, καὶ στοαῖς, καὶ λουτροῖς, καὶ κήποις.

ΚΕΦ. Γ.

Περὶ τῶν εὐτελιζόντων τὰς γινομένας ἀγάπας, καὶ ὅτι οὐ δεῖ μέρη λαμβάνειν εἰς ἀγάπην.

Συνόδου Γαγγρῶν κανὼν ια'.

Εἴ τις καταφρονοίη τῶν ἐκ πίστεως ἀγάπας ποιούντων, ια'
καὶ διὰ τιμὴν τοῦ κυρίου συγκαλούντων τοὺς ἀδελφοὺς, καὶ μὴ ἐθέλοι κοινωνεῖν ταῖς κλήσεσι διὰ τὸ ἐξευτελίζειν τὸ γινόμενον, ἀνάθεμα ἔστω.

Συνόδου Λαοδικείας κανὼν κζ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ λαϊκοὺς, καλου- κζ
μένους εἰς ἀγάπην μέρη αἴρειν, διὰ τὸ μὴ ὕβριν τῇ τάξει προστρίβεσθαι τῇ ἐκκλησιαστικῇ.

ΤΙΤΛΟΣ ς.

ΠΕΡΙ ΚΑΡΠΟΦΟΡΙΩΝ.

TITULUS VI.

DE FRUCTUUM OBLATIONIBUS.

ΚΕΦ. Α.

Ἀποστόλων κανὼν γ΄ δ΄ καί.

γ΄ Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος παρὰ τὴν τοῦ κυρίου διάταξιν etc. usque ad κληρικῆς, ut p. 134.

οα΄ Εἴ τις χριστιανὸς, ἔλαιον ἀπενέγκοι εἰς ἱερὸν ἐθνῶν ἢ εἰς συναγωγὴν Ἰουδαίων ἐν ταῖς ἑορταῖς αὐτῶν, ἢ λύχνους ἀνάψοι, ἀφοριζέσθω.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν κή΄ νζ΄ οθ΄ ψθ΄.

κη΄ Ἐπειδὴ ἐν διαφόροις ἐκκλησίαις μεμαθήκαμεν, σταφυλῆς etc. ut p. 137,

νζ΄ Ὅτι οὐ χρὴ ἐν τοῖς θυσιαστηρίοις μέλι καὶ γάλα προφέρεσθαι.

οθ΄ Ἀλόχευτον τὸν ἐκ τῆς παρθένου θεῖον τόκον ὁμολογοῦντες, ὡς καὶ ἀσπόρως συστάντα, καὶ παντὶ τῷ ποιμνίῳ κηρύσσοντες, τοὺς ἐξ ἀγνοίας πράττοντάς τι τῶν οὐ δεόντων, διορθώσει καθυποβάλλομεν· ὅθεν ἐπειδή τινες μετὰ τὴν ἡμέραν τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως δείκνυνται σεμίδαλιν ἕψοντες, καὶ ταύτης ἀλλήλοις μεταδιδόντες προφάσει τιμῆς θῆθεν λοχείων τῆς ἀχράντου παρθενομήτορος, ὁρίζομεν μηδὲν τοιοῦτον ὑπὸ τῶν πιστῶν τελεῖσθαι· οὐ γὰρ τιμή γε τοῦτο τῇ παρθένῳ, τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ λόγον σαρκὶ, ἐκ τῶν κοινῶν τὲ καὶ καθ'

ἡμᾶς, τὰ κατὰ τὸν ἄφραστον αὐτῆς τόκον ὁρίζειν ὑπογράφειν· εἴ τις οὖν ἀπὸ τοῦ νῦν πράττων τοιοῦτον φωραθείη, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Καὶ τοῦτο δὲ ἐν τῇ Ἀρμενίων χώρᾳ γίνεσθαι μεμαθήκαμεν, ὡς τινὲς ἔνδον ἐν τοῖς ἱεροῖς θυσιαστηρίοις μέλη κρεῶν ἔψοντες, προσάγουσιν ἀφαιρέματα τοῖς ἱερεῦσιν ἰουδαϊκῶς ἀπονέμοντες· ὅθεν ἡμεῖς τὸ τῆς ἐκκλησίας φυλάττοντες ἀσπίλωτον, ὁρίζομεν, μὴ ἐξεῖναί τινι τῶν ἱερέων ἀφωρισμένα κρεῶν μέλη παρὰ τῶν προσαγόντων λαμβάνειν, ἀλλ' οἷς ἀρεσθῇ ὁ προσάγων, τούτοις ἀρκείσθωσαν, ἔξω τῆς ἐκκλησίας τῆς τοιαύτης γινομένης προσαγωγῆς· εἰ δέ τις μὴ τοῦτο οὕτω ποιῇ, ἀφοριζέσθω. ιῆ'

Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. β'.

Τὰ δὲ ἀθίκως ληφθέντα etc. ut p. 120.

Ἡ λή διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ. φησὶν, ὅτι οὐ δεῖ τοὺς ἐπισκόπους ἢ τοὺς κληρικοὺς, ἀναγκάζειν τινὰς καρποφορεῖν, ἢ ἀγγαρείας διδόναι, ἢ διὰ ταῦτα ἀφορίζειν, ἢ ἀναθεματίζειν, ἢ μὴ διδόναι κοινωνίαν, ἢ μὴ βαπτίζειν, κἂν ἔθος ἐκράτησε τοιοῦτον· ὁ δὲ παραβαίνων, ἐκπίπτει τῆς ἐκκλησίας καὶ τῆς διοικήσεως αὐτῆς, καὶ δίδωσι δέκα λίτρας· ταῦτα δὲ κρατεῖ ἐν μόνῃ τῇ βασιλευούσῃ καὶ τῇ ἐνορίᾳ αὐτῆς, καὶ τοῖς ἀνήκουσι τόποις τοῖς ὑπὸ τὸν πατριάρχου χειροτονουμένοις μητροπολίταις, ἢ τοῖς ἐξ ἐκείνων γινομένοις ἐπισκόποις· ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ α' κεφ. τοῦ β' τίτ. τούτου τοῦ συντάγματος περὶ προσφορῶν, καὶ τῶν δωρουμένων ἢ καταλιμπανομένων εὐαγέσιν οἴκοις.

ΚΕΦ. Β.

Τίνας δεῖ λαμβάνειν ἢ διδόναι καρποφορίαν, καὶ περὶ τῶν λαμβανόντων ἀπὸ ἐκκλησίας κηρὸν ἢ ἔλαιον.

Ἀποστόλων κανὼν οβ'.

οβ' Εἴ τις κληρικὸς ἢ λαϊκὸς, ἀπὸ τῆς ἁγίας ἐκκλησίας ἀφέληται κηρὸν ἢ ἔλαιον, ἀφοριζέσθω, καὶ τὸ ἐπίπεμπτον προστιθέτω μεθ' οὗ ἔλαβεν.

Συνόδου Γαγγρῶν κανὼν ζ' η'.

ζ' Εἴ τις καρποφορίας ἐκκλησιαστικὰς ἐθέλοι λαμβάνειν, ἢ διδόναι ἔξω τῆς ἐκκλησίας παρὰ γνώμην τοῦ ἐπισκόπου, ἢ τοῦ ἐγκεχειρισμένου τὰ τοιαῦτα, καὶ μὴ μετὰ γνώμης αὐτοῦ ἐθέλοι πράττειν, ἀνάθεμα ἔστω.

η' Εἴ τις διδοῖ ἢ λαμβάνει καρποφορίαν παρεκτὸς τοῦ ἐπισκόπου, ἢ τοῦ ἐπιτεταγμένου εἰς οἰκονομίαν εὐποιΐας, καὶ ὁ διδοὺς καὶ ὁ λαμβάνων ἀνάθεμα ἔστω.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν ζ'.

ζ' Τὰ προσφερόμενα εἰς λόγον θυσίας, μετὰ τὰ ἀναλισκόμενα εἰς τὴν τῶν μυστηρίων χρείαν, οἱ κληρικοὶ διανεμέσθωσαν· καὶ μήτε κατηχούμενος ἐκ τούτων ἐσθιέτω ἢ πινέτω, ἀλλὰ μᾶλλον οἱ κληρικοὶ καὶ οἱ σὺν αὐτοῖς πιστοὶ ἀδελφοί.

ΚΕΦ. Γ.

Περὶ τῶν προσφερόντων συναγωγαῖς ἢ ἱεροῖς ἐθνῶν.

Ἀποστόλων κανὼν οα'.

οα' Εἴ τις χριστιανὸς ἔλαιον ἀπενέγκοι εἰς ἱερὸν ἐθνῶν ἢ εἰς συναγωγὴν Ἰουδαίων ἐν ταῖς ἑορταῖς αὐτῶν, ἢ λύχνους ἀνάψοι, ἀφοριζέσθω.

Ἡ α' διάταξις τοῦ θ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φη-

σιν, ὅτι τὸ τῇ ὁμάδι τῶν Ἰουδαίων λιγατευομενον, οὐκ ἀπαιτεῖται· καὶ ἡ ϑ΄ διάτ. τοῦ ια΄ τίτ. τοῦ αὐτοῦ βιβλ., ὅτι ἐάν τι δωρηϑῇ ἢ καταλειφϑῇ ἐπὶ συστάσει ἑλληνισμοῦ, ἡ πόλις αὐτὸ λαμβάνει.

ΤΙΤΛΟΣ Ζ.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ, ΚΑΙ ΤΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ, ΚΑΙ ΤΟΥ ΠΑΣΧΑ, ΚΑΙ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ, ΚΑΙ ΚΥΡΙΑΚΗΣ, ΚΑΙ ΣΑΒΒΑΤΟΥ, ΚΑΙ ΠΕΡΙ ΓΟΝΥΚΛΙΣΙΑΣ.

TITULUS VII.

DE IEIUNIO, ET QUADRAGESIMA, ET PASCHATE, ET PENTECOSTE, ET DE DIE DOMINICA, ET SABBATO, ET GENUUM FLEXIONE.

ΚΕΦ. Α.

Περὶ νηστείας καὶ τῶν κεκωλυμένων ἢ ἐπιτετραμμένων, γίνεσθαι ἐν τῇ τεσσαρακοστῇ τῶν νηστειῶν.

Ἀποστόλων κανὼν ξϑ΄ ξϑ΄.

Εἴ τις κληρικὸς εὑρεθῇ τὴν κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. ξϑ΄

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ πάσχα οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευὴν, καθαιρείσθω· ἐκτὸς εἰ μὴ διὰ ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο· ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω. ξϑ΄

Συνόδου Γαγγρῶν κανὼν ιη΄ ιϑ΄.

Εἴ τις διὰ νομιζομένην ἄσκησιν ἐν τῇ κυριακῇ νηστεύει, ἀνάθεμα ἔστω. ιη΄

ιθ' Εἴ τις τῶν ἀσκουμένων, χωρὶς σωματικῆς ἀνάγκης ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν, καὶ φυλαττομένας ὑπὸ τῆς ἐκκλησίας παραλύει, ὑποκουροῦντος ἐν αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω.

Συνόδου Λαοδικείας κανὼν μϑ' ν' να' νβ'.

μϑ' Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν σαββάτῳ καὶ κυριακῇ μόνον.

ν' Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ, τῇ ὑστέρᾳ ἑβδομάδι τὴν ε' λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν· ἀλλὰ δεῖ πᾶσαν τὴν τεσσαρακοστὴν νηστεύειν, ξηροφαγοῦντας.

να' Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ, μαρτύρων γενέθλιον ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων μαρτύρων μνείαν ποιεῖν ἐν τοῖς σαββάτοις καὶ ταῖς κυριακαῖς.

νβ' Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ γάμους καὶ γενέθλια ἐπιτελεῖν.

Συνόδου οἰκουμενικῆς ἕκτης
κανὼν κϑ' νβ' νε' νς' πϑ'.

κϑ' Ὁ τῶν ἐν Καρθαγέννῃ διαγορεύει κανὼν, ὥστε ἅγια θυσιαστήριον, εἰ μὴ ὑπὸ νηστικῶν ἀνθρώπων μὴ ἐπιτελεῖσθαι, ἐξηρημένης μιᾶς ἐτησίας ἡμέρας, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται· ἴσως τηνικαῦτα διά τινας κατὰ τοὺς τόπους προφάσεις τῇ ἐκκλησίᾳ λυσιτελεῖς, τῶν θείων ἐκείνων πατέρων τῇ αὐτῇ χρησαμένων οἰκονομίᾳ· μηδενὸς οὖν ἡμᾶς ἐνάγοντος καταλιπεῖν τὴν ἀκρίβειαν ὁρίζομεν, ἀποστολικαῖς καὶ πατρικαῖς ἑπόμενοι παραδόσεσι, μὴ δεῖν ἐν τῇ τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν.

νβ' Ἐν πάσαις ταῖς τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, παρεκτὸς σαββάτου, καὶ κυριακῆς, καὶ τῆς ἁγίας

τοῦ εὐαγγελισμοῦ ἡμέρας, γινέσθω ἡ τῶν προηγιασμένων ἱερὰ λειτουργία.

Ἐπειδὴ μεμαθήκαμεν τοὺς ἐν τῇ Ῥωμαίων πόλει, ἐν ταῖς ν΄
ἁγίαις τῆς τεσσαρακοστῆς ἡμέραις, τοῖς ταύτης σάββασι νηστεύειν, παρὰ τὴν παραδεθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ, ἀπαρασαλεύτως τὸν κανόνα τὸν λέγοντα· εἴ τις κληρικὸς εὑρεθῇ, τῇ ἁγίᾳ κυριακῇ νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Ὡσαύτως μεμαθήκαμεν ἐν τῇ Ἀρμενίων χώρᾳ καὶ ἐν ἑτέ- ν΄
ροις τόποις, ἐν τοῖς σάββασι καὶ ἐν ταῖς κυριακαῖς τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, ὠὰ καὶ τυρὸν ἐσθίειν τινὰς· ἔδοξε τοίνυν καὶ τοῦτο, ὥστε τὴν κατὰ πᾶσαν τὴν οἰκουμένην τοῦ θεοῦ ἐκκλησίαν, μιᾷ κατακολουθοῦσαν τάξει, τὴν νηστείαν ἐπιτελεῖν, καὶ ἀπέχεσθαι ὥσπερ θυτοῦ παντείου, οὕτω δὴ καὶ ὠοῦ καὶ τυροῦ, ἃ καρπός εἰσι καὶ γεννήματα ὧν ἀπεχόμεθα· εἰ δὲ μὴ τοῦτο παραφυλάττοιεν, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν· εἰ δὲ λαϊκοὶ, ἀφοριζέσθωσαν.

Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας, ἐν νηστείᾳ καὶ προσ- ξθ΄
ευχῇ καὶ κατανύξει καρδίας ἐπιτελοῦντας, χρὴ τοὺς πιστοὺς περὶ μέσης τῆς μετὰ τὸ μέγα σάββατον νυκτὸς ὥρας, ἀπονηστίζεσθαι· τῶν θείων εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν διὰ τοῦ ὀψὲ σαββάτων προσρήματος, τοῦ δὲ διὰ τοῦ ὄρθρου βαθέος, τὴν βραδυτῆτα τῆς νυκτὸς ἡμῖν ὑπογράφοντος.

Πέτρου ἐκ τοῦ λόγου τοῦ εἰς τὸ πάσχα κανὼν ιε΄.

Οὐκ ἐγκαλέσει τίς ἡμῖν παρατηρουμένοις τετράδα καὶ πα- ιε΄

ιθ' Εἴ τις τῶν ἀσκουμένων, χωρὶς σωματικῆς ἀνάγκης ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν, καὶ φυλαττομένας ὑπὸ τῆς ἐκκλησίας παραλύει, ὑποικουροῦντος ἐν αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω.

Συνόδου Λαοδικείας κανὼν μϑ' ν' ναʹ νβ'.

μϑ' Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν σαββάτῳ καὶ κυριακῇ μόνον.

ν' Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ, τῇ ὑστέρᾳ ἑβδομάδι τὴν ε' λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν· ἀλλὰ δεῖ πᾶσαν τὴν τεσσαρακοστὴν νηστεύειν, ξηροφαγοῦντας.

ναʹ Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ, μαρτύρων γενέθλιον ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων μαρτύρων μνείαν ποιεῖν ἐν τοῖς σαββάτοις καὶ ταῖς κυριακαῖς.

νβ' Ὅτι οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ γάμους καὶ γενέθλια ἐπιτελεῖν.

Συνόδου οἰκουμενικῆς ἕκτης
κανὼν κϑ' νβ' νεʹ νϛ' πϑ'.

κϑ' Ὁ τῶν ἐν Καρθαγέννῃ διαγορεύει κανών, ὥστε ἅγια Θυσιαστήριον, εἰ μὴ ὑπὸ νηστικῶν ἀνθρώπων μὴ ἐπιτελεῖσθαι, ἐξῃρημένης μιᾶς ἐτησίας ἡμέρας, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται· ἴσως τηνικαῦτα διά τινας κατὰ τοὺς τόπους προφάσεις τῇ ἐκκλησίᾳ λυσιτελεῖς, τῶν Θείων ἐκείνων πατέρων τῇ αὐτῇ χρησαμένων οἰκονομίᾳ· μηδενὸς οὖν ἡμᾶς ἐνάγοντος καταλιπεῖν τὴν ἀκρίβειαν ὁρίζομεν, ἀποστολικαῖς καὶ πατρικαῖς ἑπόμενοι παραδόσεσι, μὴ δεῖν ἐν τῇ τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν.

νβ' Ἐν πάσαις ταῖς τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, παρεκτὸς σαββάτου, καὶ κυριακῆς, καὶ τῆς ἁγίας

τοῦ εὐαγγελισμοῦ ἡμέρας, γινέσθω ἢ τῶν προηγιασμένων ἱερὰ λειτουργία.

Ἐπειδὴ μεμαθήκαμεν τοὺς ἐν τῇ Ῥωμαίων πόλει, ἐν ταῖς νέ
ἁγίαις τῆς τεσσαρακοστῆς ἡμέραις, τοῖς ταύτης σάββασι νηστεύειν, παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ, ἀπαρασαλεύτως τὸν κανόνα τὸν λέγοντα· εἴ τις κληρικὸς εὑρεθῇ, τῇ ἁγίᾳ κυριακῇ νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Ὡσαύτως μεμαθήκαμεν ἐν τῇ Ἀρμενίων χώρᾳ καὶ ἐν ἑτέ- νς
ροις τόποις, ἐν τοῖς σάββασι καὶ ἐν ταῖς κυριακαῖς τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, ὡὰ καὶ τυρὸν ἐσθίειν τινὰς· ἔδοξε τοίνυν καὶ τοῦτο, ὥστε τὴν κατὰ πᾶσαν τὴν οἰκουμένην τοῦ Θεοῦ ἐκκλησίαν, μιᾷ κατακολουθοῦσαν τάξει, τὴν νηστείαν ἐπιτελεῖν, καὶ ἀπέχεσθαι ὥσπερ θυτοῦ παντοίου, οὕτω δὴ καὶ ὠοῦ καὶ τυροῦ, ἃ καρπός εἰσι καὶ γεννήματα ὧν ἀπεχόμεθα· εἰ δὲ μὴ τοῦτο παραφυλάττοιεν, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν· εἰ δὲ λαϊκοὶ, ἀφοριζέσθωσαν.

Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας, ἐν νηστείᾳ καὶ προσ- πθ
ευχῇ καὶ κατανύξει καρδίας ἐπιτελοῦντας, χρὴ τοὺς πιστοὺς περὶ μέσης τῆς μετὰ τὸ μέγα σάββατον νυκτὸς ὥρας, ἀπονηστίζεσθαι· τῶν θείων εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν διὰ τοῦ ὀψὲ σαββάτων προσρήματος, τοῦ δὲ διὰ τοῦ ὄρθρου βαθέος, τὴν βραδυτῆτα τῆς νυκτὸς ἡμῖν ὑπογράφοντος.

Πέτρου ἐκ τοῦ λόγου τοῦ εἰς τὸ πάσχα κανὼν ιε'.

Οὐκ ἐγκαλέσει τίς ἡμῖν παρατηρουμένοις τετράδα καὶ πα- ιε

ρασκευὴν· ἐν αἷς καὶ νηστεύειν ἡμῖν κατὰ παράδοσιν, εὐλόγως προστέτακται· τὴν μὲν τετράδα, διὰ τὸ γενόμενον συμβούλιον ὑπὸ Ἰουδαίων ἐπὶ τῇ προδοσίᾳ τοῦ κυρίου· τὴν δὲ παρασκευὴν, διὰ τὸ πεπονθέναι αὐτὸν ὑπὲρ ἡμῶν· τὴν γὰρ κυριακὴν, χαρμοσύνης ἡμέραν ἄγομεν διὰ τὸν ἀναστάντα ἐν αὐτῇ, ἐν ᾗ οὐδὲ γόνατα κλίνειν παρειλήφαμεν.

Ἡ ε΄ διάταξις τοῦ ιβ΄ τίτ. τοῦ γ΄ βιβλ. τοῦ κώδ. φησὶν, ὅτι ἐν ταῖς προλαμβανούσαις τὸ πάσχα μ΄ ἡμέραις, πᾶσα ζήτησις τῶν ἐγκληματικῶν βασάνων σχολάζει· καὶ ἡ ς΄ διάτ. ὅτι ἄπρακτοί εἰσὶν αἱ πρὸ τοῦ πάσχα ζ΄ ἡμέραι, καὶ ζ΄ μετὰ τὸ πάσχα, καὶ ἡ Χριστοῦ γέννα, καὶ τὰ Θεοφάνια, καὶ ἡ τοῦ πάθους τῶν ἀποστόλων, καὶ ἡ κυριακὴ· ἐν ταῖς τοιαύταις ἡμέραις, οὔτε θέα τελεῖται, οὔτε δίκη λέγεται· ἐν δὲ ταῖς ιε΄ ἡμέραις τοῦ πάσχα, οὔτε χρέος ἰδιωτικὸν, οὔτε δημόσιον ἀπαιτεῖται· ἡ δὲ ζ΄ διάτ. ἐπιτρέπει ἐν ταῖς ιε΄ ταύταις τοῦ πάσχα ἡμέραις, ἐλευθερίας καὶ ἐμαγκιπατίονας πράττεσθαι, καὶ τὰ ἐπ' αὐταῖς ὑπομνήματα συνίστασθαι· ἡ δὲ η΄ διάτ. φησὶν, καὶ ὅτι ἐν τῇ μ΄, καὶ ἐν τῇ ἡμέρᾳ τοῦ πάσχα, βασανίζονται οἱ λῃσταὶ· ἐφ' ᾧ καὶ τοὺς συνίστορας ἐξειπεῖν, καὶ διαφερόντως οἱ Ἴσαυροι· ἡ δὲ γ΄ διάτ. τοῦ ὅ τίτ. τοῦ α΄ βιβλ. τοῦ κώδ. φησὶν, ὅτι ἐν ταῖς ἡμέραις τῆς πασχαλίας, οὐδεὶς ἐγκλείεται ἢ δεσμεῖται, πλὴν μοιχοῦ, καὶ αἰσχρουργοῦ, καὶ ἅρπαγος παρθένων, καὶ τυμβωρύχου, καὶ γόητος, καὶ παραχαράκτου, καὶ φονέως, καὶ πατροκτόνου, καὶ τυράννου· πάντες γὰρ οὗτοι πάντοτε ἀπολαμβάνουσιν, ἅπαξ δὲ μόνον οἱ λοιποὶ συγγινώσκονται.

ΚΕΦ. Β.

Περὶ τοῦ μήτε τὴν λεχὼ, μήτε τὸν ἐκ νόσου δυνάμενον οὐδ' ὅλως, ἀναγκάζεσθαι τὸ πάσχα νηστεύειν.

Τιμοθέου κανὼν ιδ'. – Ἐρώτησις.

Γυνὴ ἐὰν γεννήσῃ τῷ ἁγίῳ πάσχα, εἰ ὀφείλει νηστεῦσαι καὶ μὴ πιεῖν οἶνον, ἢ ἀπολύεται τῆς νηστείας καὶ τοῦ πίνειν οἶνον διὰ τὸ γεννῆσαι; ιδ'

Ἀπόκρισις.

Ἡ νηστεία ἐπενοήθη διὰ τὸ σῶμα ταπεινῶσαι· εἰ οὖν τὸ σῶμα ἐν κακώσει καὶ ταπεινώσει ἐστὶ, καὶ ἐν ἀσθενείᾳ τυγχάνει, ὀφείλει μεταλαβεῖν, καθὸ δύναται βαστάσαι, καὶ τροφῆς καὶ ποτοῦ.

Ἐρώτησις.

Ἐάν τις ᾖ ἀσθενῶν, καὶ ἐκτακεὶς πάνυ ἀπὸ τῆς πολλῆς ἀσθενείας, καὶ ἔλθοι τὸ ἅγιον πάσχα, εἰ πάντως ὀφείλει νηστεῦσαι, ἢ ἀπολύει αὐτὸν ὁ κληρικὸς λαμβάνειν ὃ δύναται, ἢ καὶ ἔλαιον καὶ οἶνον διὰ τὴν πολλὴν αὐτοῦ ἀσθένειαν; ιε'

Ἀπόκρισις.

Ἀπολύεσθαι ὀφείλει μεταλαμβάνειν καὶ τῶν τροφῶν καὶ τοῦ ποτοῦ ὁ ἀσθενῶν ὃ δύναται βαστάσαι· τὸ γὰρ μεταλαμβάνειν ἐλαίου τὸν ἅπαξ ἐκτακέντα, δίκαιόν ἐστιν.

ΚΕΦ. Γ.

Περὶ τῆς ἡμέρας καὶ τῆς ὥρας τῆς πασχαλίας καὶ τῶν Θεοφανίων.

Ἀποστόλων κανὼν ζ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἁγίαν ζ'

τοῦ πάσχα ἡμέραν, πρὸ τῆς ἑαρινῆς ἰσημερίας μετὰ Ἰουδαίων ἐπιτελέσει, καθαιρείσθω.

Συνόδου Ἀντιοχείας κανὼν α΄.

α΄ Πάντας τοὺς τολμῶντας παραλύειν τὸν ὅρον τῆς ἁγίας καὶ μεγάλης συνόδου, τῆς ἐν Νικαίᾳ συγκροτηθείσης, ἐπὶ παρουσίᾳ τῆς εὐσεβείας τοῦ θεοφιλεστάτου βασίλεως Κωνσταντίνου, περὶ τῆς ἁγίας ἑορτῆς τοῦ σωτηριώδους πάσχα, ἀκοινωνήτους καὶ ἀποβλήτους εἶναι τῆς ἐκκλησίας, εἰ ἐπιμένοιεν φιλονεικότεραν ἐνιστάμενοι πρὸς τὰ καλῶς δεδογμένα· καὶ ταῦτα εἰρήσθω περὶ τῶν λαϊκῶν· εἰ δέ τις τῶν προεστώτων τῆς ἐκκλησίας ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, μετὰ τὸν ὅρον τοῦτον, τολμήσειεν ἐπὶ διαστροφῇ τῶν λαῶν καὶ ταραχῇ τῶν ἐκκλησιῶν ἰδιάζειν, καὶ μετὰ τῶν Ἰουδαίων ἐπιτελεῖν τὸ πάσχα, τοῦτον ἡ ἁγία σύνοδος ἐντεῦθεν ἤδη ἀλλότριον κέκρικε τῆς ἐκκλησίας, ὡς οὐ μόνον ἑαυτῷ ἁμαρτίας ἐπισωρεύοντα, ἀλλὰ καὶ πολλῆς διαφθορᾶς καὶ διαστροφῆς αἴτιον γινόμενον· καὶ οὐ μόνον τοὺς τοιούτους καθαιρεῖ τῆς λειτουργίας, ἀλλὰ καὶ τοὺς τολμῶντας τούτοις κοινωνεῖν μετὰ τὴν καθαίρεσιν· τοὺς δὲ καθαιρεθέντας, ἀποστερεῖσθαι καὶ τῆς ἔξωθεν τιμῆς, ἧς ὁ ἅγιος κανὼν καὶ τὸ τοῦ θεοῦ ἱερατεῖον μετείληφεν.

Συνόδου Καρθαγέννης κανὼν να΄ ογ΄.

Ὥστε ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος ἀγγέλλεσθαι τὴν ἡμέραν τοῦ πάσχα.

Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον.

να΄ Ἐπειδὴ τὰ ἐν τῷ κομμονιτορίῳ ἡμῶν πάντα δεῖ συζεῦξαι, προστίθεμεν ἔτι μὴν ἐνταλὲν ἡμῖν περὶ τῆς ἡμέρας τοῦ πάσχα, ἵνα κατὰ τὸ εἰωθὸς, ἀπὸ τῆς ἐκκλησίας Καρχηδόνος ἀεὶ παρασκευαζώμεθα, καὶ μὴ ἐν ξενῷ τοῦ χρόνου διασήματι.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Ἐὰν δοκῇ τῇ ἁγιωσύνῃ ὑμῶν, ἐπειδὴ μεμνήμεθα ἤδη ἐκ πολλοῦ ἡμᾶς ἐπαγγειλαμένους, ὥστε ἐν ἑκάστοις ἐνιαυτοῖς συνέρχεσθαι πρὸς τὸ συζητεῖν, ὅταν εἰς ἓν συνέλθωμεν, τότε διαδοθήσεται τοῦ ἁγίου πάσχα ἡ ἡμέρα, διὰ τῶν εὑρεθησομένων ἐν τῇ συνόδῳ τοποτηρητῶν.

Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον.

Νῦν διὰ τῆς παρούσης συνελεύσεως αἰτοῦμεν, ἵνα γράμμασι τυπῶσαι τὰς ἡμετέρας ἐπαρχίας καταξιώσητε.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Ἀναγκαῖον ἐστὶν οὕτως γενέσθαι.

Περὶ τοῦ τὴν ἡμέραν τοῦ πάσχα, ἐν τῇ ἡμέρᾳ τῆς συνόδου ἀγγέλλεσθαι.

Ὁμοίως ἤρεσεν, ὥστε τὴν ἡμέραν τοῦ προσκυνητοῦ πάσχα, διὰ τῆς τῶν τετυπωμένων ὑπογραφῆς πᾶσιν ἐμφανίζεσθαι· ἡ δὲ τῆς συνόδου ἡμέρα ἡ αὐτὴ φυλαχθῇ, ἥ τις ὡρίσθη ἐν τῇ ἐν Ἱππῶνι συνόδῳ, τουτέστιν ἡ πρὸ δέκα καλανδῶν σεπτεβρίων· ὀφείλει γὰρ καὶ γραφῆναι πρὸς τοὺς πρωτεύοντας πασῶν τῶν ἐπαρχιῶν, ἵνα ὅτε παρ' ἑαυτοῖς σύνοδον προσκαλοῦνται, ταύτην τὴν ἡμέραν φυλάττωσιν. ογ'

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν πϑ'.

Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας, ἐν νηστείᾳ καὶ προσευχῇ καὶ κατανύξει καρδίας ἐπιτελοῦντας, χρὴ τοὺς πιστοὺς περὶ μέσας τῆς μετὰ τὸ μέγα σάββατον νυκτὸς ὥρας, ἀπονηστίζεσθαι, τῶν θείων εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν διὰ τοῦ ὀψὲ σαββάτων προσρήματος· τοῦ δὲ διὰ τοῦ ὄρθρου βαθέος, τὴν βραδύτητα τῆς νυκτὸς ἡμῖν ὑπογράφοντος.

Πέτρου κανὼν ιε'.

Οὐκ ἐγκαλέσει τίς ἡμῖν etc. ut p. 175. ιε'

Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κανὼν α'.

α' Τούτων οὕτως ἐχόντων, τοῦτο τοῖς ἀκριβολογουμένοις ἀποφαινόμεθα, κατὰ ποίαν ὥραν ἢ καὶ ποῖον ἡμιώριον ἢ ὥρας τέταρτον ἄρχεσθαι προσῆκε τῆς ἐπὶ τῇ τοῦ κυρίου ἡμῶν ἐκ νεκρῶν ἀναστάσει χαρᾶς· τοὺς μὲν λίαν ἐπιταχύνοντας, καὶ πρὸ νυκτὸς ταχὺ ἐγγὺς ἤδη μεσούσης ἀνιέντας, ὡς ὀλιγώρους καὶ ἀκρατεῖς μεμφόμεθα, παρ' ὀλίγον προκαταλύοντας τὸν δρόμον· λέγοντος ἀνδρὸς σοφοῦ, οὐ μικρὸν ἐν βίῳ τὸ παρὰ μικρόν· τοὺς δὲ ἐφυστερίζοντας καὶ διαρκοῦντας ἐπὶ πλεῖον, καὶ μέχρι τετάρτης φυλακῆς ἐγκαρτεροῦντας, καθ' ἣν καὶ τοῖς πλέουσιν ὁ σωτὴρ ἡμῶν περιπατῶν ἐπὶ τῆς θαλάσσης ἐπεφάνη, ὡς γενναίους καὶ φιλοπόνους ἀποδεξόμεθα· τοὺς δὲ μεταξὺ ὡς ἐκινήθησαν ἢ ὡς ἠδυνήθησαν ἀναπαυσαμένους, μὴ πάνυ διεχλῶμεν· ἐπεὶ μὴ δὲ τὰς ἐξ τῶν νηστειῶν ἡμέρας ἴσως μὴ δὲ ὁμοίως πάντες διαμένουσιν· ἀλλ' οἱ μὲν καὶ πάσας ὑπερτιθέασιν, ἄσιτοι διατελοῦντες· οἱ δὲ β', εἰ δὲ γ', οἱ δὲ δ', εἰ δὲ σύδὲ μίαν· καὶ τοῖς μὲν πάνυ διαπονηθεῖσιν ἐν ταῖς ὑπερθέσεσιν, εἶτα ἀποκαμοῦσι, καὶ μόνον σὺκ ἐκλείπουσι, συγγνώμη τῆς ταχυτέρας γεύσεως· εἰ δέ τινες σὺχ' ὅπως σὺχ' ὑπερθέμενοι, ἀλλὰ μὴ δὲ νηστεύσανες, ἀλλὰ καὶ τρυφήσαντες τὰς προαγούσας τέσσαρας, εἶτα ἐλθόντες ἐπὶ τὰς τελευταίας δύο, καὶ μόνας αὐτὰς ὑπερτιθέντες, τήν τε παρασκευὴν καὶ τὸ σάββατον, μέγα τι καὶ λαμπρὸν ποιεῖν νομίζουσιν, ἂν μέχρι τῆς ἕω διαμείνωσιν, σὺκ εἶμαι τὴν ἄθλησιν αὐτοὺς πεποιῆσθαι ἴσην τοῖς τὰς πλείονας ἡμέρας προσκηκόσι· ταῦτα μὲν ὡς φρονῶ καὶ συμβουλεύω, περὶ τούτων ἔγραψα.

Θεοφίλου ἐκ τῆς περὶ τῶν Θεοφανίων προσφωνῆς κεφ. δ'.

Περὶ δὲ Πανσὺφ etc. ut p. 94.

ΚΕΦ. Δ.

Περὶ τοῦ μὴ χρῆναι ἐν κυριακῇ θεώρια γίνεσθαι, ἢ γόνυ κλίνειν ἐν κυριακῇ, ἢ ταῖς ἡμέραις τῆς πεντηκοστῆς· καὶ ὅτι κατὰ τὸ ἐγχωροῦν, δεῖ σχολάζειν τὴν κυριακὴν, οὐ μὴν τὸ σάββατον· καὶ ὅτι δεῖ γραφὰς ἀναγινώσκειν τὸ σάββατον.

Συνόδου Νικαίας κανὼν κ'.

Ἐπειδή τινες εἰσὶν ἐν τῇ κυριακῇ γονυκλιτοῦντες, καὶ ἐν ταῖς τῆς πεντηκοστῆς ἡμέραις, ὑπὲρ τοῦ πάντα ἐν πάσῃ παρεικίᾳ φυλάττεσθαι, ἑστῶτας ἔδοξε τῇ ἁγίᾳ συνόδῳ τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ. κ'

Συνόδου Λαοδικείας κανὼν κθ'.

Ὅτι οὐ δεῖ χριστιανοὺς ἰουδαΐζειν καὶ ἐν τῷ σαββάτῳ σχολάζειν, ἀλλ' ἐργάζεσθαι αὐτοὺς ἐν αὐτῇ τῇ ἡμέρᾳ· τὴν δὲ κυριακὴν προτιμῶντας, εἴ γε δύναιντο, σχολάζειν ὡς χριστιανοί· εἰ δὲ εὑρεθεῖεν ἰουδαΐζοντες, ἔστωσαν ἀνάθεμα παρὰ Χριστῷ. κθ'

Συνόδου Καρθαγέννης κανὼν ξά'.

Περὶ θεωρίων, ἵνα ἐν τῇ κυριακῇ καὶ ἐν ταῖς λοιπαῖς τῶν ἁγίων ἑορταῖς μηδαμῶς ἐπιτελῶνται.

Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι, ἵνα τὰ θεώρια τῶν θεατρικῶν παιγνίων, ἐν τῇ κυριακῇ, καὶ ἐν ταῖς λοιπαῖς φαιδραῖς τῆς τῶν χριστιανῶν πίστεως ἡμέραις, κωλύωνται μάλιστα· ὅτι ἐν τῇ ὀγδοάδι τοῦ ἁγίου πάσχα, οἱ ὄχλοι μᾶλλον εἰς τὸ ἱπποδρόμιον, ἤπερ εἰς τὴν ἐκκλησίαν συνέρχονται, ὀφείλειν μετενεχθῆναι τὰς ὡρισμένας αὐτῶν ἡμέρας, ὅτε ἀπαντήσει, καὶ μὴ ὀφείλειν τινὰ τῶν χριστιανῶν πρὸς τὰ θεώρια ταῦτα ἀναγκάζεσθαι. ξά'

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιθ' ξς' ψ.

ιθ' Ὅτι δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας, ἐν πάσῃ μὲν ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους, ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους τὰ τῆς ἀληθείας νοήματά τε καὶ κρίματα, καὶ μὴ παρεκβαίνοντας τοὺς ἤδη τεθέντας ὅρους, ἢ τὴν ἐκ τῶν θεοφόρων πατέρων παράδοσιν· ἀλλὰ καὶ εἰ γραφικὸς ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνεύετωσαν, ἢ ὡς ἂν οἱ τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν εἰκείων συγγραμμάτων παρέθεντο· καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν, ἢ λόγους εἰκείους συντάττοντες· ἔστιν ὅτε ἀπόρως ἔχοντες πρὸς τοῦτο, ἀποπίπτοιεν τοῦ προσήκοντος· διὰ γὰρ τῆς τῶν προειρημένων πατέρων διδασκαλίας εἰ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ αἱρετῶν, καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων, τὸν βίον μεταῤῥυθμίζουσι πρὸς τὸ βέλτιον, καὶ τῷ τῆς ἀγνοίας οὐχ' ἁλίσκονται πάθει, ἀλλὰ προσέχοντες τῇ διδασκαλίᾳ, ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσι, καὶ φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν, τὴν σωτηρίαν αὐτοῖς ἐξεργάζονται.

ξς' Ἀπὸ τῆς ἁγίας ἀναστασίμου Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἡμέρας, μέχρι τῆς καινῆς κυριακῆς, τὴν ὅλην ἑβδομάδα ἐν ταῖς ἁγίαις ἐκκλησίαις σχολάζειν δεῖ ἀπαραλείπτως τοὺς πιστοὺς ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφραινομένους ἐν Χριστῷ καὶ ἑρτάζοντας, καὶ τῇ τῶν θείων γραφῶν ἀναγνώσει προσέχοντας, καὶ τῶν ἁγίων μυστηρίων κατατρυφῶντας· ἐσόμεθα γὰρ σὺν τῷ Χριστῷ συνανιστάμενοί τε καὶ συνυψούμενοι· μηδαμῶς οὖν ἐν ταῖς προκειμέναις ἡμέραις ἱπποδρόμια ἢ ἑτέρα δημώδης θέα ἐπιτελείσθω.

Ταῖς κυριακαῖς μὴ γόνυ κλίνειν, ἐκ τῶν Θεοφόρων ἡμῶν ιγ'
πατέρων κανονικῶς παρελάβομεν, τὴν τοῦ Χριστοῦ τιμῶντες
ἀνάστασιν· ὡς ἂν οὖν μὴ ἀγνοῶμεν τὸ σαφὲς τῆς τούτου
παρατηρήσεως, δῆλον τοῖς πιστοῖς καθιστῶμεν, ὥστε μετὰ
τὴν ἐν τῷ σαββάτῳ ἑσπερινὴν τῶν ἱερωμένων πρὸς τὸ Θυ-
σιαστήριον εἴσοδον, κατὰ τὸ κρατοῦν ἔθος μηδένα γόνυ κλί-
νειν μέχρι τῆς ἑφεξῆς κατὰ τὴν κυριακὴν ἑσπέρας, καθ' ἣν
μετὰ τὴν ἐν τῷ λυχνικῷ εἴσοδον, αὖθις τὰ γόνατα κάμ-
πτοντες, εὔτω τὰς εὐχὰς τῷ κυρίῳ προσάγομεν· τῆς γὰρ
ταῦ σωτῆρος ἡμῶν ἐγέρσεως πρόδρομον τὴν μετὰ τὸ σάββα-
τον νύκτα παραλαμβάνοντες, τῶν ὕμνων ἐντεῦθεν πνευμα-
τικῶς ἀπαρχόμεθα, εἰς φῶς ἐκ σκότους τὴν ἑρτὴν κατα-
λήγοντες· ὡς ἐν ὁλοκλήρῳ ἐντεῦθεν νυκτὶ καὶ ἡμέρᾳ πανη-
γυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

Πέτρου κανὼν ιε'.

Οὐκ ἐγκαλέσει τίς ἡμῖν etc. ut p. 175. ιε'

Θεοφίλου ἐκ τῆς περὶ τῶν Θεοφανίων προσφωνῆς.

Καὶ τὸ ἔθος τὸ πρέπον ἡμᾶς ἀπαιτεῖ, πᾶσαν κυριακὴν τιμᾶν, καὶ ἐν ταύτῃ πανηγυρίζειν, ἐπειδήπερ ἐν ταύτῃ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἐκ νεκρῶν ἀνάστασιν ἡμῖν ἐπρυτάνευσε· διὸ ἐν ταῖς ἱεραῖς γραφαῖς καὶ πρώτη κέκληται, ὡς ἀρχὴ ἡμῖν ζωῆς ὑπάρχουσα, καὶ ὀγδόη ἅτε δὴ ὑπεραναβεβηκυῖα τὸν τῶν Ἰουδαίων σαββατισμόν· ἐπεὶ οὖν συνέβη τὴν τῶν ἁγίων Θεοφανίων νήστιμον ἡμέραν ταύτην εἶναι, οἰκονομήσωμεν καὶ ὡρὸς ἑκάτερον ἐπιστημόνως χωρήσωμεν· ἵνα μεταλαμβάνοντες ὀλίγων φοινίκων, ἐκλίνωμεν ἅμα καὶ τὰς αἱρέσεις τὰς μὴ τιμώσας τὴν ἀναστάσιμον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμέραν, καὶ τὸ ὀφειλόμενον τῇ νηςίμῳ ἡμέρᾳ ἀποδῶμεν, περιμένοντες τὴν ἑσπε-

ρινὴν σύναξιν, ἤ τις ἐνταῦθα θεοῦ θέλοντος ἐπιτελεῖται· συναχθῶμεν τοίνυν ἀπὸ ὥρας ἐννάτης ἐνταῦθα.

Ἡ ς′ διάτ. τοῦ ιβ′ τίτ. τοῦ γ′ βιβλ. τοῦ κώδ. λέγει τὴν κυριακὴν ἄπρακτον εἶναι· ἡ δὲ θ′ διάτ. τοῦ αὐτοῦ τίτ. ὅτι ἐν αὐτῇ οὐχ' ὑπομιμνήσκεταί τις, ἢ ἐγγύας ἀπαιτεῖται, ἢ δημόσιον, ἢ ἰδιωτικὸν χρέος, οὔτε δικάζεται, οὔτε σκηνικὴ θέα, ἢ κυνηγίου, ἢ ἱππεδρομίου τελεῖται· ἀλλ' εἰ καὶ φθάσει νατάλιον βασιλέως ἐν κυριακῇ, ὑπερτίθεται τὸ θεώριον· ὁ δὲ θεωρῶν ἐν κυριακῇ ἀποστρατεύεται καὶ δημεύεται, καὶ ὁ ἐκβιβαστὴς παραβὰς τὸν νόμον· ἔξεστι δὲ πακτεύειν καὶ διαλύεσθαι ἐν κυριακῇ· εἴρηται βιβλ. α′ τίτ. θ′ διάτ. β′ καὶ ιγ′ ὅτι οἱ Ἰουδαῖοι ἐν τῷ σαββάτῳ καὶ ταῖς ἄλλαις αὐτῶν ἑορταῖς, οὔτε σωματικῶς λειτουργοῦσιν, οὔτέ τι ποιοῦσιν, οὔτε διὰ δημοσίαν ἢ ἰδιωτικὴν αἰτίαν ἐνάγονται, ἢ χριστιανοῖς ἐνάγουσιν.

ΚΕΦ. Ε.

Τίς ἡ αἰτία τῆς γονυκλισίας, καὶ τοῦ μὴ τοῦτο γίνεσθαι ἐν κυριακῇ καὶ ταῖς ἡμέραις τῆς πεντηκοστῆς, καὶ διὰ τί πρὸς ἀνατολὰς ὁρῶντες εὐχόμεθα.

Βασιλείου ἐκ τοῦ κζ′ κεφ. τῶν πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου πνεύματος.

Τῶν ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων etc. ut p. 17.

Καὶ μεθ' ἕτερα.

Οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων παραδόσεως etc. ut p. 18.

Καὶ ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς etc. ut p. cit.

ΤΙΤΛΟΣ Η.

ΠΕΡΙ ΠΑΡΟΙΚΙΩΝ, ΚΑΙ ΠΩΣ ΔΙΑΓΟΥΣΙΝ ΕΠΙΣΚΟΠΟΙ ΚΑΙ ΚΛΗΡΙΚΟΙ, ΚΑΙ ΠΕΡΙ ΑΠΟΔΗΜΙΑΣ ΑΥΤΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΚΑΤ' ΕΤΟΣ ΣΥΝΟΔΩΝ, ΚΑΙ ΞΕΝΟΔΟΧΙΑΣ, ΚΑΙ ΔΙΔΑΣΚΑΛΙΑΣ, ΚΑΙ ΣΥΣΤΑΤΙΚΗΣ ΚΑΙ ΕΙΡΗΝΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ, ΚΑΙ ΠΟΙΑ ΠΡΑΤΤΟΥΣΙΝ ΙΔΙΩΤΙΚΑ Η ΔΗΜΟΣΙΑ ΠΡΑΓΜΑΤΑ, ΚΑΙ ΠΩΣ ΟΙ ΚΛΗΡΙΚΟΙ ΑΛΛΗΛΟΥΣ ΤΙΜΩΣΙ.

TITULUS VIII.

DE PAROECIIS, ET QUOMODO SE GERANT EPISCOPI ET CLERICI, ET DE EORUM PEREGRINATIONE, ET DE ANNUIS SYNODIS, ET DE RECIPIENDIS HOSPITIBUS, ET DE DOCTRINA, NEC NON DE COMMENDATITIIS AC PACIFICIS EPISTOLIS, ET QUID AGANT PRIVATE VEL PUBLICE, ET QUOMODO CLERICI INVICEM SE HONORENT.

ΚΕΦ. Α.

Περὶ παροικιῶν, καὶ τῶν ἀπὸ βασιλικῶν τύπων, γινομένων καινισμῶν.

Συνόδου Χαλκηδόνος κανὼν ιζ'.

Τὰς καθ' ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας ἢ ἐγ- ιζ'
χωρίους, μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα εἰ τριακονταετῆ χρόνον ταύτας ἀβιάστως διακατέχοντες ᾠκονόμησαν· εἰ δὲ ἐντὸς τῶν λ' ἐτῶν γεγένηταί τις ἢ γένοιτο περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικῆσθαι περὶ τούτων, κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας· εἰ δέ τις ἀδικοῖτο παρὰ τοῦ οἰκείου μητροπολίτου, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ δικαζέσθω, καθὰ πρόειρηται· εἰ δὲ καί τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις, ἢ αὖθις καινι-

σθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις καὶ τῶν ἐκκλησιαστικῶν παροικιῶν ἡ τάξις ἀκολουθείτω.

Συνόδου Καρθαγέννης κανὼν νγ' νς' ξδ' οα' οε' πβ'.

Ὥστε τὰς διοικήσεις, εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου, ἐπίσκοπον ἕτερον μὴ δέχεσθαι.

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν.

νγ' Ἐν πολλαῖς συνόδοις ὥρισται συνεδρίῳ ἱερατικῷ, ἵνα τὰ πλήθη τὰ ἐν ταῖς παροικίαις ὑπὸ τῶν ἐπισκόπων κατεχόμενα, τὰ ἴδιον ἐπίσκοπον μηδέποτε ἐσχηκότα, εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἐπισκόπου, παρ' οὗ ἐξ ἀρχῆς κατέχονται, μὴ λαμβάνοιεν ἰθυντὰς ἰδίους, τουτέστιν ἐπισκόπους· ἐπειδή τινες τυραννίδος τινὸς ἐπιτετυχηκότες, τὴν τῶν ἀδελφῶν κοινωνίαν ἀποσρέφονται, καὶ ὅταν δὲ ἀποφαυλισθῶσιν, ὡσανεί τινι παλαιᾷ τυραννίδι δεσποτείας ἑαυτοὺς ἐκδικοῦσι· πολλοὶ δὲ καὶ ἐκ τῶν πρεσβυτέρων φυσιούμενοι καὶ μωροὶ, τοὺς αὐχένας ἐπανιστῶσι κατὰ τῶν οἰκείων ἐπισκόπων, τὸ πλῆθος συμποσίοις καὶ κακοθελέσι συμβουλίαις διεγείροντες, ὡς ἀτάκτῳ εὐνοίᾳ τούτους ἑαυτοῖς ἰθυντὰς καθιστάνειν· τοῦτο δὲ ἐπισήμως εὐκταῖον παρὰ τῆς ὑμετέρας κατέχομεν διανοίας, πιστότατε ἀδελφὲ Αὐρήλιε, ὅτι πολλὰς τὰς τοιαύτας ὁρμὰς μὴ προσδεχόμενος ἐκώλυσας· διὰ δὲ τὰς τῶν τοιούτων κακοθελεῖς ἐννοίας, καὶ τὰ φαύλως συμφωνούμενα βουλεύματα τοῦτο λέγω, μὴ ὀφείλειν ἴδιον καθηγητὴν δέξασθαι τὸ πλῆθος τὸ ἐν τῇ λεγομένῃ παροικίᾳ ὑποκείμενον ἀρχαίῳ ἐπισκόπῳ, καὶ μηδέποτε ἴδιον ἐπίσκοπον ἐσχηκὸς· διὸ ἐὰν συμπάσῃ τῇ ἁγιωτάτῃ συνόδῳ ἀρέσκῃ τὸ παρ' ἐμοῦ, βεβαιωθήτω.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν τῇ ἐξακολουθήσει,

οὐκ ἀνθίσταμαι· ἀλλὰ τοῦτο ἐμὲ καὶ πεπεισηκότα καὶ ποιήσοντα ὁμολογῶ, δηλαδὴ περὶ τοὺς ὁμονοοῦντας, οὐ μόνον τῇ ἐν Καρχηδόνι ἐκκλησίᾳ, ἀλλὰ καὶ πάσῃ τῇ ἱερατικῇ συγκληρώσει· εἰσὶ γὰρ πλεῖστοι συμπνέοντες τοῖς οἰκείοις πλήθεσιν, ἅ τινα ὡς λέλεκται ἀπατῶσι κνήθοντες τὰς ἀκοὰς αὐτῶν, καὶ κολακεύοντες πρὸς ἑαυτοὺς, ἀνθρώπους κατεγνωσμένου βίου· μᾶλλον δὲ φυσιούμενοι, καὶ ἐκ τῆς συγκληρώσεως ταύτης ἑαυτοὺς χωρίζοντες, οἵ τινες τῷ ἰδίῳ πλήθει ἐπερειδόμενοι, πολλάκις συγκληθέντες ἐλθεῖν εἰς σύνοδον, παραιτοῦνται ὡς φοβούμενοι μή πως τὰ τούτων ἀτοπήματα φανερωθῶσι· λέγομεν οὖν, ἐὰν δοκῇ· ὀφείλομεν παντὶ τρόπῳ ἀγωνίσασθαι, τούτοις μὴ μόνον τὰς τοιαύτας διοικήσεις μὴ φυλάττεσθαι, ἀλλὰ μὴ δὲ τὰς ἰδίας ἐκκλησίας τὰς κακῶς εἰς ἑαυτοὺς περιελθούσας· καὶ ἵνα αὐθεντικῶς δημοσίᾳ ἐκβάλλωνται, καὶ αὐτῆς τῆς τῶν πρωτευόντων καθέδρας ἀποκινῶνται· χρὴ γὰρ τοὺς σύμπασι τοῖς ἀδελφοῖς καὶ ὅλῃ τῇ συνόδῳ προσκολλωμένους, μὴ μόνον τὴν οἰκείαν κατέχειν δικαίως καθέδραν, ἀλλ' ἔτι μὴν τὰς τοιαύτας διοικήσεις κεκτῆσθαι· τοὺς δὲ δοκοῦντας τοῖς ἰδίοις ὄχλοις ἀρκεῖσθαι, καὶ τῆς ἀδελφικῆς ἀγάπης καταφρονοῦντας, μὴ μόνον τὰς διοικήσεις ἀπολλύειν, ἀλλ' ἔτι μὴν ὡς εἶπον, καὶ τῶν ἰδίων τόπων ἀρχοντικῆ στερεῖσθαι, ὡς ἀντάρτας, δυναστείᾳ.

Ὀνωράτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον.

Ἡ μεγίστη πρόνοια τῆς ὑμετέρας ἁγιωσύνης, ταῖς πάντων διανοίαις ἐνεκαθέσθη, καὶ λογιζόμεθα ὀφείλειν τῇ πάντων ἀποκρίσει βεβαιωθῆναι τὴν ὑμετέραν ἐξακολούθησιν.

Σύμπαντες ἐπίσκοποι εἶπον. – Ἀρέσκει. – Ἀρέσκει.

Περὶ τοῦ τοὺς ἐν ταῖς παροικίαις χειροτονουμένους ἐπισκόπους, μή τινα ἑαυτοῖς ἐκδικεῖν διοίκησιν.

Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον.

ν΄ Ἠκούσαμεν ὁρισθὲν, ἵνα αἱ παροικίαι μὴ ἀξιῶνται λαμβάνειν ἐπισκόπους, εἰ μὴ κατὰ συναίνεσιν τούτου ὑφ' ὃν καθίσταντο· ἐν δὲ τῇ χώρᾳ ἡμῶν κατὰ συγχώρησιν τοῦ ἐξ ἀρχῆς κατέχοντος τὰς διοικήσεις ἐπισκόπου, τινὲς εἰς τὰς αὐτὰς παροικίας χειροτονηθέντες ἐπίσκοποι, ἑαυτοῖς ἔτι μὴν ἑτέρας διεκδικοῦσι· τοῦτο καὶ κωλυθῆναι τῇ ἀπὸ τῆς ὑμετέρας ἀγάπης κρίσει, καὶ ἀναρτηθῆναι τοῦ λοιποῦ ὀφείλει.

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν.

Ἑκάςῳ ἐπισκόπῳ τὸ πρέπον ἐφυλάχθη, ἵνα ἐκ τῆς συγκτησίας τῶν παροικιῶν, μηδὲν ἀποδρεφθείη πρὸς τὸ ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰ μὴ κατὰ συναίνεσιν τοῦ τὴν ἐξουσίαν ἔχοντος· ἐὰν δὲ αὐτὸς παραχωρήσῃ, ὥστε τὴν αὐτὴν διοίκησιν ἐπιτραπεῖσαν ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰς τὰς λοιπὰς τὸν προχειρισθέντα μὴ ἐπιβαλέσθαι διοικήσεις· διότι μία ἐκ τοῦ σώματος τῶν πολλῶν ἀφαιρεθεῖσα, αὐτὴ καὶ μόνη ἠξιώθη τιμὴν ἰδίας ἐπισκοπῆς ἀναδέξασθαι.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Οὐκ ἀμφιβάλλω τῇ πάντων ὑμῶν ἀγάπῃ ἀρέσκειν, ὥστε τὸν κατὰ συγχώρησιν τοῦ προτέρου ἐπισκόπου ἐν τῇ διοικήσει προχειρισθέντα ἐπίσκοπον, μόνον αὐτὸν κατέχειν τὸν λαὸν εἰς ὃν ἐχειροτονήθη· ἐπειδὴ σὺν πάντα νομίζω εἶναι τετρακταϊσμένα, ἐὰν πάντα στοιχῇ τῷ λογισμῷ ὑμῶν, πάντα βεβαιώσατε τῇ ὑμετέρᾳ ἐκφωνήσει.

Πάντες οἱ ἐπίσκοποι εἶπον.

Πᾶσιν ἡμῖν ταῦτα ἤρεσαν, καὶ τῇ ἡμετέρᾳ ὑπογραφῇ ταῦτα βεβαιοῦμεν.

Καὶ ὑπέγραψαν.

Αὐρήλιος ἐπίσκοπος τῆς ἐκκλησίας Καρχηδόνος, τῷ παρόντι θεκρέτῳ συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα.

Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Ἐν ταύτῃ τῇ συνόδῳ ὡρίσθη, ἵνα ἐπίσκοπος χωρὶς ἀπολυτικῆς μὴ πλεύσῃ.

Ἐπὶ Καισαρίου καὶ Ἀττικοῦ, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ ἓξ καλανδῶν ἰουλίων ἐν Καρχηδόνι, ἤρεσε μηδένα τῶν ἐπισκόπων πλέειν χωρὶς ἀπολυτικῆς τοῦ πρωτεύοντος.

Τὰ πεπραγμένα ὁ ζητῶν ἐν τοῖς αὐθεντικοῖς εὑρήσει.

Ἐκ τῆς συνόδου ταύτης τεποτηρηταὶ πρὸς βασιλέας, οἱ ὑπεγεγραμμένοι ἐπίσκοποι ἀπεστέλλοντο (1).

Περὶ ἐλευθεριῶν τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων, αἰτητέον ἀπὸ τοῦ βασιλέως.

Περὶ ἐλευθεριῶν δηλαδὴ ἐν τῇ ἐκκλησίᾳ κηρυκτέων· ἐὰν ξδ' τοῦτο οἱ ἡμέτεροι συνιερεῖς φαίνωνται πειοῦντες ἀνὰ τὴν Ἰταλίαν, καὶ ἡ ἡμετέρα δῆλον πεπείθησις τῇ τούτων τάξει ἕπεται, δεθείσης φανερῶς ἀδείας, πεμπομένου τοποτηρητοῦ, ἵνα εἰαθήποτε ἀξία πίστεως, ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, καὶ τῆς τῶν ψυχῶν σωτηρίας ἐκτελέσαι δυνηθείη· καὶ ἡμεῖς ἐπαινετῶς ἐνώπιον τοῦ κυρίου ὑποδεξώμεθα ταῦτα πάντα· ἐὰν τῇ ὑμερέρᾳ ἁγιωσύνῃ ἀρέσκῃ, ἐξείπατε· ἵνα καὶ τὴν ἐμὴν ἀναφορὰν βεβαίαν οὖσαν ὑμῖν ἐπιδείξω, καὶ τὰ παρὰ τῆς πάντων ἡμῶν συναινέσεως ἡ αὐτῶν εἰλικρινότης ἡδέως προσδέξηται.

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη.

Πᾶσιν ἀρέσκει τὰ προτεθέντα, καὶ συνετῶς ἀπὸ τῆς σῆς οα' ἁγιωσύνης ἐξηγηθέντα, ὀφείλει ἐκτελεσθῆναι.

(1) Desunt in codice legatorum episcoporum nomina.

Περὶ τῶν τοὺς ἰδίους λαοὺς ἐγκαταλιμπανόντων.

Πάλιν ἤρεσεν, ὥστε μηδενὶ ἐξεῖναι ἐπισκόπῳ, καταλειφθείσης τῆς αὐθεντικῆς αὐτοῦ καθέδρας, πρός τινα ἐκκλησίαν ἐν διοικήσει καθεστῶσαν ἑαυτὸν ἀποφέρειν, ἢ ἐν οἰκείῳ πράγματι, ὑπὲρ ὃ χρὴ ἐπὶ πολὺ ἀπασχολουμένῳ, ἀμελεῖν τῆς φροντιδος καὶ τῆς συνεχείας τοῦ ἰδίου θρόνου.

Περὶ ἐκδίκων τῶν ἐκκλησιῶν τῶν ὀφειλόντων ἀπὸ τοῦ βασιλέως αἰτηθῆναι.

οε' Σύμπασιν ἔδοξεν αἰτῆσαι ἀπὸ τῶν βασιλέων διὰ τὴν τῶν πενήτων κάκωσιν, ὧν ταῖς ἐπαχθείαις ἀπαύστως ἡ ἐκκλησία παρενοχλεῖται, ὥσε ἐκδίκους τούτοις μετὰ τῆς τῶν ἐπισκόπων προνοίας ἐπιλεγῆναι, κατὰ τῆς τῶν πλουσίων τυραννίδος.

Περὶ ἐλευθεριῶν.

πβ' Ὁμοίως ἤρεσεν, ἵνα περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων ἐλευθεριῶν, ἀπὸ τοῦ βασίλεως αἴτησις γένηται.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν κε' λς' λζ' λη' λθ'.

κε' Πρὸς τοῖς ἄλλοις ἅπασιν ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα, τὰς καθ' ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας ἢ ἐγχωρίους, μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα εἰ τριακονταετῆ χρόνον ταύτας ἀβιάστως διακατέχοντες ὠκονόμησαν· εἰ δὲ ἐντὸς τῶν λ' ἐτῶν γεγένηταί τις, ἢ γένοιτο περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικῆσθαι, περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας.

λς' Ἀνανεούμενοι τὰ παρὰ τῶν ργ' ἁγίων πατέρων etc. ut p. 28.

λζ' Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ γεγόνασιν ἔφοδοι, καὶ πλεῖσται πόλεις ἐντεῦθεν ὑποχείριοι τοῖς ἀνό-

μοις κατέστησαν, ὡς ἐντεῦθεν μὴ δυνηθῆναι τον τῆς τοιαύτης πόλεως πρόεδρον μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν τὸν οἰκεῖον θρόνον καταλαβεῖν, καὶ ἐν αὐτῷ ἱερατικῇ καταστάσει ἐνιδρυνθῆναι, καὶ οὕτω κατὰ τὸ κρατῆσαν ἔθος τὰς χειροτονίας καὶ πάντα ἃ τῷ ἐπισκόπῳ ἀνήκει πράττειν τε καὶ μεταχειρίζεσθαι, ἡμεῖς τὸ τίμιον καὶ σεβάσμιον τῇ ἱερωσύνῃ φυλάττοντες, καὶ μηδαμῶς πρὸς λύμην τῶν ἐκκλησιαστικῶν δικαίων, τὴν ἐθνικὴν ἐπήρειαν ἐνεργεῖσθαι βουλόμενοι, τοῖς οὕτω χειροτονηθεῖσι, καὶ διὰ τὴν προκειμένην αἰτίαν ἐν τοῖς ἑαυτῶν μὴ ἐγκαταστάσι θρόνοις, τὸ ἀπόκριτον τηρεῖσθαι συνεωράκαμεν, ὥςε καὶ χειροτονίας κληρικῶν διαφόρων κανονικῶς ποιεῖν, καὶ τῇ τῆς προεδρίας αὐθεντίᾳ κατὰ τὸν ἴδιον ὅρον κεχρῆσθαι, καὶ βεβαίαν καὶ νενομισμένην εἶναι πᾶσαν ὑπ' αὐτῶν προϊοῦσαν διοίκησιν· οὐ γὰρ ὑπὸ τοῦ τῆς ἀνάγκης καιροῦ τῆς ἀκριβείας περιγραφείσης, ὁ τῆς οἰκονομίας ὅρος περιορισθήσεται.

λϑ' Τὸν ἐκ τῶν πατέρων ἡμῶν τεθέντα κανόνα καὶ ἡμεῖς παραφυλάττομεν, τὸν οὕτω διαγορεύοντα· εἴ τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις, ἢ αὖθις καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις, καὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων ἡ τάξις ἀκολουθείτω.

λϑ' Τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἰωάννου τοῦ τῆς Κυπρίων νήσου etc. ut p. 28.

Ἡ ς' διάταξις τοῦ β' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι τὰς ἀναφυομένας κανονικὰς ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ, οὐ δεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τῆς αὐτοῦ συνόδου, ἥ τις ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης· ἡ δὲ ις' διάτ. τοῦ αὐτοῦ τίτ., ἀκυροῖ τὰ γενόμενα ἐν τῇ κατὰ Ζήνωνος τυραννίδι παρὰ τὰ

πρώην βασιλικὰ θεσπίσματα περὶ ἱερέων ἢ κατασάσεως ἐκκλησιαστικῆς, καὶ τὰ πρώην ἀνανεοῦται, καὶ φησὶ τὸν Κωνσταντινουπόλεως ἔχειν τῶν ἄλλων τὴν προεδρίαν· ἡ δὲ λέ διάτ. τοῦ γ' τίτ. τοῦ α' βιβλ. λέγει, ὅτι ἑκάστη πόλις ἴδιον ἐπίσκοπον ἐχέτω· καὶ κἂν διὰ θείας ἀντιγραφῆς τολμήσαι τίς ἀφελέσθαι πόλιν τοῦ ἰδίου ἐπισκόπου, ἢ τῆς περιοικίδων αὐτῆς, ἢ τινὸς ἄλλου δικαίου, γυμνοῦται τῶν ὄντων καὶ ἀτιμοῦται· ἐξήρηται δὲ ἡ Τομέων Σκυθίας πόλις· ὁ γὰρ ἐπίσκοπος αὐτῆς, καὶ τῶν λοιπῶν προνοεῖ· καὶ ἡ Λεοντόπολις Ἰσαυρίας ὑπὸ τὸν ἐπίσκοπόν ἐστιν Ἰσαυροπόλεως. ὅτι δὲ καὶ ἡ Κωνσταντινούπολεως ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης, εἴρηται καὶ βιβλ. ιά τοῦ κώδ. τίτ. κά διάτ. α' καὶ μόνη· ἡ δὲ α' διάτ. τοῦ ιζ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. Ῥώμην αὐτὴν ὀνομάζεσθαι λέγει.

ΚΕΦ. Β.

Περὶ τοῦ μὴ ὡς ἔτυχεν ἀποδημεῖν ἐπίσκοπον, ἢ κληρικὸν ἐν ἑτέρᾳ διάγειν παροικίᾳ.

Ἀποστόλων κανὼν ιθ' ιε'.

ιθ' Ἐπίσκοπον μὴ ἐξεῖναι καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν, ἑτέρᾳ ἐπιπηδᾶν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται· εἰ μή τις εὔλογος αἰτία ᾖ, ἡ τοῦτο βιαζομένη αὐτὸν ποιεῖν, ὡς πλέον τί κέρδος δυναμένου αὐτοῦ τῇς ἐκεῖσε λόγῳ εὐσεβείας συμβαλέσθαι· καὶ τοῦτο δὲ οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν ἐπισκόπων καὶ παρακλήσει μεγίστῃ.

κ' Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν εἰς ἕτεραν ἀπέλθοι, καὶ παντελῶς μεταστὰς διατρίβοι ἐν ἄλλῃ παροικίᾳ παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, τοῦτον κελεύομεν

μηκέτι λειτουργεῖν· εἰ μάλιστα προσκαλουμένου αὐτὸν τοῦ ἐπισκόπου αὐτοῦ ἐπανελθεῖν, οὐχ ὑπήκουσεν, ἐπιμένων τῇ ἀταξίᾳ, ὡς λαϊκὸς μέν τοι ἐκεῖσε κοινωνείτω.

Συνόδου Ἀγκύρας κανὼν ιή.

Εἴ τινες ἐπίσκοποι καταστα θέντες καὶ μὴ δεχθέντες ὑπὸ τῆς παροικίας ἐκείνης εἰς ἣν ὠνομάσθησαν, ἑτέραις βούλοιντο παροικίαις ἐπιέναι, καὶ βιάζεσθαι τοὺς καθεζῶτας, καὶ σάσεις κινεῖν κατ' αὐτῶν, τούτους ἀφορίζεσθαι· ἐὰν μέν τοι βούλοιντο εἰς τὸ πρεσβυτέριον καθέζεσθαι, ἔνθα ἦσαν πρότερον πρεσβύτεροι, μὴ ἀπεβάλλεσθαι αὐτοὺς τῆς τιμῆς· ἐὰν δὲ διαστασιάζωσι πρὸς τοὺς καθεστῶτας ἐκεῖ ἐπισκόπους, ἀφαιρεῖσθαι αὐτοὺς καὶ τὴν τιμὴν τοῦ πρεσβυτερίου, καὶ γίνεσθαι αὐτοὺς ἐκκηρύκτους. ιή

Συνόδου Ἀντιοχείας κανὼν γ' ιγ' κβ'.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῶν τοῦ ἱερατείου, καταλιπὼν τὴν ἑαυτοῦ παροικίαν εἰς ἑτέραν ἀπέλθοι, ἔπειτα παντελῶς μεταστὰς, εἰς ἑτέραν παροικίαν διατρίβειν πειρᾶται ἐπὶ πολλῷ χρόνῳ μηκέτι λειτουργεῖν, εἰ μάλιστα καλοῦντι τῷ ἐπισκόπῳ τῷ ἰδίῳ, καὶ ἐπανελθεῖν εἰς τὴν παροικίαν τὴν ἑαυτοῦ παραινοῦντι, μὴ ὑπακούοι· εἰ δὲ καὶ ἐπιμένοι τῇ ἀταξίᾳ, παντελῶς αὐτὸν καθαιρεῖσθαι τῆς λειτουργίας, ὡς μηκέτι χώραν ἔχειν ἀποκαταστάσεως· εἰ δὲ καθαιρεθέντα διὰ ταύτην τὴν αἰτίαν δέχοιτο ἕτερος ἐπίσκοπος, κἀκεῖνον ἐπιτιμίας τυγχάνειν ὑπὸ κοινῆς συνόδου, ὡς παραλύοντα τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικούς. γ

Μηδένα ἐπίσκοπον τολμᾷν etc. ut p. 30. ιγ

Ἐπίσκοπον μὴ ἐπιβαίνειν ἀλλοτρίᾳ πόλει etc. ut p. 31. κβ

Συνόδου Λαοδικείας κανὼν μά' μβ'.

μά' Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν, ἄνευ κανονικῶν γραμμάτων ἐδεύειν.

μβ' Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν, ἄνευ κελεύσεως ἐπισκόπου ὁδεύειν.

Συνόδου Κωνσταντινουπόλεως κανὼν β'.

β' Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους etc. ut p. 24.

Συνόδου Χαλκηδόνος κανὼν ιγ' κγ'.

ιγ' Ξένους κληρικοὺς καὶ ἀναγνώστας, ἐν ἑτέρᾳ πόλει δίχα συστατικῶν γραμμάτων τοῦ ἰδίου ἐπισκόπου, μὴ δὲ ὅλως μηδαμοῦ λειτουργεῖν.

κγ' Ἦλθεν εἰς ἀκοὰς τῆς ἁγίας συνόδου, ὡς κληρικοί τινες καὶ μονάζοντες, μηδὲν ἐγκεχειρισμένοι ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, ἔστι δὲ ὅτε καὶ ἀκινώνητοι γενόμενοι παρ' αὐτοῦ, καταλαμβάνοντες τὴν βασιλεύουσαν Κωνσταντινούπολιν, ἐπὶ πολὺν ἐν αὐτῇ διατρίβουσι, ταραχὰς ἐμποιοῦντες καὶ θορυβοῦντες τὴν ἐκκλησιαστικὴν κατάστασιν, ἀνατρέπουσί τε οἴκους τινῶν· ὥρισε τοίνυν ἡ ἁγία σύνοδος, τοὺς τοιούτους ὑπομιμνήσκεσθαι μὲν πρότερον διὰ τοῦ ἐκδίκου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας, ἐπὶ τῷ ἐξελθεῖν τῆς βασιλευούσης πόλεως· εἰ δὲ τοῖς αὐτοῖς πράγμασιν ἐπιμένοιεν ἀναισχυντοῦντες, καὶ ἄκοντας αὐτοὺς διὰ τοῦ αὐτοῦ ἐκδίκου ἐκβάλλεσθαι, καὶ τοὺς ἰδίους καταλαμβάνειν τόπους.

Συνόδου Σαρδικῆς κανὼν γ' ια' ιβ' ις'.

γ' Ὅσιος ἐπίσκοπος εἶπεν· ἀναγκαῖον καὶ τοῦτο προστεθῆναι etc. ut p. 26.

ια' Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο δὲ ὁρίσαι ὀφείλομεν, ἵνα ὁ ἐπίσκοπος etc. ut p. 143.

ιβ' Ὅσιος ἐπίσκοπος εἶπεν· ἐπειδὴ οὐδέν ἐστι παραλειπτέον·

καὶ τοῦτο ὁρισθήτω· τινὲς τῶν ἀδελφῶν καὶ συνεπισκόπων, ἐν ταῖς πόλεσιν ἐν αἷς ἐπίσκοποι καθίστανται, δοκοῦσι κεκτῆσθαι σφόδρα ὀλίγα ὑπάρχοντα ἴδια, ἐν ἑτέροις δὲ τόποις κτήσεις μεγάλας, ἐξ ὧν καὶ ἐπικουρεῖν δυνατοί εἰσι τοῖς πένησιν· οὕτως αὐτοῖς συγχωρητέον εἶναι, ἵνα εἰ μέλλοιεν εἰς τὰς ἑαυτῶν παραγίνεσθαι κτήσεις, καὶ τὴν συγκομιδὴν τῶν καρπῶν ποιεῖσθαι, τρεῖς κυριακὰς ἡμέρας, τουτέστι τρεῖς ἑβδομάδας, ἐν τοῖς ἑαυτῶν κτήμασιν αὐτοὺς διάγειν, καὶ ἐν τῇ ἀγχιστεούσῃ ἐκκλησίᾳ, ἐν ᾗ πρεσβύτερος συνάγοι, ὑπὲρ τοῦ μὴ χωρὶς συνελεύσεως αὐτὸν δοκεῖν εἶναι, συνέρχεσθαι καὶ λειτουργεῖν· καὶ μὴ συνεχέστερον εἰς τὴν πόλιν ἐν ᾗ ἐστὶν ἐπίσκοπος παραγίγνοιτο· τοῦτον γὰρ τὸν τρόπον καὶ τὰ οἰκεῖα αὐτοῦ πράγματα παρὰ τὴν αὐτοῦ ἀπουσίαν, οὐδὲ μίαν ὑπομενεῖ ζημίαν, καὶ τὸ τῆς ἀλαζονείας καὶ τοῦ τύφου ἐκκλίνειν δόξειεν ἔγκλημα.

Ἅπαντες οἱ ἐπίσκοποι εἶπον, ἀρέσκει καὶ αὕτη ἡ διατύπωσις.

Ἄτιος ἐπίσκοπος εἶπεν, οὐκ ἀγνοεῖτε ὁπόσα καὶ πηλίκη τυγχάνει ἡ τῶν Θεσσαλονικέων μητρόπολις· πολλάκις ταγαροῦν εἰς ταύτην ἀπὸ ἑτέρων ἐπαρχιῶν πρεσβύτεροι καὶ διάκονοι παραγίνονται· καὶ οὐκ ἀρκούμενοι βραχείᾳ διαγωγῇ χρόνου, ἐναπομένουσι, καὶ ἅπαντα τὸν χρόνον αὐτόθι ποιοῦντες διατελοῦσιν, ἡ μόλις μετὰ πλεῖστον χρόνον εἰς τὰς ἑαυτῶν ἐπανιέναι ἐκκλησίας ἀναγκάζονται· περὶ τούτων οὖν ὁριστέον. ις'

Ἅπαντες οἱ ἐπίσκοποι εἶπον, ἀρέσκει.

Ὅσιος ἐπίσκοπος εἶπεν· οὗτοι οἱ ὅροι, οἱ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρισμένοι, φυλαττέσθωσαν καὶ ἐπὶ τούτων τῶν προσώπων.

Συνόδου Καρθαγέννης κανὼν κγ΄ σα΄ οδ΄.

Ὥςε τοὺς ἐπισκόπους πέραν θαλάσσης μὴ ἀποδημεῖν.

κγ΄ Ὁμοίως ἐπίσκοποι πέραν θαλάσσης, μὴ ἀποδημείτωσαν, εἰ μὴ μετὰ ψηφίσματος τῆς πρώτης καθέδρας τοῦ ἰδίου ἑκάστης χώρας ἐπισκόπου, τουτέστιν εἰ μὴ ἀπ' αὐτοῦ πρωτεύοντος κατ' ἐξαίρετον λάβῃ τὴν ἣ τις λέγεται ἀπολυτικὴ τετυπωμένην, ἥ τοι παράθεσιν.

Περὶ τῶν τοὺς ἰδίους λαοὺς ἐγκαταλιμπανόντων.

οα΄ Πάλιν ἤρεσεν ὥστε μηδενὶ ἐξεῖναι ἐπισκόπῳ, καταλειφθείσης τῆς αὐθεντικῆς αὐτοῦ καθέδρας πρός τινα ἐκκλησίαν ἐν διοικήσει καθεστῶσαν, ἑαυτὸν ἀποφέρειν· ἢ ἐν οἰκείῳ πράγματι ὑπὲρ ὃ χρὴ ἐπὶ πολὺ ἀπασχολουμένῳ, ἀμελεῖν τῆς φροντίδος καὶ τῆς συνεχείας τοῦ ἰδίου θρόνου.

Περὶ τοῦ μὴ ὀφείλειν ἐπίσκοπον ἐπιξενούμενον, καθέζεσθαι ἐν ᾗ καθέδρᾳ ἐπιξενοῦται.

οδ΄ Ὁμοίως ὡρίσθη, ὥστε μηδενὶ ἐξεῖναι μεσίτῃ τὴν καθέδραν κατέχειν, ᾗ τινι μεσίτης δίδοται διὰ σιασθήποτε τῶν λαῶν σπουδῆς ἢ διχοστασίας, ἀλλὰ σπουδάζειν ἐντὸς ἐνιαυτοῦ, τοῖς αὐτοῖς προνοεῖσθαι ἐπίσκοπον· εἰ δὲ περὶ τοῦτο ἀμελήσοι μετὰ τὴν περαίωσιν τοῦ ἐνιαυτοῦ, ἕτερος ψηφισθῇ μεσίτης.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιζ΄ τη΄ κ΄.

ιζ΄ Ἐπειδήπερ διαφόρων ἐκκλησιῶν κληρικοὶ etc. ut p. 92.

ιη΄ Τὰς προφάσει βαρβαρικῆς ἐπιδρομῆς etc. ut ibidem.

κ΄ Μὴ ἐξέστω ἐπισκόπῳ εἰς ἑτέραν etc. ut ibidem.

Συνόδου Νικαίας τὸ δεύτερον κανὼν ι΄.

Ὅτι οὐ δεῖ κληρικοὺς, ἀπολιπεῖν τὴν ἑαυτῶν παροικίαν, καὶ ἐν ἑτέρᾳ ἀφικέσθαι χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου.

ι΄ Ἐπειδή τινες τῶν κληρικῶν παραλογιζόμενοι τὴν κανο-

κὴν διάταξιν, ἀπολιπόντες τὴν ἑαυτῶν παροικίαν, εἰς ἑτέραν παροικίαν ἐκτρέχουσι, κατὰ πλεῖστον δὲ ἐν ταύτῃ τῇ Θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, καὶ εἰς ἄρχοντας προσεδρεύουσιν, ἐν τοῖς αὐτῶν εὐκτηρίοις τὰς λειτουργίας ποιοῦντες, τούτους οὖν χωρὶς τοῦ ἰδίου ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως, οὐκ ἔξεστι δεχθῆναι ἐν οἱῳδήποτε οἴκῳ ἢ ἐκκλησίᾳ· εἰ δέ τις τοῦτο ποιήσει, ἐπιμένων καθαιρείσθω, ὅσοι δὲ μετ' εἰδήσεως τῶν προλεχθέντων ἱερέων τοῦτο ποιοῦσιν, οὐκ ἔξεσι αὐτοῖς κοσμικὰς καὶ βιωτικὰς φροντίδας ἀναλαμβάνεσθαι, ὡς κεκωλυμένοις τοῦτο ποιεῖν παρὰ τῶν θείων κανόνων· εἰ δέ τις φωραθείη τῶν λεγομένων, μειζοτέρων τὴν φροντίδα ἐπέχων, ἢ παυσάσθω ἢ καθαιρείσθω· μᾶλλον μὲν οὖν ἦτω πρὸς διδασκαλίαν τῶν τε παίδων καὶ τῶν οἰκετῶν, ἐπαναγινώσκων αὐτοῖς τὰς θείας γραφάς· εἰς τοῦτο γὰρ καὶ τὴν ἱερωσύνην ἐκληρώσατο.

Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν Κωνσταντινουπόλει, ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων, κανὼν ις'.

Διὰ τὰς φιλονεικίας τὲ καὶ ταραχὰς etc. ut p. 40. ις'

Ἡ μβ' διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι ἐπίσκοπος ἐφ' οἱῳδήποτε πράγματι παρὰ κέλευσιν βασιλέως, ἐν Κωνσταντινουπόλει μὴ γινέσθω, ἀλλ' ἀποκρισιαρίους στελλέτω· ὁ δὲ παραβαίνων, ἀγανακτεῖται καὶ ἀφορίζεται· ἡ δὲ α' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν φησὶ· μηδεὶς ἐπίσκοπος ἔξω τῆς αὐτοῦ ἐκκλησίας, πλέον ἐνιαυτοῦ ἀπολιμπανέσθω· εἰ μὴ κατὰ βασιλικὴν κέλευσιν, τῶν πατριαρχῶν ἀναγκαζόντων αὐτοὺς, ταῖς αὐτῶν ἐκκλησίαις προσκαρτερεῖν· εἰ δὲ παρὰ βασιλικὴν κέλευσιν, πέρα τοῦ ἐνιαυτοῦ ἀπολειφθείη, ὁ τοῦ κλίματος πατριάρχης αὐτὸν καλείτω τοῖς νενομισμένοις κηρύγμασι, φυλάττων τὴν τῶν ἱερῶν κανόνων

παρατήρησιν· εἰ δὲ μείνοι μέχρι παντὸς ἀπειθῶν, ἐξωθείτω αὐτὸν τῆς ἐπισκοπῆς, καὶ ἕτερον ποιείτω· εἰ δὲ μὴ μητροπολίτης, ἀλλ' ἕτερος ἐπίσκοπος ἔστιν ὁ ἀπολιμπανόμενος, ὁ μητροπολίτης ἐπ' αὐτῷ τὰ εἰρημένα ποιείτω· εἰ δὲ προφασίζοιτο δίκης ἕνεκεν ἰδικῆς ἢ ἐκκλησιαστικῆς, ὀφείλειν ἀπολιμπάνεσθαι, δεήσεις τῇ βασιλείᾳ διὰ τῶν οἰκονόμων, ἢ κληρικῶν, ἢ ἀποκρισιαρίων πεμπέτωσαν, τευξόμενοι περὶ τῶν ἐκκλησιαστικῶν, τῶν ζητουμένων· μὴ ἀνιέτω δὲ ἐπίσκοπος ἐν Βυζαντίῳ, πρὶν ἂν κατὰ τοὺς κανόνας, τοῦ οἰκείου μητροπολίτου λάβει γράμματα τὰ καλούμενα συστατικὰ, πρὸς τὴν βασιλείαν, μαρτυροῦντα τῷ ἀναγκαίῳ τῆς ἀποδημίας· ὁ δὲ μητροπολίτης ἀποδημῶν, πατριαρχικὰ λαμβανέτω γράμματα, καὶ μὴ δι' ἑαυτῶν μηνυέτωσαν πρὸς τὴν βασιλείαν, ἀλλὰ τῷ πατριάρχῃ ἢ τοῖς ἀποκρισιαρίοις τῆς αὐτῶν διοικήσεως κενούσθωσαν, καὶ αὐτᾶς συνεισίτωσαν· ἔξεστι δὲ αὐτοῖς, καὶ διὰ τῶν βαιφερενδαρίων τῆς μεγάλης ἐκκλησίας, ἢ διὰ τῶν ἀποκρισιαρίων τῶν πατριαρχῶν αὐτῶν, ἀναφέρειν τῷ βασιλεῖ· ἡ δὲ ζ' διάτ. τοῦ αὐτοῦ α' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐὰν ἐπίσκοπος χρόνον πολὺν τῆς ἰδίας ἐκκλησίας ἀπολειφθῇ, μὴ χορηγείτω αὐτῷ δαπάνας ὁ οἰκονόμος, ἀλλ' ἡ τοιαύτη δαπάνη παρεχέσθω εἰς προφάσεις ἐκκλησιαστικὰς καὶ εὐσεβεῖς· καὶ ἡ γ' τοῦ αὐτοῦ τίτ. διάτ. φησὶν, ὅτι ὁ ἐπίσκοπος χωρὶς γραμμάτων τοῦ πατριάρχου αὐτοῦ, ἀνιὼν ἐν Κωνσταντινουπόλει, ἀλλότριον ἑαυτὸν ποιεῖ τοῦ σχήματος· ἡ δὲ β' διάτ. τοῦ αὐτοῦ α' τῶν νεαρῶν φησὶν, ὅτι κατὰ χρείας ἀναγκαίας ἐκδημοῦντες οἱ ἐπίσκοποι, γράμματα λαμβανέτωσαν τῶν πατριαρχῶν αὐτῶν ἢ μητροπολιτῶν, ἢ κατὰ βασιλικὴν κέλευσιν ἀποδημείτωσαν· καὶ οἱ ὑπὸ τὸν Κωνσταντινουπόλεως πατριάρχην, χωρὶς ἐπιτροπῆς

αὐτοῦ εἰς αὐτὴν μὴ ἀνίτωσαν· καὶ ὁ οὕτως ἀποδημῶν, μὴ πλέον ἐνιαυτοῦ τὴν ἰδίαν ἐκκλησίαν ἐάτω· ὁ δὲ παραγενόμενος ἐν Κωνσταντινουπόλει οἱοσδήποτε ἐπίσκοπος, εἰσίτω πρὸς τὸν πατριάρχην, καὶ δι' αὐτοῦ πρὸς τὸν βασιλέα· τοῖς παρὰ ταῦτα, ἢ ὑπὲρ τὸν χρόνον ἀποδημοῦσιν, οἱ οἰκονόμοι δαπάνας μὴ χορηγείτωσαν, καὶ προτρεπέτωσαν αὐτοὺς οἱ ἱερεῖς ὑφ' οὓς τελοῦσι διὰ γραμμάτων ὑποσρέψαι· καὶ ὑπερτιθεμένους, πρὸς τοὺς κανόνας καλείτωσαν· καὶ μὴ ὑποσρέφοντας εἴσω τοῦ ὁριζομένου χρόνου, ἐκβαλλέτωσαν, καὶ ἄλλους χειροτονείτωσαν· τὰ αὐτὰ καὶ περὶ κληρικῶν οἱουδήποτε βαθμοῦ κρατεῖ· ἡ δὲ ιβ' διάτ. τοῦ αὐτοῦ α' τίτ. τῶν νεαρῶν παρακελεύεται, ἵνα ἐάν τινος ἐκκλησίας ἀποστῶσι κληρικοὶ, ἕτεροι ἀντικαθιζάμενοι τὰς αὐτῶν σιτήσεις λαμβάνωσι· καὶ μὴ ὑποσρέφοντας αὐτοὺς λαμβάνειν αὐτὰς, καὶ μὴ δὲ κερδαίνειν αὐτὰς τοὺς χορηγοῦντας· εἰ δὲ στερήσουσι, κτῆσις αὐτῶν ῥητὴ τοῖς πριβάτοις ἀφορίζεται, ὥσε τὴν χορηγίαν τῆς σιτήσεως ἐκεῖθεν γίνεσθαι.

ΚΕΦ. Γ.

Περὶ τοῦ χρῆναι τοὺς ἐπισκόπους τὰς αἰτίας τῆς ὁδοιπορίας τῶν δι' αὐτῶν παριόντων ἐπισκόπων πολυπραγμονεῖν.

Συνόδου Σαρδικῆς κανὼν κα'.

Γαυδέντιος ἐπίσκοπος εἶπε· ταῦτα τὰ σωτηριωδῶς καὶ ἀκολούθως ὁρισθέντα καὶ πρεπόντως τῇ ἐπιτιμίᾳ ὑμῶν τῶν ἱερέων, καὶ θεῷ ἀρέσαντα καὶ ἀνθρώποις, τὴν δύναμιν καὶ τὴν ἰσχὺν ἑαυτῶν κατασχεῖν οὐ δυνήσονται, ἐὰν μὴ καὶ φόβος ταῖς ἐξενεχθείσαις ἀποφάσεσιν ἀκολουθήσῃ· ἴσμεν γὰρ καὶ αὐτοὶ πλεονάκις, διὰ τὴν ὀλίγων ἀναισχυντίαν, τὸ θεῖον καὶ σεβασμιώτατον ὄνομα τῆς ἱερωσύνης εἰς κατάγνωσιν ἐλη- κα'

λυθέναι· εἰ τοίνυν τίς παρὰ τὰ πᾶσι δόξαντα, τολμήσοι σπουδάζων, τύφῳ μᾶλλον καὶ ἀλαζονείᾳ, ἢ τῷ Θεῷ ἀρέσαι, ἕτερόν τι διαπράξασθαι, ἤδη γινωσκέτω ἐγκλήματι ἀπολογίας ἑαυτὸν ὑπεύθυνον καθίστασθαι, καὶ τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀποβάλλειν.

Ἅπαντες ἀπεκρίναντο· πρέπει καὶ ἀρέσκει ἡμῖν ἡ τοιαύτη γνώμη.

Καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον γενήσεται, καὶ πληρωθήσεται, ἐὰν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις ἤτοι καναλίῳ καθεστώτων ἐπισκόπων, ἐπιζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται· καὶ ἐὰν μὲν εὕρῃ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐπιζητήσει τὰς αἱρέσεις τὰς ἐπάνω προκειμένας· κἂν κεκλημένος ἀφικνῆται, ἀπιόντι αὐτῷ μηδὲν ἐμπόδιον γίγνοιτο· εἰ δὲ ἐπιδείξεως χάριν, καθὼς προείρηται τῇ ὑμετέρᾳ ἀγάπῃ, ἢ διά τινας ἀξιώσεις σπουδάζοι ἐπὶ τὸ στρατόπεδον, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογράφειν, μήτε κοινωνεῖν τῷ τοιούτῳ.

Ἅπαντες εἶπον· ὁριζέσθω καὶ τοῦτο.

ΚΕΦ. Δ.

Περὶ ἐπισκόπων ἢ κληρικῶν ἀπιόντων πρὸς βασίλεα ἢ τοὺς περὶ αὐτόν.

Συνόδου Ἀντιοχείας κανὼν ιά' ιβ'.

ιά' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κανόνος, ἄνευ γνώμης καὶ γραμμάτων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, καὶ μάλιστα τοῦ κατὰ τὴν μητρόπολιν, ὁρμήσειε πρὸς βασιλέα ἀπελθεῖν, τοῦτον ἀποκηρύττεσθαι καὶ ἀποβλητον γίνεσθαι, οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς ἀξίας ἧς μετέχων τυγχάνει, ὡς παρενοχλεῖν τολμῶντα τὰς τοῦ Θεο-

φιλεςάτου βασίλεως ἡμῶν ἀκοὰς, παρὰ τὸν θεσμὸν τῆς ἐκκλησίας· εἰ δὲ ἀναγκαία καλοίη χρεία πρὸς βασίλεια ὁρμᾷν, τοῦτο πράττειν μετὰ σκέψεως καὶ γνώμης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας ἐπισκόπου καὶ τῶν ἐν αὐτῇ, τοῖς τε τούτων γράμμασιν ἐφεδιάζεσθαι.

Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου καθαιρεθεὶς πρεσβύτερος, ἢ διάκονος, ἢ καὶ ἐπίσκοπος ὑπὸ συνόδου, ἐνοχλῆσαι τολμήσειε τὰς βασιλέως ἀκοὰς, δέον ἐπὶ μείζονα ἐπισκόπων σύνοδον τρέπεσθαι, καὶ ἃ νομίζει δίκαια ἔχειν, προσαναφέρειν πλείοσιν ἐπισκόποις, καὶ τὴν παρ' αὐτῶν ἐξέτασίν τε καὶ ἐπίκρισιν ἐκδέχεσθαι· εἰ καὶ τούτων ὀλιγωρήσας ἐνοχλήσειε τῷ βασιλεῖ, τοῦτον μηδεμιᾶς συγγνώμης ἀξιοῦσθαι, μὴ δὲ χώραν ἀπολογίας ἔχειν, μὴ δὲ ἐλπίδα μελλούσης ἀποκαταστάσεως προσδοκᾶν. ιβ'

Συνόδου Σαρδικῆς κανὼν ζ' ἡ Θ' κ'.

Ὅσιος ἐπίσκοπος εἶπεν· ἡ ἀκαιρία ἡμῶν, καὶ ἡ πολλὴ συνέχεια, καὶ αἱ ἄδικοι ἀξιώσεις πεποιήκασιν ἡμᾶς μὴ τοσαύτην ἔχειν χάριν καὶ παῤῥησίαν ὅσην ὀφείλομεν κεκτῆσθαι· πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ διαλείπουσιν εἰς τὸ στρατόπεδον παραγινόμενοι, καὶ μάλιστα οἱ ἄφρονες· οἵ τινες, καθὼς ἔγνωμεν παρὰ τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Γράτου, τὰς σωτηριώδεις συμβουλὰς οὐ παραδέχονται· ἀλλὰ καταφρονοῦσιν οὕτως, ὡς ἕνα ἄνθρωπον εἰς τὸ στρατόπεδον πλείσας καὶ διαφόρους καὶ δυναμένας ὠφελῆσαι τὰς ἐκκλησίας δεήσεις διακομίζειν· καὶ μὴ ὡς ὀφείλει γίνεσθαι, καὶ ὡς προσῆκον ἐστὶ τοῖς πένησι καὶ τοῖς λαϊκοῖς ἢ ταῖς χήραις συναίρεσθαι καὶ ἐπικουρεῖν, ἀλλὰ κοσμικὰ ἀξιώματα καὶ πράξεις περινοεῖν τισίν· αὕτη τοίνυν ἡ σκαιότης, τὸν θρασυμὸν οὐκ ἄνευ σκανδάλου τινὸς ἡμῖν καὶ καταγνώσεως ζ'

προξενεῖ· πρεπωδέστερον δὲ εἶναι ἐνόμισα, ἐπίσκοπον τὴν ἑαυτοῦ βοήθειαν παρέχειν ἐκείνῳ, ὅς τις ἂν ὑπό τινος βιάζοιτο, ἢ εἴ τις τῶν χηρῶν ἀδικοῖτο, ἢ αὖ πάλιν ὀρφανός τις ἀποστεροῖτο τῶν αὐτῷ προσηκόντων, εἴπερ ἄρα καὶ ταῦτα τὰ ὀνόματα, δικαίαν ἔχει τὴν ἀξίωσιν· εἰ τοίνυν, ἀγαπητοὶ ἀδελφοὶ, πᾶσι τοῦτο δοκεῖ, ἐπικρίνατε μηδένα ἐπίσκοπον χρῆναι εἰς τὸ στρατόπεδον παραγίνεσθαι., παρεκτὸς τούτων οὓς ἂν ὁ εὐσεβέστατος βασιλεὺς ἡμῶν τοῖς ἑαυτοῦ γράμμασι μετακαλοῖτο· ἀλλ' ἐπειδὴ πολλάκις συμβαίνει τινὰς οἴκτου δεομένους, καταφυγεῖν ἐπὶ τὴν ἐκκλησίαν, διὰ τὰ ἑαυτῶν ἁμαρτήματα εἰς περισμὸν ἢ νῆσον καταδικασθέντας, ἢ αὖ πάλιν οἱασδηποτοῦν ἀποφάσει ἐκδεδομένους, τοῖς τοιούτοις μὴ ἀρνητέαν εἶναι τὴν βοήθειαν, ἀλλὰ χωρὶς μελησμοῦ, καὶ ἄνευ τοῦ διστάσαι, τοῖς τοιούτοις αἰτεῖσθαι συγχώρησιν· εἰ τοίνυν καὶ τοῦτο ἀρέσκει, σύμψηφοι γίνεσθε ἅπαντες. – Ἅπαντες ἀπεκρίναντο. – Ὁριζέσθω καὶ τοῦτο.

η' Ὅσιος ἐπίσκοπος εἶπε, καὶ τοῦτο ἡ ἀγχίνοια ὑμῶν κρινάτω, ἵν' ἐπειδὴ ἔδοξε διὰ τὸ μὴ πίπτειν ὑπὸ κατάγνωσιν τινὰ τῶν ἐπισκόπων ἀφικνούμενον εἰς τὸ στρατόπεδον, εἴ τινες αὐτῶν τὰς τοιαύτας ἔχοιεν δεήσεις, οἷων ἐπάνω ἐπεμνήσθημεν, διὰ ἰδίου διακόνου ἀποστέλλαιεν· τοῦ γὰρ ὑπηρέτου τὸ πρόσωπον οὐκ ἐπίφθονον τυγχάνει, καὶ τὰ παρασχεθησόμενα, ἧττον κομισθῆναι δυνήσεται.

Ἀπεκρίναντο πάντες, καὶ τοῦτο ὁριζέσθω.

θ' Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο ἀκόλουθον εἶναι νομίζω, ἵνα εἰ ἐν οἱαδηποτοῦν ἐπαρχίᾳ ἐπίσκοποι πρὸς ἀδελφὸν καὶ συνεπίσκοπον ἑαυτῶν ἀποστέλλειεν δεήσεις, ὁ ἐν τῇ μείζονι τυγχάνων πόλει, τουτέστι τῇ μητροπόλει, αὐτὸς καὶ τὸν διάκονον αὐτοῦ καὶ τὰς δεήσεις ἀποστέλλοι, παρέχων αὐτῷ

καὶ συστατικὰς ἐπιστολὰς, γράφων δηλονότι κατὰ ἀκολουθίαν καὶ πρὸς τοὺς συναδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, οἵ τινες ἐν ἐκείνῳ τῷ καιρῷ ἐν τοῖς τόποις ἢ ἐν ταῖς πόλεσι διάγουσιν, ἐν αἷς ὁ εὐσεβέστατος βασιλεὺς τὰ δημόσια πράγματα διακυβερνᾷ· εἰ δὲ ἔχοι τίς τῶν ἐπισκόπων φίλους ἐν τῇ αὐλῇ τοῦ παλατίου, καὶ βούλοιτο περί τινος, ὅπερ πρεπωδέστατον εἴη ἀξιῶσαι, μὴ κωλύοιτο διὰ τοῦ ἑαυτοῦ διακόνου, καὶ ἀξιῶσαι καὶ ἐντείλασθαι τούτοις, οὓς τε τὴν αὐτῶν ἀγαθὴν βοήθειαν ἀξιοῦντι αὐτῷ παρέχειν ἠγοῖτο· οἱ δὲ εἰς Ῥώμην παραγινόμενοι, καθὼς προείρηκα, τῷ ἀγαπητῷ ἀδελφῷ ἡμῶν καὶ συνεπισκόπῳ Ἰουλίῳ, τὰς δεήσεις ἃς ἔχοιεν διδόναι, ὀφείλουσι παρέχειν, ἵνα πρότερος αὐτὸς δοκιμάζοι, εἰ μή τινες ἐξ αὐτῶν ἀναισχυντοῖεν, καὶ οὕτως τὴν ἑαυτοῦ προστασίαν καὶ φροντίδα παρέχων, εἰς τὸ στρατόπεδον αὐτοὺς ἀποστέλλειεν.

Ἅπαντες οἱ ἐπίσκοποι ἀπεκρίναντο, ἀρέσκειν αὐτοῖς καὶ πρεπωδεστάτην εἶναι τὴν συμβουλὴν ταύτην.

Γαυδέντιος ἐπίσκοπος εἶπε, ταῦτα τὰ σωτηριωδῶς etc. ut p. 199.

Καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον etc. ut p. 200. κ'

– Ἅπαντες εἶπον ὁριζέσθω καὶ τοῦτο.

Συνόδου Καρθαγέννης κανὼν ρδ' ρς'.

Περὶ τῶν τὴν διάγνωσιν τῶν δημοσίων δικαστηρίων ἀπὸ τοῦ βασιλέως αἰτούντων.

Ἤρεσεν ἵνα ὁστισδήποτε ἀπὸ τοῦ βασιλέως διάγνωσιν δημοσίων δικαστηρίων αἰτήσοι, τῆς ἰδίας τιμῆς στερηθείη· ἐὰν δὲ κρίσιν ἐπισκοπικὴν ἀπὸ τοῦ βασιλέως αἰτήσοι, μηδὲν αὐτῷ ἐμποδίσοι. ρδ'

Ἵνα οἱ ἐπὶ τὸ κομιτάτον πορευόμενοι, τὴν αἰτίαν ἑαυτῶν καὶ τῷ ἐν Καρχηδόνι καὶ τῷ ῥωμαϊκῷ ἱερεῖ, σπουδάσωσιν ἐμφανίσαι.

ϛ΄ Ἤρεσεν ἵνα ὁστισδήποτε πρὸς τὸ κομιτάτον πορευθῆναι θελήσειε, τῇ ἀπολυτικῇ τῇ ἐπὶ τὴν ἐκκλησίαν Ῥώμης πεμπομένῃ κατάδηλος γένηται, καὶ ἵνα ἐκεῖθεν ἔτι μὴν ἀπολυτικὴν λάβῃ ἐπὶ τὸ κομιτάτον· διὸ ἐὰν ὁ λαβὼν ἀπολυτικὴν πρὸς τὴν Ῥώμην μόνον, σιωπήσας τὴν ἀνάγκην, δι' ἣν εἰς τὸ κομιτάτον αὐτὸν χρὴ πορευθῆναι, θελήσῃ εὐθέως ἐπὶ τὸ κομιτάτον βαδίσαι, ἀποκινηθῇ τῆς κοινωνίας· ἐὰν δὲ ἐκεῖσε ἐν τῇ Ῥώμῃ αἰφνιδία ἀνάγκη ἀποφυῇ τοῦ ἀπελθεῖν εἰς τὸ κομιτάτον, ἐμφανίσει αὐτὴν τὴν ἀνάγκην τῷ ἐπισκόπῳ Ῥώμης, καὶ παρακομίσει ἀντίγραφα τοῦ αὐτῆς Ῥώμης ἐπισκόπου· αἱ ἀπολυτικαὶ δὲ αἱ ἀπὸ τῶν πρωτευόντων, ἢ τῶν εἰωνδήποτε ἐπισκόπων, τοῖς ἰδίοις κληρικοῖς διδόμεναι, σχῶσι τὴν ἡμέραν τοῦ πάσχα· ἐὰν δὲ ἀκμὴν ἡ ἡμέρα τοῦ πάσχα τοῦ αὐτοῦ ἐνιαυτοῦ κατάδηλος οὐκ ἔστιν, ἡ τοῦ προηγησαμένου προσζευχθείη, ὃν τρόπον εἴωθε μετὰ τὴν ὑπατείαν γράφεσθαι ἐν τοῖς δημοσίοις πεπραγμένοις· ἤρεσε δὲ κἀκεῖνο, ὥστε κατὰ τῶν Δονατιςῶν, καὶ τῶν ἑλλήνων, καὶ τῶν θρησκειῶν αὐτῶν, τοὺς πεμφθέντας τοποτηρητὰς ἐκ τῆς τιμίας ταύτης συνόδου, πᾶν ὁτιοῦν χρήσιμον συνίδωσιν, ἐκ τῶν ἐνδοξοτάτων αἰτήσασθαι βασιλέων.

Ἤρεσεν ἔτι μὴν τῇ αἰτήσει πάντων τῶν ἐπισκόπων, ἵνα πάσαις ταῖς ὀφειλούσαις δοθῆναι ταῖς τῆς συνόδου ἐπιστολαῖς, ἡ σὴ ἁγιωσύνη μόνη ὑπογράψῃ. – Καὶ ὑπέγραψαν.

Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ παραναγνωσθέντι ὑπέγραψα.

Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

ΚΕΦ. Ε.

Περὶ ὑποδοχῆς ξένων, καὶ περὶ εἰρηνικῶν, καὶ συστατικῶν ἐπιστολῶν.

Ἀποστόλων κανὼν ιβ΄ λγ΄.

Εἴ τις κληρικὸς ἢ λαϊκὸς, ἀφωρισμένος ἤτοι ἄδεκτος, ἀπελθὼν ἐν ἑτέρᾳ πόλει δεχθῇ ἄνευ γραμμάτων συστατικῶν, ἀφοριζέσθω καὶ ὁ δεξάμενος καὶ ὁ δεχθείς. ιβ΄

Μηδένα τῶν ξένων ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, ἄνευ συστατικῶν προσδέχεσθαι· καὶ ἐπιφερομένων δὲ αὐτῶν ἀνακρινέσθωσαν, καὶ ἐὰν μὲν ὦσι κήρυκες τῆς εὐσεβείας, προσδεχέσθωσαν· εἰ δὲ μή γε τὰ πρὸς τὰς χρείας αὐτοῖς ἐπιχορηγήσαντες, εἰς κοινωνίαν αὐτοὺς μὴ προσδέξησθε, πολλὰ γὰρ κατὰ συναρπαγὴν γίνεται. λγ΄

Συνόδου Ἀντιοχείας κανὼν ζ΄ ἢ ιά΄.

Μηδένα ἄνευ εἰρηνικῶν, γραμμάτων δέχεσθαι τῶν ξένων. ζ΄

Μὴ δὲ πρεσβυτέρους τοὺς ἐν ταῖς χώραις, κανονικὰς ἐπιστολὰς διδόναι, ἢ πρὸς μόνους τοὺς γείτονας ἐπισκόπων ἐπιστολὰς ἐκπέμπειν· τοὺς δὲ ἀνεπιλήπτους χωρεπισκόπων, διδόναι εἰρηνικάς. η΄

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κανόνος etc. ut p. 200. ια΄

Συνόδου Λαοδικείας κανὼν μα΄ μβ΄.

Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν, ἄνευ κανονικῶν γραμμάτων ὁδεύειν. Sic etiam p. 193. μα΄

Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν, ἄνευ κελεύσεως ἐπισκόπων ὁδεύειν. Sic item p. 194. μβ΄

Συνόδου Χαλκηδόνος κανὼν ιγ΄.

Ξένους κληρικοὺς καὶ ἀναγνώστας ἐν ἑτέρᾳ πόλει, δίχα ιγ΄

συστατικῶν γραμμάτων τοῦ ἰδίου ἐπισκόπου, μὴ δὲ ὅλως μηδαμοῦ λειτουργεῖν.

Συνόδου Σαρδικῆς κανὼν θ'.

θ' Ὅσιος ἐπίσκοπος εἶπε, καὶ τοῦτο ἀκόλουθον εἶναι νομίζω etc. ut p. 202.

Συνόδου Καρθαγέννης κανὼν κγ'.

Ὥςε τοὺς ἐπισκόπους πέραν θαλάσσης μὴ ἀποδημεῖν.

κγ' Ὁμοίως ἐπίσκοπει πέραν θαλάσσης etc. ut p. 197.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιζ'.

ιζ' Ἐπειδήπερ διαφόρων ἐκκλησιῶν κληρικοὶ etc. ut p. 92.

ΚΕΦ. ς.

Περὶ διαφορᾶς εἰρηνικῶν καὶ συστατικῶν ἐπιστολῶν.

Συνόδου Χαλκηδόνος κανὼν ια'.

ια' Πάντας τοὺς πένητας καὶ δεομένους ἐπικουρίας, μετὰ δοκιμασίας ἐπιστολίοις εἴτουν εἰρηνικοῖς ἐκκλησιαστικοῖς μόνοις ὁδεύειν ὡρίσαμεν, καὶ μὴ συστατικοῖς· διὰ τὸ τὰς συστατικὰς ἐπιστολὰς προσήκειν τοῖς οὖσιν ἐν ὑπολήψει μόνοις παρέχεσθαι προσώποις.

Συνόδου Καρθαγέννης κανὼν ρς'.

Ἵνα οἱ ἐπὶ τὸ κομιτάτον πορευόμενοι τὴν αἰτίαν ἑαυτῶν, καὶ τῷ ἐν Καρχηδόνι, καὶ τῷ ῥωμαϊκῷ ἱερεῖ σπουδάσωσιν ἐμφανίσαι.

ρς' Ἤρεσεν ἵνα ὁστισδήποτε πρὸς τὸ κομιτάτον etc. ut p. 204.

ΚΕΦ. Ζ.

Τίσι δεῖ τοὺς ἐπισκόπους βοηθεῖν· καὶ περὶ ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων, μὴ χορηγούντων τοῖς ἐνδεέσιν ἐκκλησιαστικοῖς.

Ἀποστόλων κανὼν νθ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, τινὸς τῶν κληρικῶν ἐν- νθ' δεοῦς ὄντος, μὴ ἐπιχορηγεῖ τὰ δέοντα, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω ὡς φονεύσας τὸν ἀδελφὸν αὐτοῦ.

Συνόδου Σαρδικῆς κανὼν ζ'.

Ὅσιος ἐπίσκοπος εἶπεν, ἡ ἀκαιρία ἡμῶν etc. ut p. 204.

Οἱ πενόμενοι αἱρετικοὶ, οὐ χορηγοῦνται τὰ λεγόμενα ἀξιωματικὰ ἀπὸ τῶν δικαστηρίων ἢ τῶν ἐκκλησιῶν, ὡς βιβλ. α' τίτ. ε' διάτ. κ'.

ΚΕΦ. Η.

Περὶ συνόδων καὶ τῶν εἰς αὐτὰς μὴ ἀπιόντων.

Ἀποστόλων κανὼν λζ'.

Δεύτερον τοῦ ἔτους σύνοδος γινέσθω τῶν ἐπισκόπων, καὶ λζ ἀνακρινέτωσαν ἀλλήλους τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀντιλογίας διαλυέτωσαν, ἅπαξ μὲν τῇ τετάρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς, δεύτερον δὲ ὑπερβερεταίου δωδεκάτῃ, κατὰ ῥωμαίους ὀκτωβρίου.

Συνόδου Νικαίας κανὼν ε'.

Περὶ τῶν ἀκοινωνήτων γενομένων, εἴτε τῶν ἐν κλήρῳ, ε' εἴτε τῶν ἐν λαϊκῷ τάγματι, ὑπὸ τῶν καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπων, κρατείτω ἡ γνώμη, κατὰ τὸν κανόνα τὸν διαγορεύοντα τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ προσίεσθαι· ἐξεταζέσθω δὲ μὴ μικροψυχίᾳ πάντως, ἢ φι-

λονεικίᾳ, ἢ τινὶ τοιαύτῃ ἀηδίᾳ τοῦ ἐπισκόπου, ἀποσυνάγωγοι γεγένηνται· ἵνα οὖν τοῦτο τὴν πρέπουσαν ἐξέτασιν λαμβάνοι, καλῶς ἔχειν ἔδοξεν ἑκάστου ἐνιαυτοῦ καθ' ἑκάστην ἐπαρχίαν δὶς τοῦ ἔτους, συνόδους γίνεσθαι· ἵνα κοινῇ πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐπὶ τὸ αὐτὸ συναγομένων τὰ τοιαῦτα ζητήματα ἐξετάζοιτο, καὶ οὕτως οἱ ὁμολογουμένως προσκεκρουκότες τῷ ἐπισκόπῳ, κατὰ λόγον ἀκινώνητοι παρὰ πᾶσιν εἶναι δόξωσι, μέχρις ἂν τῷ κοινῷ τῶν ἐπισκόπων δόξῃ τὴν· φιλανθρωποτέραν ὑπὲρ αὐτῶν ἐκθέσθαι ψῆφον· αἱ δὲ σύνοδοι γινέσθωσαν, μία μὲν πρὸ τῆς τεσσαρακοστῆς, ἵνα πάσης μικροψυχίας ἀγαιρουμένης, τὸ δῶρον καθαρὸν προσφέρηται τῷ θεῷ· δευτέρα δὲ περὶ τὸν τοῦ μετοπώρου καιρόν.

Συνόδου Ἀντιοχειας κανὼν κ'.

κ' Διὰ τὰς ἐκκλησιαστικὰς χρείας, καὶ τὰς τῶν ἀμφισβητουμένων διαλύσεις, καλῶς ἔχειν ἔδοξε συνόδους καθ' ἑκάστην ἐπαρχίαν τῶν ἐπισκόπων γίνεσθαι δεύτερον τοῦ ἔτους, ἅπαξ μὲν μετὰ τὴν τρίτην ἑβδομάδα τῆς ἑορτῆς τοῦ πάσχα, ὥστε τῇ τετάρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς ἐπιτελεῖσθαι τὴν σύνοδον, ὑπομιμνήσκοντος τοὺς ἐπαρχιώτας τοῦ ἐν τῇ μητροπόλει· τὴν δὲ δευτέραν σύνοδον γίνεσθαι εἰδοῖς ὀκτωβρίαις ἥ τις ἐστὶ δεκάτη ὑπερβερεταίου· ὥστε ἐν αὐταῖς ταύταις ταῖς συνόδοις προσιέναι πρεσβυτέρους καὶ διακόνους, καὶ πάντας τοὺς ἠδικῆσθαι νομίζοντας, καὶ παρὰ τῆς συνόδου ἐπικρίσεως τυγχάνειν· μὴ ἐξεῖναι δέ τινας καθ' ἑαυτοῦ συνόδους ποιεῖσθαι, ἄνευ τῶν πεπιστευμένων τὰς μητροπόλεις.

Συνόδου Λαοδικείας κανὼν μ'.

μ' Ὅτι οὐ δεῖ ἐπισκόπους καλουμένους εἰς σύνοδον καταφρονεῖν, ἀλλ' ἀπιέναι καὶ διδάσκειν ἢ διδάσκεσθαι, εἰς κα-

τόρθωσιν τῆς ἐκκλησίας καὶ τῶν λοιπῶν· εἰ δὲ καταφρονήσειεν ὁ τοιοῦτος, ἑαυτὸν αἰτιάσεται· παρεκτὸς, εἰ μὴ δι' ἀνωμαλίαν ἀπολιμπάνοιτο.

Συνόδου Χαλκηδόνος κανὼν ιθ'.

ιθ' Ἦλθεν εἰς τὰς ἡμετέρας ἀκοὰς, ὡς ἐν ταῖς ἐπαρχίαις αἱ κεκανονισμέναι σύνοδοι τῶν ἐπισκόπων οὐ γίνονται, καὶ ἐκ τούτου πολλὰ παραμελεῖται τῶν διορθώσεως δεομένων ἐκκλησιαστικῶν πραγμάτων· ὥρισε τοίνυν ἡ ἁγία σύνοδος, κατὰ τοὺς τῶν ἁγίων πατέρων κανόνας, δὶς τοῦ ἐνιαυτοῦ ἐπὶ τὸ αὐτὸ συντρέχειν καθ' ἑκάστην ἐπαρχίαν τοὺς ἐπισκόπους, ἔνθα ἂν ὁ τῆς μητροπόλεως ἐπίσκοπος δοκιμάσῃ, καὶ διορθοῦν ἕκαστα τὰ ἀνακύπτοντα· τοὺς δὲ μὴ συνιόντας ἐπισκόπους, ἐνδημοῦντας ταῖς ἑαυτῶν πόλεσι, καὶ ταῦτα ἐν ὑγείᾳ διάγοντας, καὶ πάσης ἀσαραιτήτου καὶ ἀναγκαίας ἀσχολίας ὄντας ἐλευθέρους, ἀδελφικῶς ἐπιπλήττεσθαι.

Συνόδου Καρθαγέννης κανὼν τη' ογ' ος' ψε'.

ιη' Ἐάν τις κληρικὸς χειροτονῆται etc. ut p. 35.

Περὶ τοῦ τὴν ἡμέραν τοῦ πάσχα, ἐν τῇ ἡμέρᾳ τῆς συνόδου ἀγγέλλεσθαι.

ογ' Ὁμοίως ἤρεσεν, ὥστε τὴν ἡμέραν τοῦ προσκυνητοῦ πάσχα etc. ut p. 179.

ος' Περὶ τῶν μὴ ἀπαντώντων ἐν ταῖς συνόδοις ἐπισκόπων.

Ὁμοίως ἤρεσεν, ἵνα ὁσακισθήποτε σύνοδον δεῖ συναχθῆναι, οἱ ἐπίσκοποι εἴ τινες οὔτε κείρᾳ οὔτε ἀσθενείᾳ οὔτε τινὶ βαρυτέρᾳ ἀνάγκῃ ἐμποδίζονται, ἁρμοδίως ἀπαντῶσι, καὶ τῇ πρωτεύουσιν ἑκάστης ἰδίας αὐτῶν ἐπαρχίας ἐμφανισθέτω περὶ πάντων τῶν ἐπισκόπων, εἴτε δύο, εἴτε τρεῖς συναθροίσεις γένωνται· καὶ ἀπὸ ἑκάστου δὲ ἀθροισμοῦ εἰς ἀμοιβὴν ὁσοιθήποτε ἐπιλεγῶσι, πρὸς τὴν ἡμέραν τῆς συνόδου ἑνστα-

τικῶς ἀπαντήσωσιν· ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι, ἀθρόον τινῶν ἀναγκῶν ὡς εἰκὸς ἀναφυομένων, εἰ μὴ τὸν λόγον τοῦ οἰκείου ἐμποδισμοῦ παρὰ τῷ οἰκείῳ πρωτεύοντι ἀποδώσωσιν, ὀφείλειν τοὺς τοιούτους τῇ κοινωνίᾳ τῆς ἰδίας αὐτῶν ἀρκεῖσθαι ἐκκλησίας.

Σύνοδον μὴ γίνεσθαι κοινήν τε καὶ ὁλοτελῆ, εἰ μὴ ἐξ ἀνάγκης.

ιε' Ἤρεσεν ὥστε μὴ εἶναι περαιτέρω ἐνιαυσιαίαν ἀνάγκην τοῦ συντρίβεσθαι τοὺς ἀδελφοὺς, ἀλλ' ὁσάκις ἂν κοινὴ χρεία καλέσῃ πάσης τοῦτέστι τῆς Ἀφρικῆς, γραμμάτων διδομένων ὁθενδήποτε, πρὸς ταύτην τὴν καθέδραν σύνοδον ὀφείλειν συνάγεσθαι ἐν ταύτῃ τῇ ἐπαρχίᾳ, ἔνθα ἂν ἡ χρεία καὶ ἡ ἐπιτηδειότης συνωθήσῃ· αἱ δὲ αἰτίαι αἱ μὴ οὖσαι κοιναὶ, ἐν ταῖς ἰδίαις ἐπαρχίαις κριθῶσιν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιη'.

ιη' Ἐν πᾶσι τὰ ὑπὸ τῶν ἁγίων ἡμῶν πατέρων θεσπισθέντα, καὶ ἡμεῖς κρατεῖν βουλόμενοι, ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα, καθ' ἕκαστον ἔτος συνόδους τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι ἐπισκόπων, ἔνθα ἂν ὁ τῆς μητροπόλεως δοκιμάσῃ ἐπίσκοπος· ἐπειδὴ δὲ διά τε τὰς βαρβάρων ἐπιδρομὰς, διά τε τὰς προσπιπτούσας ἑτέρας αἰτίας, ἀδυνάτως οἱ τῶν ἐκκλησιῶν πρόεδροι ἔχουσι, δὶς τοῦ ἐνιαυτοῦ τὰς συνόδους ποιεῖσθαι, ἔδοξεν ὥστε τρόπῳ παντὶ ἅπαξ τοῦ ἔτους, τὴν τῶν προγεγραμμένων ἐπισκόπων, διὰ τὰ ὡς εἰκὸς ἀναφυόμενα ἐκκλησιαστικὰ κεφάλαια, ἐν ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι σύνοδον, ἀπὸ τῆς ἁγίας τοῦ πάσχα ἑορτῆς, καὶ μέχρι συμπληρώσεως τοῦ ἐκτωβρίου μηνὸς ἑκάστου ἔτους, κατὰ τὸν τόπον ὃν ὁ τῆς μητροπόλεως καθὰ προείρηται δοκιμάσει ἐπίσκοπος· τοὺς δὲ μὴ συνιόντας ἐπισκόπους, ἐνδη-

μεῖντας ταῖς ἑαυτῶν πόλεσι, καὶ ταῦτα ἐν ὑγείᾳ διάγοντας, καὶ πάσης ἀπαραιτήτου καὶ ἀναγκαίας ἀσχολίας ὄντας ἐλευθέρους, ἀδελφικῶς ἐπιπλήττεσθαι.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν ς'.

Περὶ τοῦ γίνεσθαι τοπικὴν σύνοδον κατὰ χρόνον.

Ἐπειδήπερ κανών ἐστιν ὁ λέγων, δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν χρὴ γίνεσθαι διὰ συναθροίσεως ἐπισκόπων τὰς κανονικὰς ζητήσεις, διὰ οὖν τὴν συντριβὴν καὶ τὸ ἐνδεῶς ἔχειν πρὸς ὁδοιπορίαν τοὺς συναθροιζομένους, ὥρισαν οἱ τῆς ς' συνόδου πατέρες ἐξ ἅπαντος τρόπου καὶ προφάσεως, ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι, καὶ τὰ ἐσφαλμένα διορθοῦσθαι· τοῦτον οὖν τὸν κανόνα καὶ ἡμεῖς ἀνανεοῦμεν· καὶ εἴ τις εὑρεθῇ ἄρχων τοῦτο κωλύων, ἀφοριζέσθω· εἰ δέ τις ἐκ τῶν μητροπολιτῶν ἀμελήσοι τοῦτο γίνεσθαι, ἐκτὸς ἀνάγκης καὶ βίας, καί τινος εὐλόγου προφάσεως, τοῖς κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω· τῆς δὲ συνόδου γινομένης περὶ κανονικῶν καὶ εὐαγγελικῶν πραγμάτων, δεῖ τοῖς συναθροισθεῖσιν ἐπισκόποις, ἐν μελέτῃ καὶ φροντίδι γίνεσθαι τοῦ φυλάττειν τὰς θείας καὶ ζωοποιοὺς ἐντολὰς τοῦ θεοῦ· ἐν γὰρ τῷ φυλάσσεσθαι αὐτὰς, ἀνταπόδοσις πολλὴ· ὅτι καὶ λύχνος ἐντολὴ, νόμος δὲ φῶς, καὶ ὁδὸς ζωῆς ἔλεγχος καὶ παιδεία· καὶ ἡ ἐντολὴ κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς· μὴ ἔχειν δὲ ἄδειαν τὸν μητροπολίτην ἐξ ὧν ἐπιφέρεται ὁ ἐπίσκοπος μετ' αὐτοῦ, ἢ κτῆνος, ἢ ἕτερον εἶδος ἀπαιτεῖν· εἰ δὲ τοῦτο πεποιηκὼς ἐλεγχθῇ, ἀπρτίσει τετραπλάσιον.

Ἡ ζ' καὶ ἡ ιζ' διάταξις τοῦ α' τίτ. τῶν νεαρῶν, βούλονται ἅπαξ ἢ δὶς τοῦ ἔτους, τῷ ἰουνίῳ ἢ τῷ σεπτεβρίῳ, γίνεσθαι συνόδους τῶν μητροπολιτῶν παρὰ τοῖς πατριάρχαις, καὶ τῶν ἐπισκόπων παρὰ τοῖς μητροπολίταις· καὶ ἐξετάζε-

σθαι τὰς αἰτίας ἃς οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ καὶ οἱ μοναχοὶ, πρὸς ἀλλήλους ἔχουσι· περί τε πίστεως καὶ κανόνων καὶ πραγμάτων ἐκκλησιαστικῶν καὶ ἄλλων, καὶ τὰ παρὰ τοὺς κανόνας ἁμαρτανόμενα διορθοῦσθαι· οἱ δὲ ἄρχοντες καὶ αἱ τάξεις αὐτῶν μὴ ἐπιτιθέμενοι τοῖς μητροπολίταις καὶ ἐπισκόποις ὑπερτιθεμένοις ποιεῖν τὰς συνόδους, ἢ μὴ μηνύοντες τῇ βασιλείᾳ, ἐσχάτως τιμωροῦνται.

ΚΕΦ. Θ.

Περὶ τοῦ μὴ ὡς ἔτυχεν ἐπίσκοπον ἢ κληρικὸν ἐμμαγκιπεύειν τὰ ἴδια τέκνα.

Συνόδου Καρθαγέννης κανὼν λε'.

Περὶ τοῦ τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μὴ εὐχερῶς τὰ τέκνα αὐτῶν ποιεῖν ἐμμαγκίπατα.

λε' Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς, καὶ τὰ τέκνα αὐτῶν, μὴ ἐᾷν αὐτεξουσίως ἀπιέναι διὰ ἐμμαγκιπατίσνος· εἰ μὴ δ' ἂν εἰς τοὺς τρόπους καὶ εἰς τὴν ἡλικίαν αὐτῶν πληροφορηθῶσιν, ὡς λοιπὸν τὰ ἁμαρτήματα αὐτῶν εἰς αὐτοὺς συντείνειν.

ΚΕΦ. Ι.

Πῶς ἐκδικοῦσιν οἱ ἐπίσκοποι τοὺς ἁρμόζοντας αὐτοῖς τόπους παρὰ αἱρετικῶν κατεχομένους.

Συνόδου Καρθαγέννης κανὼν ρκα'.

Περὶ τῶν ἀμελούντων τῶν αὐτοῖς ἀνηκόντων λαῶν.

ρκα' Ὁμοίως ἤρεσεν ἵνα οἱτινεσδήποτε, ἀμελοῦσι τῶν τόπων τῶν ἀνηκόντων τῇ αὐτῶν καθέδρᾳ πρὸς τὸ τούτους κερδάναι, εἰς τὴν καθολικὴν ἑνότητα ἐγκληθῶσιν ἀπὸ τῶν γειτνιώντων αὐτοῖς ἐπιμελῶν ἐπισκόπων, περὶ τοῦ μὴ ἀναβάλλεσθαι τοῦτο πρᾶξαι· διὸ ἐὰν ἐντὸς προθεσμίας μηνῶν ἓξ,

ἀπὸ τῆς ἡμέρας τῆς περὶ τούτου συνελεύσεως, μηδὲν ἀνύσωσι, τῷ δυναμένῳ λοιπὸν τούτους κερδάναι, προσκυρωθῶσιν· οὕτως μέν τοι, ἵνα ἐὰν ἐκεῖνος πρὸς ὃν ἐνδείκνυνται ἀνήκειν οἱ τοιοῦτοι, ἐξεπίτηδες διά τινα οἰκονομίαν ἔδοξεν ἀμελεῖν, τοῦτο τῶν αἱρετικῶν ἐπιλεξαμένων· ὥστε ἀθορύβως αὐτοὺς παραδέξασθαι, καὶ ἐν τοσούτῳ ἡ αὐτοῦ ἐπιμέλεια ὑπὸ ἑτέρου προελήφθη, ἢ τινι κατεχρήσατο, τοὺς αὐτοὺς αἱρετικοὺς πλέον ἐκάκιζε, τούτου μεταξὺ ἐπισκόπων κρινόντων διαγινωσκομένου, οἱ τόποι τῇ αὐτοῦ καθέδρᾳ ἀποκαταστα θῶσι· τῶν δὲ κρινόντων ἐπισκόπων, ἐκ διαφόρων ὄντων ἐπαρχιῶν, ἐκεῖνος ὁ πρωτεύων τοὺς δικαστὰς δώσει, οὗ τινος ἐν τῇ χώρᾳ ὁ αὐτὸς ὑπάρχει τόπος, περὶ οὗ φιλονεικεῖται· ἐὰν δὲ κατὰ κοινὴν συναίνεσιν, γείτονας ἐπιλέξωνται κριτὰς, ἢ εἷς ἐπιλεγῇ ἢ τρεῖς· καὶ ἐὰν τρεῖς ἐπιλέξωνται, ἢ τῇ τῶν ὅλων ψήφῳ ἐπακολουθήσουσιν, ἢ τῇ τῶν δύο.

Ἡ ριβ' νεαρὰ φησὶ, τὰς ἐκκλησίας Ἀφρικῆς, ἀσφαλῶς ἔχειν τὰς κτήσεις αὐτῶν· καὶ ἐὰν Ἕλληνες ἢ αἱρετικοὶ ἔχωσι τινὰς αὐτῶν, ἢ οἴκους, ἢ σκεύη ἀφαιρεῖσθαι αὐτὰ, μὴ ἀντικειμένης αὐταῖς χρονίας παραγραφῆς.

ΚΕΦ. ΙΑ.

Περὶ τοῦ μὴ ὀφείλειν τοὺς ἀναγνώστας τὸν δῆμον προσκυνεῖν.

Συνόδου Καρθαγέννης κανὼν ις'.

Ὥστε μηδένα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἔκλη ψίν τινα λαμβάνειν· καὶ ὥστε τοὺς ἀναγνώστας γαμετὰς λαμβάνειν, καὶ ἵνα οἱ κληρικοὶ γυναικῶν καὶ τόκων ἀπέχωνται· καὶ ποίῳ δεῖ καιρῷ ἢ αὐτοὺς ἢ τὰς παρθένους καθιεροῦσθαι· καὶ περὶ τοῦ μὴ προσκυνεῖν τὸν δῆμον.

Ὁμοίως ἤρεσεν ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διά- ις'

κονοι, ἐκλήπτορες μὴ γίνωνται ἢ προκυράτορες· μὴ δὲ ἔκ τινος αἰσχροῦ ἢ ἀτίμου πράγματος, τροφὴν πορίζωνται· ὀφείλουσι γὰρ ἀποβλέψαι εἰς τὸ γεγραμμένον· οὐδεὶς στρατευόμενος τῷ Θεῷ, ἐμπλέκει ἑαυτὸν πράγμασι κοσμικοῖς· ἤρεσεν ὥστε τοὺς ἀναγνώστας, εἰς τὸν καιρὸν τῆς ἥβης ἐρχομένους ἀναγκάζεσθαι ἢ συμβίους ἀγαγέσθαι, ἢ ἐγκράτειαν ὁμολογεῖν· ὁμοίως ἤρεσεν ἵνα κληρικὸς, ἐὰν χρήματα δῷ ἐν χρήσει, τὰ χρήματα λάβῃ· ἐὰν δὲ εἶδος ὅσον δέδωκε, λάβῃ· καὶ ἵνα πρὸ τῶν κε' ἐνιαυτῶν, μήτε διάκονοι χειροτονῶνται· ἀλλὰ καὶ εἰ ἀναγνῶσται τὸν ὕμνον μὴ προσκυνῶσιν.

ΚΕΦ. ΙΒ.

Περὶ ἐπισκόπων μὴ ἐπιστρεφόντων τοὺς αἱρετικοὺς· καὶ περὶ ἐπισκόπων καὶ κληρικῶν μὴ διδασκόντων τὸν λαόν· καὶ ὅτι ὁ ἐπίσκοπος ὑπὲρ τοῦ λαοῦ ἀπολογεῖται τῷ Θεῷ· καὶ πότε τοῦ λαοῦ ἁμαρτήσαντος, ὁ κλῆρος ἀφορίζεται.

Ἀποστόλων κανὼν λς' λθ' νή'.

λς' Εἴ τις χειροτονηθεὶς ἐπίσκοπος etc. ut p. 56.

λθ' Οἱ πρεσβύτεροι καὶ διάκονοι, ἄνευ γνώμης τοῦ ἐπισκόπου, μηδὲν ἐπιτελείτωσαν· αὐτὸς γάρ ἐστιν ὁ πεπιστευμένος τὸν λαὸν κυρίου, καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος.

νή' Ἐπίσκοπος ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου, ἢ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ῥᾳθυμίᾳ, καθαιρείσθω.

Συνόδου Καρθαγέννης κανὼν ρκγ' ρκδ'.

Ὥστε τὸν καταφρονοῦντα τῆς ἰδίας διοικήσεως ἐπίσκοπον, στερεῖσθαι τῆς κοινωνίας.

ρκγ' Ἐὰν ἐν ταῖς ματρικίοις, ἤγουν ἐν ταῖς καθέδραις, ἐπί-

σκοπος ἀμελὴς γένηται κατὰ τῶν αἱρετικῶν, ὑπομνησθείη ἀπὸ τῶν γειτνιώντων ἐπιμελῶν ἐπισκόπων, καὶ ὑποδειχθείη αὐτῷ ἡ ἰδία περιφρόνησις, πρὸς τὸ μὴ ἔχειν ἀπολογίαν· ἐὰν δὲ ἀφ' ἧς ἡμέρας ὑπομνησθῇ, ἐντὸς μηνῶν ἓξ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγων, μὴ τῶν ὀφειλόντων πρὸς τὴν καθολικὴν ἑνότητα ἐπιστραφῆναι τὴν φροντίδα ποιήσηται, τῷ τοιούτῳ μὴ συγκοινωνηθῇ, ἕως οὗ τοῦτο πληρώσῃ· εἰ δὲ ὁ ἐπεξεργαζὴς εἰς τοὺς αὐτοὺς τόπους μὴ παραγένηται, τῷ ἐπισκόπῳ μὴ ἐπιγραφῇ.

Περὶ τῶν τοὺς Δοναστιστὰς κοινωνῆσαι ψευδομένων ἐπισκόπων.

Ἐὰν δὲ ἀποδειχθῇ τὸν τοιοῦτον ψευσάμενον περὶ τῆς ρκδ' ἐκείνων κοινωνίας, ἐν τῷ λέγειν αὐτοὺς κεκοινωνηκέναι, οὓς δείκνυται συνειδήσει αὐτοῦ μὴ κοινωνῆσαι, καὶ τὴν ἐπισκοπὴν ἔτι μὴν ἀπολέσει.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιθ'.

Ὅτι δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας, ἐν πάσῃ μὲν ιθ' ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς εὐσεβείας λόγους, ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους τὰ τῆς ἀληθείας νοήματά τε καὶ κρίματα, καὶ μὴ παρεκβαίνοντας τοὺς ἤδη τεθέντας ὅρους, ἢ τὴν ἐκ τῶν θεοφόρων πατέρων παράδοσιν· ἀλλὰ καὶ εἰ γραφικὸς ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν, ἢ ὡς ἂν οἱ τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν οἰκείων συγγραμμάτων παρέθεντο· καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν, ἢ λόγους οἰκείους συντάττοντες· ἔστιν ὅτε ἀπόρως ἔχοντες πρὸς τοῦτο, ἀποπίπτειν τοῦ προσήκοντος· διὰ γὰρ τῆς τῶν προειρημένων πατέρων διδασκαλίας, οἱ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ αἱρετῶν, καὶ τῶν

ἀσυμφόρων καὶ ἀποβλήπτων, τὸν βίον μεταρυθμίζουσι πρὸς τὸ βέλτιον, καὶ τῷ τῆς ἀγνοίας οὐχ' ἁλίσκονται πάθει· ἀλλὰ προσέχοντες τῇ διδασκαλίᾳ, ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσι, καὶ φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν, τὴν σωτηρίαν αὐτοῖς ἐξεργάζονται.

ΚΕΦ. ΙΓ.

Περὶ ἐπισκόπων καὶ κληρικῶν κοσμικόν τι πραττόντων δημόσιον, ἢ ἰδιωτικὸν, ἢ μίσθωσιν, ἢ ἐπιτροπήν.

Ἀποστόλων κανὼν ς' πά'.

ς' Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μή, καθαιρείσθω.

πά' Εἴπομεν ὅτι μὴ χρὴ ἐπίσκοπον ἢ πρεσβύτερον καθιέναι ἑαυτὸν εἰς δημοσίας διοικήσεις, ἀλλὰ προσευκαιρεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις· ἢ πειθέσθω οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω· οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν κυριακὴν παρακέλευσιν.

Συνόδου Χαλκηδόνος κανὼν γ'.

γ' Ἦλθεν εἰς τὴν ἁγίαν σύνοδον, ὅτι τῶν ἐν κλήρῳ κατειλεγμένων τινὲς δι' αἰσχροκέρδειαν, ἀλλοτρίων κτημάτων γίνονται μισθωταὶ, καὶ πράγματα κοσμικὰ ἐργολαβοῦσι· τῆς μὲν τοῦ θεοῦ λειτουργίας καταρᾳθυμοῦντες, τοὺς δὲ τῶν κοσμικῶν ὑποτρέχοντες οἴκους, καὶ οὐσιῶν χειρισμοὺς ἀναδεχόμενοι διὰ φιλαργυρίαν· ὥρισε τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος, μηδένα τοῦ λοιποῦ, μὴ ἐπίσκοπον, μὴ κληρικὸν, μὴ μοναζοντα, ἢ μισθοῦσθαι κτήματα, ἢ πραγμάτων ἐπεισάγειν ἑαυτὸν κοσμικαῖς διοικήσεσι, πλὴν εἰ μή που ἐκ νόμων καλοῖτο εἰς ἀφηλίκων ἀπαραίτητον ἐπιτροπὴν, ἢ ὁ τῆς πόλεως ἐπίσκοπος, ἐκκλησιαστικῶν ἐπιτρέψει φροντίζειν πραγ-

μάτων, ἢ ὀρφανῶν, καὶ χηρῶν ἀπρονοήτων, καὶ τῶν προσώπων τῶν μάλιστα τῆς ἐκκλησιαστικῆς δεομένων βοηθείας, διὰ τὸν φόβον τοῦ κυρίου· εἰ δέ τις παραβαίνειν τὰ ὡρισμένα τοῦ λοιποῦ ἐπιχειρήσοι, ὁ τοιοῦτος ἐκκλησιαστικοῖς ὑποκείσθω ἐπιτιμίοις.

Συνόδου Καρθαγέννης κανὼν ις'.

Ὥστε μηδένα ἐπίσκοπον ἢ πρεσβύτερον etc. ut p. 213. ις'

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν ι'.

Ὅτι οὐ δεῖ κληρικοὺς ἀπολιπεῖν τὴν ἑαυτῶν παροικίαν, καὶ ἐν ἑτέρᾳ ἀφικέσθαι, χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου.

Ἐπειδή τινες τῶν κληρικῶν παραλογιζόμενοι etc. ut p. 196-197.

Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων, κανὼν ια'.

Τοὺς πρεσβυτέρους ἢ διακόνους, κοσμικὰς ἀρχὰς ἢ φροντίδας ἀναδεχομένους, ἢ τὰς ἐν τοῖς οἴκοις τῶν ἀρχόντων λεγομένας κουρατωρείας, οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καθαιρέσει καθυποβάλλουσι· τοῦτο οὖν καὶ ἡμεῖς ἐπακουροῦντες, καὶ περὶ τῶν λοιπῶν τῶν ἐν κλήρῳ κατειλεγμένων διοριζόμεθα, ὡς εἴ τις αὐτῶν κοσμικὰς ἀρχὰς μεταχειρίζοιτο, ἢ τὰς ἐν τοῖς τῶν ἀρχόντων οἴκοις ἢ προαστείοις λεγομένας κουρατωρείας ἀναδέχοιτο, τοῦτον τοῦ οἰκείου κλήρου ἐκδιώκεσθαι· οὐδεὶς γὰρ δύναται, κατὰ τὴν τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν αὐτόλεκτον καὶ ἀψευδεστάτην φωνὴν, δυσὶ κυρίοις δουλεύειν.

Ἡ ις' διάταξις τοῦ α' βιβλ. τοῦ κώδ. κωλύει τοὺς κληρικοὺς πάροδον ἔχειν εἰς τὰς δημοσίας πράξεις, ἢ τὰς ἁρμοζούσας ταῖς βουλαῖς· καὶ ἡ μ' τοῦ αὐτοῦ τίτ. διάτ. ἀπαγορεύει τοῖς ἐκκλησιεκδίκοις, ἐμφανίζειν τελευταίας βουλή-

σεις, πεινὴν ἐκ παραβασίας ὁρίζουσα ν' λιτρῶν· καὶ ἡ νά τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι εἰ ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι καὶ ὑποδιάκονοι, καὶ μοναχοὶ, κἂν μὴ ἔχωσι χειροτονίαν, ἀλειτουργησίαν ἔχουσι πάσης ἐπιτροπῆς καὶ κουρατορείας, σχολάζοντες μέν τοι ταῖς ἐκκλησίαις καὶ τοῖς μοναστηρίοις αὐτῶν, καὶ μὴ ἀμελοῦντες τῆς θείας λειτουργίας· ἡ δὲ β' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐπίσκοπος ἢ μοναχὸς, οὐ γίνεται κηδεμὼν· οἱ δὲ ἄλλοι κληρικοὶ τῶν ἰδίων συγγενῶν κηδεμονεύουσιν, ἐὰν εἴσω δ' μηνῶν παρὰ τῷ ἁρμοδίῳ δικαστῇ εἰκεία προαιρέσει καταδέξωνται· καὶ οὐ προκριματίζονται περὶ ἄλλην κηδεμονίαν· οὔτε δὲ δημοσίων ἐκλήπτωρ, ἢ τελῶν, ἢ κτήσεων ἀλλοτρίων, ἢ κουράτωρ εἴκοσι, ἢ ἐντολεὺς δίκης, ἢ ἐγγυητὴς· ὑπὲρ τῶν τοιούτων αἰτιῶν ἐπίσκοπος, ἢ οἰκονόμος, ἢ ἄλλος κληρικὸς γίνεται ὀνόματι ἰδίῳ, ἢ τῆς ἐκκλησίας, ἢ τοῦ μοναστηρίου αὐτοῦ· τὰς δὲ παρακειμένας κτήσεις τοῖς αὐτῶν εὐαγέσιν οἴκοις, δύνανται μισθοῦσθαι καὶ ἐμφυτεύεσθαι, πάντων τῶν μοναχῶν καὶ κληρικῶν ἐν συμβολαίῳ, ἢ ἐπὶ πράξεως, συναινούντων καὶ φανερούντων συμφέρειν τὸ γινόμενον· καὶ αὐτοὶ δὲ εἰ σεπτεὶ οἶκοι τοῖς κληρικοῖς αὐτῶν μισθοῦσι καὶ ἐμφυτεύουσι, χωρὶς τῶν δι' ἑτέρου νόμου κωλυθέντων προσώπων· ὁ δὲ παρὰ ταῦτα πειῶν, εἰ μὲν ἐπίσκοπός ἐςι, τὰ πράγματα αὐτοῦ πάντα τῇ ἐκκλησίᾳ αὐτοῦ προσκυροῦνται· εἰ δὲ οἰκονόμος ἢ ἄλλος κληρικὸς, πεινὴν δίδωσι χρηματικὴν τὴν νομιζομένην τῷ ἐπισκόπῳ αὐτοῦ εἰ δὲ ἐμπιστεύσαντες αὐτοῖς τὰς δεισικήσεις, ἢ λαβόντες αὐτοὺς ἐγγυητὰς, οὐκ ἔχουσιν ἀγωγὴν κατ' αὐτῶν, ἢ πραγμάτων, ἢ ἐγγυητῶν, ἢ ἐκκλησιῶν, ἢ μοναστηρίων αὐτῶν· ἀλλὰ καὶ τὴν συμβαίνουσαν τῶν δημοσίων βλάβην, οἴκοθεν ἀποθεραπεύουσιν.

ΚΕΦ. ΙΔ.

Περὶ ἐπισκόπων καὶ κληρικῶν συνόντων γυναιξὶν ἐπεισάκτοις.

Συνόδου Νικαίας κανὼν γ'.

Ἀπηγόρευσε καθόλου ἡ μεγάλη σύνοδος, μήτε ἐπισκόπῳ, γ'
μήτε πρεσβυτέρῳ, μήτε διακόνῳ, μήτε ὅλως τινὶ τῶν ἐν τῷ κλήρῳ, ἐξεῖναι συνείσακτον ἔχειν· πλὴν εἰ μὴ ἄρα μητέρα ἢ ἀδελφὴν ἢ θείαν, ἢ ἃ μόνα πρόσωπα πᾶσαν ὑπόψιαν διαπέφευγεν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ε'.

Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, τῶν ε'
ἐν τῷ κανόνι ἐμφερομένων ἀνυπόπτων προσώπων ἐκτὸς διάγων, γύναια κεκτήσθω ἢ θεραπαινίδας, τὸ ἀνεπίληπτον ἑαυτῷ ἐντεῦθεν τηρῶν· εἰ δὲ παραβαίνοι τίς τὰ παρ' ἡμῶν ὁρισθέντα, καθαιρείσθω· τὸ αὐτὸ δὲ τοῦτο καὶ οἱ εὐνοῦχοι παραφυλαττέσθωσαν, τὸ ἄμεμπτον ἑαυτοῖς προνοούμενοι· παραβαίνοντες δὲ, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν· εἰ δὲ λαϊκοὶ, ἀφοριζέσθωσαν.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν ιή'.

Ὅτι οὐ δεῖ γυναῖκα ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις, ἢ ἐν ἀνδρείοις μοναστηρίοις.

Ἀπρόσκοποι γίνεσθε, φησὶν ὁ θεῖος ἀπόστολος, καὶ τοῖς ἔξωθεν· τὸ δὲ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις, ἢ καὶ μοναστηρίοις, παντὸς προσκόμματος αἴτιον· εἴ τις οὖν δούλην ἢ ἐλευθέραν ἐν τῷ ἐπισκοπείῳ κτώμενος φωραθείη, ἢ ἐν μοναστηρίῳ, πρὸς ἐγχείρησιν διακονίας τινὸς, ἐπιτιμάσθω· ἐπιμένων δὲ, καθαιρείσθω· εἰ δὲ καὶ τύχοι ἐν πρασταιείοις γυναῖκας εἶναι, καὶ θελήσοι ἐπίσκοπος ἢ ἡγούμενος περίαν ἐν τοῖς ἐκεῖσε ποιήσασθαι, παρόντος ἐπισκόπου ἢ ἡγουμένου,

μηδόλως ἐγχείρησιν διακονίας πειεῖσθαι κατ' ἐκεῖνον τὸν καιρὸν γυναικί· ἀλλ' ἰδιαζέτω ἐν ἑτέρῳ τόπῳ, ἕως ἂν τὴν ἐπαναχώρησιν ποιήσηται ὁ ἐπίσκοπος, διὰ τὸ ἀνέπιλητον.

Βασιλείου ἐκ τῆς πρὸς Γρηγόριον ἐπιστολῆς, ὥστε χωρισθῆναι αὐτὸν τοῦ συνοίκου γυναίου.

Ἐνέτυχόν σου τοῖς γράμμασι μετὰ πάσης μακροθυμίας, καὶ ἐθαύμασα, πῶς δυνάμενος ἡμῖν συντόμως καὶ εὐκόλως ἀπολογήσασθαι διὰ τῶν πραγμάτων, τοῖς μὲν κατηγορουμένοις ἐπιμένειν καταδέχῃ, λόγοις δὲ μακροῖς θεραπεύειν ἐπιχειρεῖς τὰ ἀνίατα· οὔτε πρῶτοι οὔτε μόνοι, ὦ Γρηγόριε, ἐνομοθετήσαμεν γυναῖκας ἀνδράσι μὴ συνοικεῖν· ἀλλ' ἀνάγνωθι τὸν κανόνα τὸν ἐξενεχθέντα παρὰ τῶν ἁγίων πατέρων ἡμῶν, ἐν τῇ συνόδῳ Νικαίας, ὃς φανερῶς ἀπηγόρευσε συνεισάκτους μὴ εἶναι· ἀγαμία δὲ ἐν τούτῳ ἔχει τὸ σεμνὸν, ἐν τῷ κεχωρίσθαι τῆς μετὰ γυναικῶν διαγωγῆς· ὡς ἂν ἐπαγγελλόμενός τις τῷ ὀνόματι, ἔργῳ τὰ τῶν ταῖς γυναιξὶ συνοικούντων ποιῆται, δῆλός ἐστι τὸ μὲν τῆς παρθενίας σεμνὸν ἐν τῇ προσηγορίᾳ διώκων, τοῦ δὲ καθ' ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος· τοσούτῳ οὖν σε μᾶλλον ἐχρῆν εὐκόλως ἡμῶν εἶναι τῇ ἀξιώσει, ὅσῳ περ λέγεις ἐλεύθερος εἶναι παντὸς σωματικοῦ πάθους· οὔτε γὰρ τὸν ἑβδομηκονταετῆ γεγονότα πείθομαι ἐμπαθῶς γυναικὶ συνοικεῖν, οὔτε ὡς ἐπὶ γενομένῃ τινὶ ἀτόπῳ πράξει, ὡρίσαμεν ἃ καὶ ὡρίσαμεν· ἀλλ' ἐπειδὴ ἐδιδάχθημεν παρὰ τοῦ ἀποστόλου, μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ σκάνδαλον· οἴδαμεν δὲ ὅτι τὸ παρά τινων ὑγιῶς γινόμενον, ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρξει· τούτου ἕνεκεν προσετάξαμεν ἐσόμενοι τῇ διαταγῇ τῶν ἁγίων πατέρων, χωρισθῆναι σε τοῦ γυναίου· τί οὖν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ, καὶ παλαιᾶς ἔχθρας μέμνησαι; τί δὲ ἡμᾶς

καταμέμφη ὡς εὐκόλους ἀκοὰς ἔχοντας, εἰς τὸ τὰς διαβολὰς προσίεσθαι, ἀλλ' οὐχὶ ἑαυτῷ μὴ ἀνεχομένῳ ἀποστῆναι τῆς πρὸς τὴν γυναῖκα συνηθείας; ἔκβαλε τοίνυν αὐτὴν ἀπὸ τοῦ οἴκου σου, καὶ κατάστησον αὐτὴν ἐν μοναστηρίῳ· ἔστω ἐκείνη μετὰ παρθένων, καὶ σὺ ὑπηρετοῦ ὑπὸ ἀνδρῶν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ δι' ἡμᾶς βλασφημῆται· ἕως ἂν ταῦτα ποιῇς, αἱ μυριάδες ἅσπερ συγγράφεις διὰ τῶν ἐπιστολῶν, οὐδὲν ὠφελήσουσί σε, ἀλλὰ τελευτήσεις ἀργῶν, καὶ δώσεις τῷ κυρίῳ λόγον τῆς σεαυτοῦ ἀργίας· ἐὰν δὲ τολμήσῃς μὴ διορθωσάμενος σεαυτὸν, ἀντέχεσθαι τῆς ἱερωσύνης, ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ· καὶ οἱ δεχόμενοί σε, ἐκκήρυκτοι κατὰ πᾶσαν ἐκκλησίαν γενήσονται.

Ἡ ιθ' διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι οἱ ἱερεῖς καὶ οἱ κληρικοὶ, μόναις συνοικείτωσαν μητράσιν αὐτῶν, καὶ θυγατράσι, καὶ ἀδελφαῖς, καὶ ταῖς πρὸ τούτου γαμηθείσαις αὐτοῖς· καὶ ἡ ια' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν λέγει· μὴ ἐχέτωσαν αἱ διάκονοι συνόντας αὐταῖς τινὰς ἐν τάξει θῆθεν ἀδελφῶν, ἢ συγγενῶν, ἢ τῶν καλουμένων ἀγαπητῶν, ἀλλ' ἢ καθ' ἑαυτὰς οἰκείτωσαν, ἢ τοῖς ἀληθέσιν αὐτῶν ἀδελφοῖς, ἢ θείοις, ἢ γονεῦσιν, ἢ παισὶν· εἰ δέ τις λέγοιτο συνεῖναι ἐν ἐσχηματισμένῃ ἀγαθῇ προσηγορίᾳ, πονηρᾷ δὲ ὑποψίᾳ, μὴ χειροτονείσθω, καὶ χειροτονηθεῖσα δὲ τοῦ σχήματος ἐκπιπτέτω, ὑπεύθυνος οὖσα σὺν αὐτῷ καὶ τούτῳ νόμῳ καὶ τοῖς λοιποῖς τοῖς τοὺς φθορέας κολάζουσιν· ἡ δὲ β' διάτ. τοῦ αὐτοῦ α' τίτ. τῶν νεαρῶν λέγει· μηδεὶς κληρικὸς γυναῖκα μὴ ἔχων, ἐπείσακτον ἔχετω ἐν τῷ οἴκῳ αὐτοῦ, πλὴν μητρὸς, καὶ θυγατρὸς, καὶ ἀδελφῆς, καὶ τῶν ἄλλως ἀνυπόπτων· εἰ δὲ μὴ ταῦτα παραφυλάξει, καὶ δὶς ὑπομνησθεὶς ὑπὸ τοῦ ἐπισκόπου ἢ τῶν συγ-

κληρικῶν, μὴ ἐκβάλῃ αὐτὴν, καὶ κατηγορηθεὶς ἀποδειχθῇ συναναστρεφόμενος ἀσέμνως αὐτῇ, καθαιρείσθω καὶ διδόσθω τῇ βουλῇ τῆς πόλεως ἧς ἦν κληρικὸς· ἐπίσκοπος δὲ καθόλου γυναικὶ συνὼν, καθαιρεῖται· οὔτε δὲ διακόνισσα συνοικεῖν δύναταί τινι δυναμένῳ σχεῖν ὑποψίαν ἄσεμνον· ὑπομιμνησκομένη δὲ παρὰ τοῦ ἐπισκόπου, ἐὰν αὐτὸν ἐκβαλεῖν ὑπέρθηται, στερεῖται τῆς ὑπηρεσίας καὶ τῶν διαρίων, καὶ ἐμβάλλεται μοναστηρίῳ, ὅλην τὴν ζωὴν αὐτῆς· καὶ τὰ πράγματα αὐτῆς, εἰ μὲν ἔχει παῖδας, ἀναλόγως εἰς αὐτὴν καὶ αὐτοὺς μερίζονται, καὶ τὸ ἁρμόζον αὐτῇ μέρος τὸ μοναστήριον ὑπὲρ ἀποτροφῆς αὐτῆς λαμβάνει· εἰ δὲ μὴ ἔχει παῖδας, ἡ ἐκκλησία ἐν ᾗ ἦν, καὶ τὸ μοναστήριον, ἐξίσης αὐτὰ μερίζονται.

ΚΕΦ. ΙΕ.

Πῶς δεῖ ἐπισκόπους, ἢ κληρικοὺς, ἢ ἐγκρατευομένους, εἰσιέναι πρὸς γυναῖκας.

Συνόδου Καρθαγέννης κανὼν λή.

Ὥστε κληρικοὺς ἢ ἐγκρατευομένους πρὸς παρθένους ἢ χήρας μὴ εἰσιέναι.

λή Κληρικοὶ ἢ ἐγκρατευόμενοι πρὸς χήρας ἢ παρθένους, εἰ μὴ κατ' ἐπιτροπὴν καὶ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου ἢ τῶν πρεσβυτέρων, μὴ εἰσίτωσαν· καὶ τοῦτο δὲ μὴ μόνοι ποιείτωσαν· ἀλλὰ μετὰ συγκληρικῶν, ἢ μετὰ τούτων μεθ' ὧν ὁ ἐπίσκοπος ἢ οἱ πρεσβύτεροι, μόνοι ἔχουσι τὴν εἴσοδον πρὸς τὰς τοιαυτοτρόπους γυναῖκας, ἢ ὅπου πάρεισι κληρικαὶ, ἢ ἔντιμοί τινες χριστιανοί.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν κβ'.

Ὅτι δεῖ μετ' εὐχαριστίας καὶ πάσης φειδοῦς καὶ εὐλαβείας μοναχοὺς εἰ συμβῇ μετὰ γυναικῶν ἐσθίειν.

Θεῷ μὲν τὸ πᾶν ἀνατίθεσθαι, καὶ οὐ τοῖς ἰδίοις θελήμασι δουλεῦσθαι, μέγα χρῆμα τυγχάνει· εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, ὁ θεῖος ἀπόστολος, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε, φησί· Χριστὸς οὖν ὁ θεὸς ἡμῶν ἐν τοῖς εὐαγγελίοις αὐτοῦ τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἐκκόπτειν προστέταχεν· οὐ γὰρ ἡ μοιχεία μόνον παρ' αὐτοῦ κολάζεται, ἀλλὰ καὶ ἡ κίνησις τοῦ λογισμοῦ πρὸς τὴν τῆς μοιχείας ἐγχείρησιν, κατακέκριται· λέγοντος αὐτοῦ, ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· ἔνθεν οὖν μαθητευθέντες, λογισμοὺς ὀφείλομεν καθαίρειν· εἰ γὰρ καὶ πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει, ὡς ἐξ ἀποστολικῆς φωνῆς διδασκόμεθα· ἐπάναγκες οὖν ἔστι παντὶ ἀνδρὶ διὰ τὸ ζῆν ἐσθίειν· καὶ εἷς μὲν ὁ βίος ἐστὶ, γάμου καὶ τέκνων καὶ λαϊκῆς διαθέσεως, ἀναμὶξ ἐσθίειν ἄνδρας καὶ γυναῖκας, τῶν ἀδιαβλήτων ἐστὶ· μόνον τῷ διδόντι τὴν τροφὴν, τὴν εὐχαριστίαν προσάγοντας, καὶ μὴ διά τινων θυμελικῶν ἐπιτηδευμάτων, εἴτουν σατανικῶν ᾀσμάτων, κιθαρῶν τε καὶ πορνικῶν λυγισμάτων· εἷς ἐπέρχεται προφητικὴ ἀρὰ σύτωσὶ λέγουσα, οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες, τὰ δὲ ἔργα κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι· καὶ εἰ πώποτε εἶεν τοιοῦτοι ἐν τοῖς χριστιανοῖς, διορθούσθωσαν· εἰ δὲ μή γε, κρατείτωσαν ἐπ' αὐτοῖς τὰ παρὰ τῶν πρὸ ἡμῶν κανονικῶν ἐκδεδόμενα· εἷς δὲ ὁ βίος ἐστὶν ἡσύχιος καὶ μονότροπος, ὡς συνταξαμένοις κυρίῳ τῷ θεῷ ἡμῶν ζυγὸν μονήρη ἆραι, καθίσαι τε κατὰ μόνας καὶ σιωπῆσαι, ἀλλὰ μὴν κβ'

καὶ τοῖς ἱερατικὸν ἐκλεξαμένοις βίον, οὐδόλως ἔξεστι κατιδίαν γυναιξὶ συνεσθίειν, εἰ μήπω μετά τινων θεοφόβων καὶ εὐλαβῶν ἀνδρῶν ἢ καὶ γυναικῶν· ἵνα καὶ αὐτὴ ἡ συνεστίασις, πρὸς κατόρθωσιν πνευματικὴν ἀπάγῃ· καὶ ἐπὶ συγγενῶν δὲ τὸ αὐτὸ πειείτωσαν· εἰ δὲ καὶ αὖθις ἐν ὁδοιπορίᾳ συμβῇ τὰ τῆς ἀναγκαίας χρείας μὴ ἐπιφέρεσθαι μοναχὸν ἢ καὶ ἱερατικὸν ἄνδρα, καὶ διὰ τὸ ἀναγκαῖον καταλῦσαι, βούλεται εἴτε ἐν πανδοχείῳ ἢ καὶ ἐν οἴκῳ τινὸς ἄδειαν ἔχειν αὐτὸν τοῦτο ποιεῖν, ὡς τῆς χρείας κατεπειγούσης.

ΚΕΦ. Ιϛ.

Περὶ τοῦ μὴ ὀφείλειν κληρικὸν συνεστιᾶσθαι τῷ δευτερογαμοῦντι ἢ παρανόμως γαμοῦντι.

Συνόδου Νεοκαισαρείας κανὼν ζ'.

ζ Πρεσβύτερον εἰς γάμον δευτερογαμοῦντος μὴ ἑστιᾶσθαι· ἐπεὶ μετάνοιαν αἰτοῦντος τοῦ δευτερογάμου, τίς ἔσται ὁ πρεσβύτερος ὁ διὰ τῆς ἑστιάσεως τοῖς γάμοις συγκατατιθέμενος;

Τιμοθέου κανὼν ιά'. – Ἐρώτησις.

ια' Ἐάν τις καλέσῃ κληρικὸν εἰς τὸ ζεῦξαι γάμον, ἀκούσῃ δὲ τὸν γάμον παράνομον, ἢ θειγαμίαν, ἢ γοῦν ἀδελφὴν τελευτησάσης γυναικὸς τὴν μέλλουσαν ζεύγνυσθαι, εἰ ὀφείλει ἀκολουθῆσαι ὁ κληρικὸς ἢ προσφορὰν ποιῆσαι.

Ἀπόκρισις.

Ἅπαξ εἶπον· ἐὰν ἀκούσῃ ὁ κληρικὸς τὸν γάμον παράνομον, οὐκ ὀφείλει κοινωνεῖν ἀλλοτρίαις ἁμαρτίαις, καθὼς φησὶν ὁ ἀπόστολος.

ΚΕΦ. ΙΖ.

Περὶ τοῦ μηδὲν τοὺς κληρικοὺς ποιεῖν, ἄνευ τῶν ἐπισκόπων αὐτῶν.

Ἀποστόλων κανὼν λϑ'.

Οἱ πρεσβύτεροι καὶ διάκονοι, ἄνευ γνώμης τοῦ ἐπισκόπου λϑ'
μηδὲν ἐπιτελείτωσαν· αὐτὸς γάρ ἐστι ὁ πεπιστευμένος τὸν λαὸν κυρίου, καὶ ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηϑησόμενος.

Ὅτι οὐ δεῖ ἐν ταῖς κώμαις etc. ut p. 58.

Συνόδου Χαλκηδόνος ἐκ τῆς τετάρτης πράξεως, ἔνϑα σκοπεῖται τὸ κεφάλαιον τὸ κατὰ τοὺς ἐπισκόπους τοὺς ἀπ' Αἰγύπτου, α'.

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς αὐγκλητος εἶπεν.

Ἐπειδὴ οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς Αἰγυπτίων, οὐχ' α'
ὡς μαχόμενοι τῇ καϑολικῇ πίστει, ὑπογράψαι τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος, ἐπὶ τοῦ παρόντος ἀνεβάλοντο, ἀλλὰ φάσκοντες ἔϑος εἶναι ἐν τῇ αἰγυπτιακῇ διοικήσει, παρὰ γνώμην καὶ διατύπωσιν τοῦ ἀρχιεπισκόπου μηδὲν τοιοῦτον ποιεῖν, καὶ ἀξιοῦσιν ἐνδοϑῆναι αὐτοῖς ἄχρι τῆς χειροτονίας τοῦ ἐσομένου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐπισκόπου, εὔλογον ἡμῖν ἐφάνη καὶ φιλάνϑρωπον, ὥστε αὐτοῖς μένουσιν ἐπὶ τοῦ ὁμοίου σχήματος ἐν τῇ βασιλευούσῃ πόλει, ἔνδοσιν παρασχεϑῆναι ἄχρις ἂν χειροτονηϑῇ ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρέων μεγαλοπόλεως.

ΚΕΦ. ΙΗ.

Περὶ τοῦ μὴ ποιεῖν κληρικοὺς ἐκ συμβολῆς συμπόσια.

Συνόδου Λαοδικείας κανὼν νέ.

νε' Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἐκ συμβολῆς συμπόσια ἐπιτελεῖν, ἀλλ' οὐδὲ λαϊκούς.

ΚΕΦ. ΙΘ.

Περὶ τῆς ἐκ χρόνου τάξεως τῶν ἐπισκόπων, καὶ πῶς οἱ κληρικοὶ καθέζονται καὶ τιμῶσιν ἀλλήλους.

Συνόδου Νικαίας κανὼν ιή.

ιη' Ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην σύνοδον, ὅτι ἔν τισι τόποις καὶ πόλεσι τοῖς πρεσβυτέρεις, τὴν εὐχαριστίαν οἱ διάκονοι διδόασιν etc. ut p. 134.

Συνόδου Λαοδικείας κανὼν κ' νς'.

κ' Ὅτι οὐ δεῖ διάκονον ἔμπροσθεν πρεσβυτέρου καθέζεσθαι, ἀλλὰ μετὰ κελεύσεως τοῦ πρεσβυτέρου καθέζεσθαι· ὁμοίως δὲ ἔχειν τιμὴν καὶ τοὺς διακόνους, ὑπὸ τῶν ὑπηρετῶν καὶ πάντων τῶν κληρικῶν.

νς' Ὅτι οὐ δεῖ πρεσβυτέρους, πρὸ τῆς εἰσόδου τοῦ ἐπισκόπου εἰσιέναι καὶ καθέζεσθαι ἐν τῷ βήματι, ἀλλὰ μετα τοῦ ἐπισκόπου εἰσιέναι, πλὴν εἰ μὴ ἀνωμαλοίη ἢ ἀποδημεῖ ὁ ἐπίσκοπος.

Συνόδου Καρθαγένης κανὼν πς' πθ'.

Περὶ τάξεως ἐπισκόπων, ὥστε τοὺς μεταγενεστέρως χειροτονηθέντας μὴ τολμᾷν ἑαυτοὺς προτιμᾷν τῶν προτέρων.

Βαλεντῖνος ἐπίσκοπος εἶπεν.

πς' Τὸ ἀγαθὸν τῆς ὑμετέρας ἀνεξικακίας ἐὰν ἐπιτρέπῃ, ἀκο-

λούθως ἐξηγήσομαι τὰ ἐν τῷ προλαβόντι χρόνῳ εἰς τὴν Καρχηδονίων ἐκκλησίαν πραχθέντα, καὶ ταῖς τῶν ἀδελφῶν ὑπογραφαῖς φανερῶς κυρωθέντα, καὶ ἡμᾶς ἔτι μὴν φυλάξοντας ὁμολογήσω· ἐκεῖνο τοίνυν ἐπιστάμεθα, ἀμίαντον ἀεὶ τὴν ἐκκλησιαστικὴν φυλάττεσθαι κατάστασιν οὕτως, ὡς μηδένα τῶν ἀδελφῶν τολμᾷν ἑαυτὸν προτιμᾷν προπετῶς τῶν πρὸ αὐτοῦ, ἀλλὰ καὶ ἃ ταῖς τῆς ἀγάπης τάξεσιν ἀεὶ παρεσχέθη τοῖς προτέροις, ἅπερ οἱ ἐπακολουθοῦντες χαριέντως κατεδέξαντο· ταύτην οὖν τὴν τάξιν κελεύσει ἡ ὑμετέρα ἁγιωσύνη κρειττόνως ταῖς ὑμετέραις διαλαλιαῖς βεβαιῶσαι.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Οὐκ ἐχρῆν μὲν ἡμᾶς ταῦτα ἐπαναλαμβάνειν, εἰ μὴ ἐὰν τυχὸν ἀκατανόητοι διάνοιαί τινων ἀνεφύησαν, αἱ πρὸς τοὺς ὅρους τούτους τὰς ἡμετέρας αἰσθήσεις ὀξύνουσαι· ἀλλ' ἐπειδὴ αὕτη κοινή ἐστιν αἰτία, ἣν νῦν ἐνεφάνισεν ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν, ὥστε ἕκαστον ἡμῶν ἐπιγινώσκειν τὴν παρὰ τοῦ Θεοῦ ψηφισθεῖσαν αὐτῷ τάξιν· καὶ ἵνα οἱ μεταγενέστεροι τοῖς προτέροις ἀναφέρωσι, καὶ μὴ τολμήσωσι παρὰ γνώμην τούτων τί ποτε πράττειν, διὰ τοῦτο λέγω καθὼς τὸν ἐμὸν ὑποτρέχει λογισμὸν, τοὺς καταφρονοῦντας τῶν πρὸ αὐτῶν, καί τινα ἀποτολμῶντας, κωλυτέους ἁρμοδίως εἶναι ἀπὸ πάσης τῆς συνόδου. πθ'

Σάγκτιππος (1) ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμηδίας εἶπεν.

Ἤκουσεν ἡ πάντων τῶν ἀδελφῶν παρουσία τὴν ἐξακολούθησιν τοῦ ἀδελφοῦ καὶ συνιερέως ἡμῶν Αὐρηλίου, τί πρὸς ταῦτα ἀποκρίνεται.

(1) Apud Beveregium Ξάγκτιππος.

Δατῖμος (1) ἐπίσκοπος εἶπεν.

Τὰ παρὰ τῆς ψήφου τῶν ἀρχαίων ὁρισθέντα, τῇ ἡμετέρᾳ συναινέσει ἐκδοθήσονται· ἵνα τὰ περιεχόμενα τοῖς πεπραγμένοις τῶν προτέρων συνόδων ἐν τῇ ἐν Καρχηδόνι ἐκκλησίᾳ, κατὰ τὴν ἡμετέραν συναίνεσιν πεπληρωμένως βέβαια παρὰ πᾶσι φυλαχθῶσιν.

Σύμπαντες οἱ ἐπίσκοποι εἶπον.

Ἡ τάξις αὕτη καὶ ἀπὸ τῶν πατέρων, καὶ ἀπὸ τῶν ἀρχαίων ἐφυλάχθη, καὶ ἀφ' ἡμῶν κατὰ συγχώρησιν Θεοῦ φυλαχθήσεται· σωζομένου ἔτι μὴν τοῦ δικαίου τῶν πρωτευόντων τῆς Νουμηδίας καὶ Μαυριτανίας, ἐκ τοῦ χαρτοθεσίου καὶ ματρικίου τῆς Νουμηδίας· ἤρεσε πᾶσι τοῖς ἐπισκόποις τοῖς ἐν ταύτῃ τῇ συνόδῳ ὑπογράψασιν, ἵνα τὸ ματρίκιον καὶ ἀρχέτυπον τῆς Νουμηδίας, καὶ εἰς τὴν πρώτην καθέδραν ᾖ, καὶ εἰς τὴν μητρόπολιν Κωνσταντίναν.

Περὶ ἀπολυτικῶν ὥςε τοὺς χειροτονουμένους ἐπισκόπους, ἀπὸ τῶν χειροτονούντων αὐτοὺς ἐπιστολὰς λαμβάνειν, ἐν αἷς ἥ τε ἡμέρα καὶ ὁ ὕπατος προφέρεται.

Ἔπειτα ἤρεσεν· ἵνα οἵτινες ὁπότε μετὰ ταῦτα χειροτονῶνται, ἀνὰ τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, γράμματα λάβωσι παρὰ τῶν χειροτονούντων αὐτοὺς, τῇ χειρὶ αὐτῶν ὑπογεγραμμένα, περιέχοντα τὸν ὕπατον καὶ τὴν ἡμέραν· ὥστε μηδεμίαν ἀμφισβήτησιν περὶ ὑστέρων ἢ προτέρων ἀναφυῆναι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ζ'.

ζ Ἐπειδὴ μεμαθήκαμεν ἔν τισι τῶν ἐκκλησιῶν, διακόνους τυγχάνειν ὀφφίκια ἐκκλησιαστικὰ ἔχοντας, ἐντεῦθεν τέ τινας αὐτῶν αὐθαδείᾳ καὶ αὐτονομίᾳ κεχρημένους, πρὸ τῶν

(1) Apud Beveregium Διατίμιος.

πρεσβυτέρων καθέζεσθαι, ὁρίζομεν ὥστε τὸν διάκονον, κἂν ἐν ἀξιώματι, τουτέστιν ἐν ὀφφικίῳ τῷ οἱῳδήποτε ἐκκλησιαστικῷ τυγχάνοι, τὸν τοιοῦτον μὴ πρὸ τοῦ πρεσβυτέρου καθέζεσθαι, ἐκτὸς εἰ μὴ τὸ πρόσωπον ἐπέχων τοῦ οἰκείου πατριάρχου ἢ μητροπολίτου, ἐν ἑτέρᾳ πόλει παραγένηται, ἐπί τινι κεφαλαίῳ· τότε γὰρ ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν, τιμηθήσεται· εἰ δέ τις τοιοῦτο τολμήσει τυραννικῷ χρώμενος θράσει διαπράξασθαι, ὁ τοιοῦτος ἐκ τοῦ οἰκείου καταβιβασθεὶς βαθμοῦ, ἔσχατος πάντων γενέσθω τοῦ ἐν ᾧπερ καταλέγεται τάγματος ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ· τοῦ κυρίου ἡμῖν παραινοῦντος, μὴ χαίρειν ταῖς πρωτοκλισίαις, κατὰ τὴν ἐν τῷ ἁγίῳ εὐαγγελιστῇ Λουκᾷ ὡς ἐξ αὐτοῦ κυρίου ἡμῶν καὶ θεοῦ κειμένην διδασκαλίαν· ἔλεγε γὰρ πρὸς τοὺς κεκλημένους παραβολὴν ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο· λέγων πρὸς αὐτούς, ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μή ποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ, καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι, δὸς τούτῳ τόπον, καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν· ἀλλ' ὅταν κληθῇς, ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον· ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς εἴπῃ σοι, φίλε προσανάβηθι ἀνώτερον· καὶ τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται· τὸ δὲ αὐτὸ φυλαχθήσεται καὶ ἐπὶ τῶν λοιπῶν ἱερατικῶν ταγμάτων· ἐπειδὴ τῶν κατὰ κόσμον ἀξιωμάτων κρείττονα τὰ πνευματικὰ ἐπιστάμεθα.

ΤΙΤΛΟΣ Θ.

ΠΕΡΙ ΑΜΑΡΤΗΜΑΤΩΝ ΚΑΙ ΔΙΚΩΝ ΕΠΙΣΚΟΠΩΝ, ΚΑΙ ΚΛΗΡΙΚΩΝ, ΚΑΙ ΑΦΟΡΙΣΜΟΥ, ΚΑΙ ΚΑΘΑΙΡΕΣΕΩΣ, ΚΑΙ ΜΕΤΑΝΟΙΑΣ, ΚΑΙ ΠΟΙΑ ΑΜΑΡΤΗΜΑΤΑ Η ΧΕΙΡΟΘΕΣΙΑ ΛΥΕΙ.

TITULUS IX.

DE PECCATIS ET IUDICIIS EPISCOPORUM ATQUE CLERICORUM, ET DE EXCOMMUNICATIONE AC DEPOSITIONE, ET DE PAENITENTIA, ET QUAENAM PECCATA SOLVANTUR MANUUM IMPOSITIONE.

ΚΕΦ. Α.

Τίνες καὶ παρὰ τίσι κατηγορεῖσιν ἐπισκόπων ἢ κληρικῶν.

Ἀποστόλων κανὼν οδ'.

οδ' Ἐπίσκοπον κατηγορηθέντα ἐπί τινι παρὰ ἀξιοπίστων ἀνθρώπων, καλεῖσθαι αὐτὸν ἀναγκαῖον ὑπὸ τῶν ἐπισκόπων· κἂν μὲν ἀπαντήσοι καὶ ὁμολογήσοι, ἐλεγχθέντος αὐτοῦ, ὁριζέσθω τὸ ἐπιτίμιον· ἐὰν δὲ καλούμενος μὴ ὑπακούσοι, καλείσθω καὶ δεύτερον, ἀποστελλομένων ἐπ' αὐτὸν δύο ἐπισκόπων· ἐὰν δὲ καὶ οὕτως μὴ ἐπακούσει, καλείσθω καὶ τρίτον, δύο πάλιν ἐπισκόπων ἀποστελλομένων πρὸς αὐτόν· ἐὰν δὲ καὶ οὕτως καταφρονήσας μὴ ἀπαντήσοι, ἡ σύνοδος ἀποφαινέσθω κατ' αὐτοῦ τὰ δοκοῦντα, ὅπως μὴ δόξῃ κερδαίνειν φυγοδικῶν.

Συνόδου Κωνσταντινουπόλεως κανὼν ς'.

ς' Ἐπειδὴ πολλοὶ τὴν ἐκκλησιαστικὴν εὐταξίαν συγχεῖν καὶ ἀνατρέπειν βουλόμενοι, φιλέχθρως καὶ συκοφαντικῶς αἰτίας

τινὰς κατὰ τῶν οἰκονομούντων τὰς ἐκκλησίας ὀρθοδόξων ἐπισκόπων συμπλάσσουσιν, οὐδὲν ἕτερον ἢ χραίνειν τὰς τῶν ἱερέων ὑπολήψεις, καὶ ταραχὰς τῶν εἰρηνευόντων λαῶν κατασκευάζειν ἐπιχειροῦντες, τούτου ἕνεκεν ἤρεσε τῇ ἁγίᾳ συνόδῳ τῶν ἐν Κωνσταντινουπόλει συνδραμόντων ἐπισκόπων, μὴ ἀνεξετάστως προσίεσθαι τοὺς κατηγόρους, μὴ δὲ πᾶσιν ἐπιτρέπεσθαι τὰς κατηγορίας ποιεῖσθαι κατὰ τῶν οἰκονομούντων τὰς ἐκκλησίας, μήτε μὴν πάντας ἀποκλείειν· ἀλλ' εἰ μέν τις οἰκείαν τινὰ μέμψιν, τουτέστιν ἰδιωτικὴν, ἐπαγάγοι τῷ ἐπισκόπῳ, ὡς πλεονεκτηθεὶς, ἢ ἄλλό τι παρὰ τὸ δίκαιον παρ' αὐτοῦ πεπονθὼς, ἐπὶ τῶν τοιούτων κατηγοριῶν, μὴ ἐξετάζεσθαι, μήτε πρόσωπον τοῦ κατηγόρου, μήτε τὴν θρησκείαν· χρὴ γὰρ παντὶ τρόπῳ, τότε συνειδὸς τοῦ ἐπισκόπου ἐλεύθερον εἶναι, καὶ τὸν ἀδικεῖσθαι λέγοντα οἵας ἂν ᾖ θρησκείας, τῶν δικαίων τυγχάνειν· εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἐπιφερόμενον ἔγκλημα τῷ ἐπισκόπῳ, τότε δοκιμάζεσθαι χρὴ τῶν κατηγορούντων τὰ πρόσωπα, ἵνα πρῶτον μὲν αἱρετικῶς μὴ ἐξῇ κατηγορίας κατὰ τῶν ὀρθοδόξων ἐπισκόπων ὑπὲρ ἐκκλησιαστικῶν πραγμάτων ποιεῖσθαι· αἱρετικοὺς δὲ λέγομεν τούς τε πάλαι τῆς ἐκκλησίας ἀποκηρυχθέντας, καὶ τοὺς μετὰ ταῦτα ὑφ' ἡμῶν ἀναθεματισθέντας· πρὸς δὲ τούτοις, καὶ τοὺς τὴν πίστιν μὲν τὴν ὑγιῆ προσποιουμένους ὁμολογεῖν, ἀποσχίσαντας δὲ καὶ ἀντισυνάγοντας τοῖς κανονικοῖς ἡμῶν ἐπισκόποις· ἔπειτα δὲ καὶ εἴ τινες τῶν ἀπὸ τῆς ἐκκλησίας ἐπὶ αἰτίαις τισὶ προκατεγνωσμένοι εἶεν καὶ ἀποβεβλημένοι, ἢ ἀκοινώνητοι, εἴτε ἀπὸ κλήρου, εἴτε ἀπὸ λαϊκοῦ τάγματος, μὴ δὲ τούτοις ἐξεῖναι κατηγορεῖν ἐπισκόπου, πρὶν ἂν τὸ οἰκεῖον ἔγκλημα πρότερον ἀποδύσωνται· ὁμοίως δὲ καὶ τοὺς ὑπὸ κατηγορίαν προλαβοῦσαν ὄντας, μὴ πρότερον εἶναι δε-

κτους εἰς ἐπισκόπου κατηγορίαν ἢ ἑτέρων κληρικῶν, πρὶν ἂν ἀθῴους ἑαυτοὺς τῶν ἐπαχθέντων αὐτοῖς ἀποδείξωσιν ἐγκλημάτων· εἰ μέν τοι τινες, μήτε αἱρετικοὶ, μήτε ἀκοινώτητοι εἶεν, μήτε κατεγνωσμένοι, ἢ προκατηγορημένοι ἐπί τισι πλημμελήμασι, λέγειν δὲ ἔχειν τινὰ ἐκκλησιαστικὴν κατὰ τοῦ ἐπισκόπου κατηγορίαν, τούτοις κελεύει ἡ ἁγία σύνοδος πρῶτον μὲν ἐπὶ τῶν τῆς ἐπαρχίας πάντων ἐπισκόπων ἐνίστασθαι τὰς κατηγορίας, καὶ ἐπ' αὐτῶν ἐλέγχειν τὰ ἐγκλήματα τοῦ ἐν αἰτίαις τισὶν ἐπισκόπου· εἰ δὲ συμβαίη ἀδυνατῆσαι τοὺς ἐπαρχεώτας πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων τῷ ἐπισκόπῳ, τότε αὐτοὺς προσιέναι μείζοσι συνέδῳ τῶν τῆς διοικήσεως ἐκείνης ἐπισκόπων ὑπὲρ τῆς αἰτίας ταύτης συγκαλουμένων· καὶ μὴ πρῶτον ἐνίστασθαι τὴν κατηγορίαν, πρὶν ἢ ἐγγράφως αὐτοὺς τὸν ἴσον αὐτοῖς ὑποτιννύσασθαι κίνδυνον, εἴπερ ἐν τῇ τῶν πραγμάτων ἐξετάσει σοκοφαντοῦντες τὸν κατηγορούμενον ἐπίσκοπον ἐλεγχθεῖεν· εἰ δέ τις καταφρονήσας τῶν κατὰ τὰ προδηλωθέντα δεδογμένων, τολμήσειεν ἢ βασιλικὰς ἐνοχλεῖν ἀκοὰς, ἢ κοσμικῶν ἀρχόντων δικαστήρια, ἢ οἰκουμενικὴν σύνοδον ταράσσειν, πάντας ἀτιμάσας τοὺς τῆς διοικήσεως ἐπισκόπους, τὸν τοιοῦτον εἰς κατηγορίαν τὸ παράπαν μὴ εἶναι δεκτὸν, ὡς καθυβρίσαντα τοὺς κανόνας, καὶ τὴν ἐκκλησιαστικὴν λυμηνάμενον εὐταξίαν.

Συνόδου Χαλκηδόνος κανὼν θ' κά.

θ' Εἴ τις κληρικὸς πρὸς κληρικὸν πρᾶγμα ἔχει, μὴ ἐγκαταλιμπανέτω τὸν οἰκεῖον ἐπίσκοπον, καὶ ἐπὶ κοσμικὰ δικαστήρια κατατρεχέτω, ἀλλὰ πρότερον τὴν ὑπόθεσιν γυμναζέτω παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ· ἢ γοῦν γνώμῃ αὐτοῦ τοῦ ἐπισκόπου, παρ' οἷς ἂν τοὺς ἀμφότερα μέρη βούλωνται, τὰ τῆς δίκης συγκροτεῖσθαι· εἰ δέ τις παρὰ ταῦτα ποιήσει, κανο-

νικοῖς ἐπιτιμίοις ὑποκείσθω· εἰ δὲ καὶ κληρικὸς πρᾶγμα ἔχει πρὸς τὸν ἴδιον ἢ καὶ πρὸς ἕτερον ἐπίσκοπον, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας δικαζέσθω· εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς ἐπαρχίας μητροπολίτην ἐπίσκοπος ἢ κληρικὸς ἀμφισβητοίη, καταλαμβανέτω ἢ τὸν ἔξαρχον τῆς διοικήσεως, ἢ τὸν τῆς βασιλευούσης Κωνσταντινουπόλεως θρόνον, καὶ ἐπ' αὐτῷ δικαζέσθω.

Κληρικοὺς ἢ λαϊκοὺς, κατηγορεῖντας ἐπισκόπων ἢ κληρικῶν, ἁπλῶς καὶ ἀδοκιμάστως μὴ προσδέχεσθαι εἰς κατηγορίαν, εἰ μὴ πρότερον ἐξετασθείη αὐτῶν ἡ ὑπόληψις. κα'

Συνόδου Καρθαγέννης κανὼν ἡ' ια' ιβ' ιδ' ιε' ιθ' κ' λ' ρκη' ρκθ' ρλ'.

Περὶ τῶν τοὺς πατέρας αἰτιωμένων, καὶ ὥστε μηδενὶ διαβεβλημένῳ ἐξεῖναι, ἐπισκόπου κατηγορεῖν.

Νουμήδιος ἐπίσκοπος μαξουλιτάνος εἶπεν.

Εἰσὶ πολλοὶ οὐκ ἀγαθῆς ἀναστροφῆς, οἵ τινες ἡγοῦνται τοὺς πατέρας καὶ ἐπισκόπους ὡς ἔτυχεν ὀφείλειν ἐνάγεσθαι· τοὺς τοιούτους δεῖ προσδέχεσθαι, ἢ μή; κβ'

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Ἀρέσκει τοίνυν τῇ ἀγάπῃ ὑμῶν, τοὺς εἴς τινα μύσῃ ἐμπεπλεγμένους, κατὰ πατέρων φωνὴν κατηγορίας ἀποτίθεσθαι;

Ἐκ πάντων τῶν ἐπισκόπων ἐλέχθη.

Ἐὰν διαβέβληται ὁ τοιοῦτος, μὴ προσδεχθῇ.

Ἐάν τις πρεσβύτερος κατὰ τοῦ ἰδίου ἐπισκόπου φυσιωθεὶς σχίσμα ποιῇ, ἀνάθεμα ἔστω.

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη.

Ἐάν τις πρεσβύτερος, ἐν τῇ διαγωγῇ αὐτοῦ καταγνωσθῇ, ὀφείλει ὁ τοιοῦτος τοῖς γειτνιῶσιν ἐπισκόποις προσαγγεῖλαι, ἵνα αὐτοὶ τοῦ πράγματος ἀκροάσωνται, καὶ δι' αὐτῶν τῷ ἰδίῳ ἐπισκόπῳ καταλλαγῇ· τοῦτο δὲ ἐὰν μὴ ποιήσῃ, κγ'

ἀλλ' ὅπερ ἀπείη ὑπερηφία φυσιούμενος, ἐκ τῆς τοῦ ἰδίου ἐπισκόπου κοινωνίας ἑαυτὸν χωρίσῃ, καὶ παρὰ μίαν μετά τινων σχίσμα ποιῶν, ἁγίασμα τῷ Θεῷ προσενέγκῃ, ὁ τοιοῦτος ἀνάθεμα λογισθήτω, καὶ τὸν ἴδιον τόπον ἀπολεσάτω· σκοπουμένου μή ποτε κατὰ τοῦ ἐπισκόπου μέμψιν ἔχοι δικαίαν.

Ἐάν τις ἐπίσκοπος χωρὶς καιροῦ συνόδου, ἐγκλήματι περιβληθῇ, ὁ τοιοῦτος ἀκουσθῇ ἀπὸ ιβ' ἐπισκόπων.

Φίλιξ ἐπίσκοπος εἶπεν.

ιβ' Ἀναφέρω (1) κατὰ τὰ ὁρισθέντα ἐκ τῶν παλαιῶν συνόδων, ἵνα ἐάν τις ἐπίσκοπος ὅπερ ἀπείη, ἔν τινι ἐγκλήματι περιπέσῃ, καὶ γένηται πολλὴ ἀνάγκη τοῦ μὴ δύνασθαι πολλοὺς συνελθεῖν, διὰ τὸ μὴ ἀπομεῖναι αὐτὸν ἐν τῷ ἐγκλήματι, ὑπὸ ιβ' ἐπισκόπων ἀκουσθῆ, καὶ ὁ πρεσβύτερος ὑπὸ ἓξ ἐπισκόπων καὶ τοῦ ἰδίου, καὶ ὁ διάκονος ὑπὸ τριῶν.

Ὥστε ἀπὸ Τριπόλεως ἕνα ἐπίσκοπον εἰς τοποτηρησίαν ἐλθεῖν, καὶ ὥστε τὸν πρεσβύτερον ἐκεῖσε ἀπὸ πέντε ἀκούεσθαι ἐπισκόπων.

ιδ' Ὁμοίως ἤρεσεν, ἀπὸ Τριπόλεως διὰ τὴν τῆς χώρας ἔνδειαν ἕνα ἐπίσκοπον εἰς τοποτηρησίαν ἐλθεῖν· καὶ ἵνα ὁ πρεσβύτερος ἐκεῖσε, ἀπὸ πέντε ἀκούηται ἐπισκόπων· καὶ ὁ διάκονος, ἀπὸ τριῶν, ὡς ἀνωτέρω εἴρηται, τοῦ ἰδίου αὐτοῦ ὀηλονότι ἐπισκόπου προκαθημένου.

Περὶ διαφόρων τάξεων τῇ ἐκκλησίᾳ δουλευουσῶν· ὥστε ἐάν τις εἰς ἐγκληματικὸν πρᾶγμα περιπέσῃ, καὶ παραιτήσηται τὸ ἐκκλησιαστικὸν δικαστήριον, ὀφείλειν τὸν τοιοῦτον κινδυνεύειν· καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων κοσμικοῖς θεωρίοις μὴ προσιέναι.

ιε' Ὁμοίως ἤρεσεν, ἵνα ὁτιοσδήποτε τῶν ἐπισκόπων, ἢ πρεσ-

(1) Apud Beveregium ἀναφερέτω.

βυτέρων, ἢ διακόνων, ἢ κληρικῶν, πράγματος αὐτῷ ἐγκληματικοῦ ἢ πολιτικοῦ ἐν τῇ ἐκκλησίᾳ κινουμένου, ἐὰν παραιτούμενος τὸ ἐκκλησιαστικὸν δικαστήριον, δημοσίοις θελήσῃ καθαρθῆναι δικαστηρίοις, κἂν ὑπὲρ αὐτοῦ ἡ ψῆφος ἐκφωνηθῇ, ὅμως τὸν ἴδιον τόπον ἀπολέσει· καὶ τοῦτο μὲν ἐπὶ τοῦ ἐγκληματικοῦ· ἐπὶ δὲ τοῦ πολιτικοῦ, ἀπολέσει τὸ εἰς ὃ ἐνίκησεν, ἐὰν τὸν ἴδιον τόπον θελήσῃ κατέχειν· καὶ τοῦτο γε μὴν ἤρεσεν, ὥστε ἐὰν ἀπὸ οἱωνθήποτε δικαστῶν ἐκκλησιαστικῶν ἐπὶ ἄλλους δικαστὰς ἐκκλησιαστικοὺς ἔχοντας μείζονα τὴν αὐθέντιαν, ἔκκλητος γένηται, μηδὲν τούτους βλάπτειν ὧν ἡ ψῆφος λύεται· ἐὰν δὲ ἐλεγχθῆναι μὴ δυνηθῶσιν, ἢ κατὰ ἔχθραν, ἢ κατὰ προσπάθειαν δεδικακέναι, ἢ τινὶ χάριτι ὑποφθαρῆναι· ἐὰν δὲ κατὰ συναίνεσιν τῶν μερῶν ἐπιλεγέντες ὥσι δικασταὶ, εἰ καὶ ὀλιγώτεροι ἔσονται τῶν ὁρισθέντων, μὴ ἐξεῖναι ἐκκαλεῖσθαι· καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων, θεώρια κοσμικὰ μὴ ἐκτελεῖν, μὴ δὲ θεωρεῖν· τοῦτο δὲ καὶ πᾶσι τοῖς χριστιανοῖς ἀεὶ κεκήρυκται, ὥστε τούτων ἀπέχεσθαι, καὶ ὅπου βλασφημίαι εἰσὶ, μὴ προσιέναι.

Ὥστε ἐπισκόπου κατηγορουμένου, πρὸς τὸν πρωτεύοντα τῆς αὐτοῦ ἐπαρχίας τὸ πρᾶγμα ἀνενεχθῆναι.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Ἐάν τις τῶν ἐπισκόπων κατηγορῆται, παρὰ τοῖς τῆς αὐ- ιθ'
τῆς χώρας πρωτεύουσιν ὁ κατήγορος ἀναγάγῃ τὸ πρᾶγμα· καὶ μὴ δὲ ἀπὸ τῆς κοινωνίας κωλυθῇ ὁ κατηγορούμενος, εἰ μὴ ὅ ἂν πρὸς ἀπολογίαν ἐν τῷ δικαστηρίῳ τῶν ἐπιλεγέντων δικάζειν γράμμασι προσκληθεὶς, τῇ ὡρισμένῃ ἡμέρᾳ οὐδαμῶς ἀπαντήσοι, τουτέστιν ἐντὸς προθεσμίας μηνὸς, ἀφ' ἧς ἡμέρας φανείη τὰ γράμματα δεξάμενος· ἐὰν δὲ ἀληθεῖς τινὰς καὶ ἀναγκαστικὰς αἰτίας ἀποδείξῃ, τὸν αὐτὸν κωλυ-

σάσας ἀπαντῆσαι πρὸς ἀπολογίαν τῶν κατ' αὐτοῦ προτεθέντων, ἐντὸς ἑτέρου μηνὸς ἀκεραίαν ἐχέτω εὐχέρειαν· μετὰ δὲ τὸν δεύτερον μῆνα, μὴ κοινωνήσῃ ἕως οὗ καθαρὸς ἀποδειχθείη· εἰ δὲ πρὸς σύμπασαν τὴν ἐτησίαν σύνοδον ἀπαντῆσαι μὴ βουληθείη, ἵνα κἂν ἐκεῖ τὸ πρᾶγμα αὐτοῦ περαιωθῇ, αὐτὸς καθ' ἑαυτοῦ τῆς καταδίκης τὴν ψῆφον ἐκπεφωνηκέναι κριθήσεται· ἐν δὲ τῷ καιρῷ ᾧ οὐ κοινωνεῖ, μὴ δὲ ἐν τῇ ἰδίᾳ ἐκκλησίᾳ, μὴ δὲ ἐν παροικίᾳ κοινωνήσῃ· ὁ δὲ τούτου κατήγορος, ἐὰν μηδαμοῦ ἀπολειφθείη, ἐν αἷς ἡμέραις γυμνάζεται τὰ τοῦ πράγματος, μηδαμῶς κωλυθῇ ἀπὸ τῆς κοινωνίας· ἐὰν δέ ποτε ἐλλείψῃ ἑαυτὸν ὑπασύρας, ἀποκαθισταμένου τῇ κοινωνίᾳ τοῦ ἐπισκόπου, αὐτὸς ἀπὸ τῆς κοινωνίας ἐκβληθῇ ὁ κατήγορος· οὕτως μέν τοι ὡς μὴ καὶ τὴν εὐχέρειαν αὐτῷ ἀφαιρεῖσθαι τῆς κατηγορίας τοῦ πράγματος, ἐὰν δυνηθείη ἀποδεῖξαι κατὰ τὴν προθεσμίαν, οὐχὶ μὴ τεθεληκέναι, ἀλλὰ μὴ δεδυνῆσθαι ἀπαντῆσαι· ἐκείνου δήλου ὄντος, ὡς ἐν τῷ κινεῖσθαι τὰ τοῦ πράγματος ἐν τῷ τῶν ἐπισκόπων δικαστηρίῳ, ἐὰν διαβέβληται τὸ πρόσωπον τοῦ κατηγόρου, μὴ προσδεχθῇ εἰς κατηγορίαν, εἰ μὴ δ' ἂν ὑπὲρ ἰδίου πράγματος, μὴ μέν τοι περὶ ἐκκλησιαστικοῦ θελήσῃ ἐπιβαλέσθαι.

Περὶ πρεσβυτέρων καὶ κληρικῶν κατηγορουμένων.

κ' Ἐὰν δὲ πρεσβύτερος ἢ διάκονος κατηγορηθῶσι, προσζευγνυμένου τοῦ νομίμου ἀριθμοῦ τῶν ἐκ τῆς πλησιαζούσης τοποθεσίας αἱρετῶν ἐπισκόπων, οὓς οἱ κατηγορούμενοι αἰτήσονται, τουτέστιν ἐπ' ὀνόματι τοῦ πρεσβυτέρου ἓξ, καὶ τοῦ διακόνου τριῶν, σὺν τούτων αὐτὸς ὁ ἴδιος τῶν κατηγορουμένων ἐπίσκοπος, τὰς αἰτίας αὐτῶν ἐξετάσει· τοῦ αὐτοῦ τῶν ἡμερῶν καὶ ὑπερθέσεων καὶ ἐξετάσεων καὶ προσώπων, με-

ταξὺ τῶν κατηγορούντων, καὶ κατηγορουμένων τύπου φυλαττομένου· τῶν δὲ λοιπῶν κληρικῶν τὰς αἰτίας, καὶ μόνος ὁ ἐντόπιος ἐπίσκοπος διαγνῷ καὶ περατώσει.

Περὶ κατηγοροῦντος καὶ κατηγορουμένου.

Ὁμοίως ἤρεσεν, ἵνα ὁ κατηγορούμενος ἢ ὁ κατηγορῶν, ἐν τῷ τόπῳ ὅθεν ἔστιν ὁ κατηγορούμενος, ἐὰν φοβῆταί τινα βίαν προπετοῦς πολυπληθείας, τόπον ἑαυτῷ ἐπιλέξηται ἔγγιστον, ἐν ᾧ οὐκ ἔστιν αὐτῷ δυσχέρεια μάρτυρας προσομίσαι, ἔνθα τὸ πρᾶγμα αὐτοῦ περατοῦται.

Ὅτι οἱ ἀπὸ κοινωνίας ὄντες, εἰς κατηγορίαν οὐκ ὀφείλουσι προσδεχθῆναι.

Ἤρεσε τοίνυν πᾶσιν, ἐπειδὴ τοῖς ἀνωτέροις τῶν συνόδων ρκη' ψηφίσμασι περὶ προσώπων κληρικῶν τῶν μὴ ὀφειλόντων εἰς κατηγορίαν προσδεχθῆναι ὡρίσθη, καὶ οὐκ ἐπεξειργάσθη, ποῖα πρόσωπα μὴ προσδεχθῶσι, διὰ τοῦτο ὁρίζομεν, τοῦτον ὀρθῶς πρὸς κατηγορίαν μὴ εἰσδέχεσθαι, ὅς τις μετὰ τὸ ἀπὸ κοινωνίας γενέσθαι ἐν αὐτῷ ἔτι τῷ ἀφορισμῷ ὑπάρχει, εἴτε κληρικὸς εἴη, εἴτε λαϊκὸς ὁ κατηγορῆσαι βουλόμενος.

Ὅτι δοῦλοι καὶ ἀπελεύθεροι καὶ πάντα τὰ ἠτιμωμένα πρόσωπα, κατηγορεῖν οὐκ ὀφείλουσιν.

Ὁμοίως ἤρεσεν, ἵνα πάντες οἱ δοῦλοι καὶ οἱ ἴδιοι ἀπε- ρκθ' λεύθεροι, εἰς κατηγορίαν μὴ προσδεχθῶσι· καὶ πάντες οἷς προκατηγορητέα ἐγκλήματα, ἃ καὶ εἰ δημόσιοι νόμοι οὐ προσδέχονται· καὶ πάντες ἔτι μὴν οἱ τῆς ἀτιμίας τοῖς σπίλοις ἐῤῥαντισμένοι, τουτέστι μῖμοι καὶ ὅσα ταῖς αἰσχρότησιν ὑποβέβληνται πρόσωπα, αἱρετικοὶ ἔτι μὴν, εἴτε Ἕλληνες, εἴτε ἰουδαῖοι, ὅμως πᾶσιν οἷς ἡ τοιαύτη κατηγορία ἀρνεῖται ἐν ταῖς ἰδίαις αἰτίαις, τὴν τοῦ κατηγορεῖν ἄδειαν μὴ ὀφείλειν ἀρνεῖσθαι.

Ἵνα ὁ περὶ ἑνὸς ἐγκλήματος ἀποδεῖξαι μὴ δυνάμενος, πρὸς ἕτερον μὴ εἰσδεχθῇ.

ρλ' Ὁμοίως ἤρεσεν, ἵνα ὁσακισδήποτε κληρικοῖς ἀπὸ κατηγόρων πολλὰ ἐγκλήματα ὑποβάλλονται, καὶ ἓν ἐξ αὐτῶν περὶ οὗ πρῶτον ἐπράχθη, ἀποδειχθῆναι οὐκ ἠδυνήθη, πρὸς τὰ λοιπὰ μετὰ ταῦτα μὴ προσδεχθῶσιν.

Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. α'.

Ἕκαστα τῶν καθ' ἡμᾶς πραγμάτων etc. ut p. 42.

Γενικῶς περὶ τῶν κωλυομένων κατηγορεῖν οἱουδήποτε προσώπου ἐπὶ δημοσίῳ ἐγκλήματι, διαλαμβάνει βιβλίον Θ' τοῦ κώδ. τίτ. α', καὶ βιβλ. μή' τῶν δίγ. τίτ. β'· περὶ δὲ ἐγκληματικῶν καὶ κανονικῶν καὶ χρηματικῶν ζητήσεων εἴρηται ἐν τῷ κώδ. καὶ ταῖς νεαραῖς· φησὶ γὰρ βιβλ. α' τίτ. β' διάτ. ς' ὅτι τὰς ἀναφυομένας κανονικὰς ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ, οὐ δεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τῆς αὐτοῦ συνόδου, ἥ τις ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης· καὶ τίτ. γ' διάτ. κβ', ὅτι ὁ κατὰ συκοφάντου ἐπὶ παραστάσει παρὰ δικαστῇ προσφόρῳ αἰτιώμενος ἐπίσκοπον, λ' δίδωσι λίτρας· διάτ. κέ τοῦ αὐτοῦ τίτ. ὅτι οἱ κληρικοὶ Κωνσταντινουπόλεως τῶν ἐναγόντων μὴ βουλομένων αὐτοῖς ἐνάγειν παρὰ τῷ πατριάρχῃ, παρὰ μόνοις τοῖς ἐπάρχοις δικάζονται, ἐνάγοντες καὶ ἐναγόμενοι χρηματικῶς καὶ ἐγκληματικῶς ὑπὲρ ἰδικῶν καὶ ἐκκλησιαστικῶν· καὶ οἱ μὲν κληρικοὶ, τὸν οἰκονόμον ἢ τὸν ἐκκλησιέκδικον διδόασιν ἐγγυητὴν, καὶ οὐχ' ἕτερον ἕως ν' λιτρῶν· καὶ ἐὰν ὑπερβαίνῃ τὸ πρᾶγμα ὁμολογίαν ἀνώμοτον ἐπὶ τῷ ὑπερβαίνοντι ποσῷ ποιοῦσι· καὶ οἱ νόμοι γὰρ καὶ οἱ κανόνες κωλύουσι κληρικὸν ὀμνύναι· ὁ δὲ οἰκονόμος ἐναγόμενος οὐ δίδωσιν ἐγγυητὴν, καὶ αὐτὸς δὲ καὶ οἱ κληρικοὶ, δύο

νομίσματα ὑπὲρ ὑπομνήσεως καὶ προβολῆς ἐντολέως διδόασι, καὶ τὰ λοιπὰ δαπανήματα φειδωλότερον ποιοῦσι· καὶ ἡ λβ΄ διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι οἱ ἐπίσκοποι, καὶ οἱ κληρικοὶ καὶ οἱ μοναχοὶ οὐ γίνονται διάξιμοι, ἀλλὰ παρὰ τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν αὐτῶν ἐνάγονται· ἐν Κωνσταντινουπόλει δὲ εὑρισκόμενοι, παρὰ μόνοις τοῖς ἐπάρχοις ἐνάγονται, ἔνθα καὶ ἡ τιμὴ αὐτοῖς φυλάττεται, καὶ συνηγόρους λαμβάνουσιν· ἐν δὲ ταῖς ἐπαρχίαις ὑπὲρ ἰδίων πραγμάτων ἐναγόμενοι, μόνους τοὺς οἰκονόμους ἢ τοὺς ἐκκλησιεκδίκους διδόασιν ἐγγυητὰς· παρὰ δὲ τοῖς ὑπάρχοις χρηματικῶς ἐναγόμενοι, ἢ ἀλλήλους ἐγγυῶνται, ἢ ἐνυποθήκους ποιοῦσιν ὁμολογίας· ὑπὲρ δὲ τῶν ἐκκλησιαστικῶν, μόνος ὁ οἰκονόμος ἐνάγεται, ὃν χρὴ παρὰ τοῦ ἐπισκόπου γίνεσθαι, καὶ δίδωσι τὸν ἐκκλησιέκδικον ἐγγυητήν· καὶ ἐν μὲν τοῖς ἥττοσι δικαστηρίοις, ὑπὲρ ὑπομνήσεως διδόασιν οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ τοῖς ἐκβιβασταῖς οὐ πλέον τοῦ νομίσματος· εἰ δὲ δι' ἐκβιβαστοῦ τῶν ὑπάρχων ἀπὸ ψήφου αὐτῶν ὑπομνησθῶσιν ἐν ἐπαρχίαις οὐ πλέον β΄ ΙΙ διδόασιν ὑπὲρ σπορτούλων· ἐν Βυζαντίῳ δὲ ΙΙ γ΄ δίδωσιν ὁ ἐξωτικὸς κληρικὸς ὑπὲρ σπορτούλων· ἐφ' ὁσηδήποτε τοσότητι ἐναγόμενος ὁ ἐκβιβαστὴς οἱσυδήποτε κληρικὸν ὑβρίζων ἢ σκύλλων, ἀποζώννυται καὶ ἐσχάτως τιμωρεῖται· εἰ δέ τινες φανῶσιν ἀδίκως αὐτοῖς ἐνάγοντες, διδόασιν αὐτοῖς πάσας τὰς κατὰ πρόφασιν αὐτῶν ἐκ προοιμίου τῆς δίκης προσγενομένας αὐτοῖς δαπάνας.

Ἡ δὲ ν΄ διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι καὶ οἱ κληρικοὶ καλῶς ἐν συμβολαίοις ἀπολέγουσι τῇ τοῦ φόρου ἀπογραφῇ· γενικῶς γὰρ ἔξεστιν ἑκάστῳ τῶν ὑπὲρ ἑαυτοῦ καταφρονεῖν· καὶ διάτ. β΄ τοῦ δ΄ τίτ. τοῦ αὐτοῦ βιβλ. ὅτι ἐὰν πρὸ τελείας ψήφου κληρικὸς ἐκκαλέσηται, τὴν ὡρισμένην ἐκ τοῦ

νόμου ποινὴν κατὰ τῶν ἄλλων τῶν ν' ἀργυρίου λιτρῶν, ὁ φίσκος οὐ λαμβάνει παρ' αὐτοῦ, ἀλλα τοῖς πένησι διανέμεται· ἡ δὲ ζ' διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι ἐπὶ μόνων χρηματικῶν μεταξὺ συναινούντων, οὐ μὴν καὶ ἀκόντων, ἰσχυρῶς ὁ ἐπίσκοπος δικάζει· καὶ διάτ. η' ὅτι ἡ τῶν ἐπισκόπων ψῆφος ἔρρωται μεταξὺ τῶν ἐπιλεξαμένων αὐτοὺς, καὶ ἔοικε ταῖς ψήφοις τῶν ὑπάρχων, ἀφ' ὧν ἐκκαλεῖσθαι οὐκ ἔξεστι· καὶ διάτ. ιγ' ὅτι βουλόμενος ὁ ἐνάγων, οὐ μὴν καὶ ἄκων, ἐνάγει παρὰ τῷ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως τῷ οἰκονόμῳ, καὶ τοῖς ἄλλοις αὐτοῦ κληρικοῖς, εἴτε πρὸς αὐτοὺς εἴτε πρὸς τὴν ἐκκλησίαν ἔχει· καὶ ἡ κθ' διάτ. ὅτι μηδεὶς ἐκ πρώτης αἰτιάσθω κληρικὸν παρὰ τῷ πατριάρχῃ, ἀλλὰ παρὰ τῷ ἐπισκόπῳ αὐτοῦ· εἰ δὲ πρὸς αὐτὸν ὑπόπτως ἔχει, παρὰ τῷ μητροπολίτῃ· εἰ δὲ κἀκεῖνος ὕποπτός ἐστι, δεῖ συνδικάζειν αὐτῷ ἐκ προσώπου τῆς ὅλης συνόδου τρεῖς τοὺς κατὰ τὴν τάξιν τῆς χειροτονίας πρωτευόντας· καὶ εἰ μὴ στερχθῇ τὰ κεκριμένα, τὸν τῆς διοικήσεως πατριάρχην ἐπικαλεῖσθαι, καὶ τοῖς παρ' αὐτοῦ κεκριμένοις ἐμμένειν, ὡς ἂν εἰ ἐξ ἀρχῆς αὐτὸς ἐδίκασεν· οὐδὲ γὰρ ἐκκαλοῦνται αἱ τῶν πατριαρχῶν ψῆφοι· τὸ αὐτὸ καὶ περὶ τῶν τοῖς ἐπισκόποις ἐναγόντων.

Ἔξεστι δὲ παρὰ τῷ πατριάρχῃ αἰτιᾶσθαι, ἐφ' ᾧ διὰ γραμμάτων αὐτοῦ τὴν ὑπόθεσιν ἐπισκόπῳ παραπεμφθῆναι· καὶ οὐ πλέον τεσσάρων κερατίων ὑπὲρ σπορτούλων λαμβάνει ὁ παρὰ πατριάρχου ἢ μητροπολίτου πεμπόμενος κληρικὸς· ἢ ἔνθα ὁ ἐπίσκοπος ὁ πεμφθεὶς εἴη, οὐ πλέον τῶν ἓξ ‖ ἐφ' οἱασδήποτε αἰτίᾳ ἢ ποσότητι· ὁ δὲ πατριάρχης ἀκροᾶται τῆς ἐκκλησίας τοῦ τῶν ἐξ ἐπιτροπῆς αὐτοῦ δικασάντων ἐπισκόπων ἢ μητροπολιτῶν· ὁ παρὰ ταῦτα ποιῶν, διπλοῦν δίδωσι

τὸ ὑπερπραχθὲν, καὶ γίνεται παρὰ τοῦ πατριάρχου ἢ τοῦ μητροπολίτου ὑπὸ ἐκκλησιαστικὸν ἐπιτίμιον, ἐκβαλλόμενος τῶν ἐκκλησιαστικῶν καταλόγων· ταῦτα μὲν ἔνθα πρὸς ἐκκλησιαστικὴν ὁρᾷ τὸ πρᾶγμα κατάστασιν· εἰ δὲ πολιτικὴ εἴη ἡ ἀμφισβήτησις, οὐκ ἀναγκάζεται ὁ ἐνάγων ἢ ὁ κατηγορῶν ταῦτα φυλάττειν, ἀλλ' ἄδειαν ἔχει παρὰ τοῖς ἄρχουσι κινεῖν· ἡ δὲ διάτ. τοῦ αὐτοῦ τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐάν τις ἔχῃ δίκην χρηματικὴν πρὸς κληρικὸν, ἐντυγχανέτω τῷ ἐπισκόπῳ ὑφ' ὃν τελεῖ ὁ ἐναγόμενος, καὶ ἀγράφως κρινέτω ἀζημίως· καὶ εἰ βούλονται τὰ μέρη, γίνεται ψῆφος ἔγγραφος· εἰ δὲ κατά τινα πρόφασιν οὐ δύναται τεμεῖν τὴν ὑπόθεσιν ὁ ἐπίσκοπος, τότε παρὰ τοῖς ἄρχουσιν ἡ δίκη λέγεται, φυλαττομένων τοῖς κληρικοῖς τῶν προνομίων· εἰ δὲ περὶ ἐγκλημάτων ζητεῖται, εἰ μὲν πολιτικῶν, οἱ ἄρχοντες δικάζουσιν ἐν τῷ Βυζαντίῳ καὶ ταῖς ἐπαρχίαις, τῆς δίκης μετὰ προκάταρξιν μὴ ὑπερβαινούσης δύο μῆνας· καὶ ἐὰν φανῇ ποινῆς ἄξιος ὁ κληρικὸς, πρότερον γυμνούσθω διὰ τοῦ ἐπισκόπου τῆς ἱερατικῆς ἀξίας, καὶ οὕτως ὑπὸ τὰς χεῖρας γινέσθω τοῦ νόμου· εἰ δὲ τὸ ἁμάρτημα ἐκκλησιαστικόν ἐστιν, ὁ ἐπίσκοπος κρινέτω κατὰ τοὺς κανόνας, οἷς τισι καὶ οἱ νόμοι ἔπονται· καὶ μὴ ἐπικοινωνείτωσαν οἱ ἄρχοντες τῇ ζητήσει· καὶ ἡ ιε΄ διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι ὁ ἔχων πρός τινα τῶν ἀσκητῶν, ἢ παρθένων ἱερωμένων, ἢ γυναικῶν οὐσῶν ἐν μοναστηρίοις, τῷ ἐπισκόπῳ αὐτῶν προσίτω· ὁ δὲ μετὰ σεμνότητος αὐτὸν ἢ αὐτὴν ἀγαγέτω διὰ τῶν ἡγουμένων, ἢ τῶν ἀπεκρισιαρίων, ἢ ἑτέρων ἐπιεικῶς, καὶ σκοπείτω· ἄρχων δὲ πειρώμενος παρεμβαλεῖν ἑαυτὸν, διαθέχεται καὶ ζημιοῦται τῷ φίσκῳ ί λίτρας, ἅμα τῇ αὐτοῦ τάξει· οἱ δὲ ἐκβιβασταὶ ἐγκλείονται εἰς τὸ κάγκελλον, καὶ προσηκόντως σω-

φρονίζονται, καὶ διὰ τῶν ἐπισκόπων κωλύονται τοῦ λαιποῦ ἐκβιβάζειν.

Γίνωσκε δὲ, ὅτι ἡ β' διάτ. τοῦ αὐτοῦ α' τίτ. τούτων πασῶν ἰσχυροτέρα οὖσα, ὡς καὶ μεταγενεστέρα, φησὶν ὅτι ἐάν τις τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ κληρικοῦ κατηγορήσῃ ἐπὶ αἰτίᾳ δυναμένῃ κατὰ τοὺς νόμους ἢ τοὺς κανόνας ἐμποδίσαι τῇ χειροτονίᾳ, ἐπεχέσθω αὕτη, καὶ ὁ μέλλον χειροτονεῖν ἐξεταζέτω τὴν αἰτίαν, παρόντος καὶ ἐπεξιόντος τοῦ κατηγόρου, ἢ ἀναβαλλομένου ἐπὶ τρεῖς μῆνας πληρῶσαι τὴν κατηγορίαν· καὶ εἰ μὲν ἀνεύθυνος φανῇ, χειροτονείσθω· εἰ δὲ ὑπεύθυνος, ἐμποδιζέσθω· ὁ δὲ κατήγορος μὴ ἀποδείξας ἢ ἀποφυγὼν, ἐκβάλλεται τῆς ἐπαρχίας ἐν ᾗ οἰκεῖ· τῆς δὲ χειροτονίας πρὸ ἐξετάσεως γινομένης, ὁ μὲν χειροτονηθεὶς ἐξωθεῖται· ὁ δὲ χειροτονήσας, ἐπὶ ἐνιαυτὸν τῆς λειτουργίας χωρίζεται, καὶ πᾶσα ἡ οὐσία αὐτοῦ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ προσκυροῦται· τὰ αὐτὰ φησὶ καὶ ἡ ιζ' διάτ. τοῦ αὐτοῦ τίτ. οὐ μόνον ἐπὶ χειροτονίας ἐπισκόπων καὶ κληρικῶν, ἀλλὰ καὶ ἡγουμένων· διαλλάττει δὲ λέγουσα, ὅτι ὁ κατήγορος μὴ ἀποδείξας ἀλλ' ἀποσὰς, εἰ μὲν κληρικός ἐστιν, ἐξωθεῖται τοῦ βαθμοῦ αὐτοῦ· εἰ δὲ λαϊκὸς, σωφρονίζεται· καὶ ὅτι γινομένης τῆς χειροτονίας πρὸ ζητήσεως, ὁ χειροτονήσας καὶ ὁ χειροτονηθεὶς τῆς ἱερωσύνης ἐξωθοῦνται· ἡ δὲ αὐτὴ διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ὁ ἔχων δίκην πρὸς κληρικὸν, ἢ διακόνισσαν, ἢ μοναχὸν, ἢ μονάστριαν, ἢ ἀσκήτριαν, τῷ ἐπισκόπῳ αὐτοῦ προσίτω, κἀκεῖνος κρινέτω· καὶ ἐὰν ἐφησυχάσῃ μέρος ἑκάτερον, ὁ ἐκβιβασμὸς διὰ τοῦ ἄρχοντος γινέσθω· εἰ δέ τις τῶν δικαζομένων εἴσω δέκα ἡμερῶν ἀντείποι, ὁ τῶν τόπων ἄρχων ἐξεταζέτω τὸ πρᾶγμα, καὶ ἡ βεβαιούτω τὴν ψῆφον καὶ ἐκβιβαζέτω,

μὴ δυναμένου τοῦ δεύτερον ἐπὶ τούτῳ ἡττηθέντος, ἐκκαλεῖσθαι· ἐναντίως δὲ τῷ ἐπισκόπῳ τοῦ ἄρχοντος ψηφιζομένου, ἡ τοῦ ἄρχοντος ψῆφος ὑπόκειται ἐκκλήτῳ, καὶ κατὰ τὸν νόμον ἀναφέρεται καὶ ἐξετάζεται· ἐὰν δὲ ἀπὸ κελεύσεως ἢ προστάξεως δικάσῃ ὁ ἐπίσκοπος, ἡ ἔκκλητος τὴν ψῆφον αὐτοῦ ἐπὶ τὸν παραπέμψαντα τὴν ὑπόθεσιν ἀναφέρει.

Ἐὰν ἔγκλημα κινῆται κατά τινος τῶν εἰρημένων, εἰ μὲν παρὰ ἐπισκόπῳ καὶ εὕροι τὴν ἀλήθειαν, ἐκβαλλέτω αὐτὸν τοῦ βαθμοῦ· καὶ τηνικαῦτα ὁ πρόσφορος δικαστὴς αὐτὸν συνεχέτω, καὶ τὴν δίκην νομίμως ἐξετάζων, ἐπιτιθέτω αὐτῇ πέρας· εἰ δὲ πρῶτον παρὰ τῷ ἄρχοντι κινηθῇ καὶ ἀποδειχθῇ, φανερούσθω τὰ ὑπομνήματα τῷ ἐπισκόπῳ· καὶ εἰ ἐξ αὐτῶν εὕροι τὸ πλημμέλημα, χωριζέτω αὐτὸν τοῦ βαθμοῦ, καὶ ὁ δικαστὴς ἐπιφερέτω αὐτῷ νόμιμον ἐκδίκησιν· εἰ δέ γε μὴ νομίσοι ὁ ἐπίσκοπος, μὴ δικαίως συστῆναι τὰ πεπραγμένα, γινέσθω ὁ κατηγορηθεὶς ὑπὸ νόμιμον ἀσφάλειαν, μὴ ἐξωθούμενος τοῦ ἰδίου βαθμοῦ, ἕως ἂν ἡ βασιλεία τῆς ὑποθέσεως ἐν εἰδήσει διὰ τοῦ ἐπισκόπου καὶ τοῦ ἄρχοντος γινομένη, κελεύσῃ τὸ φαινόμενον αὐτῇ· ἐὰν ὁ ἐπίσκοπος ὑπερτίθηται ἐπὶ τοῖς χρηματικοῖς δικάσαι, ἄδειαν ἔχει ὁ ἐνάγων προσιέναι τῷ ἄρχοντι· ὁ δὲ αἰτιαθεὶς οὐ δίδωσιν ἐγγυητήν, ἀλλ' ὁμολογίαν ποιεῖ ἐνυπόθηκον ἄνευ ὅρκου· ἐπὶ μὲν τοῖς ἐγκληματικοῖς, ὑπὸ τὴν νόμιμον ἀσφάλειαν τὸ κατηγορούμενον πρόσωπον γίνεται· ἐπὶ δὲ τοῖς ἐκκλησιαστικοῖς, ὁ ἐπίσκοπος κατὰ τοὺς κανόνας σκοπεῖ, τοῦ ἄρχοντος μηδεμίαν ἔχοντος μετουσίαν.

Ἐπίσκοποι τῆς αὐτῆς συνόδου πρὸς ἀλλήλους ἔχοντες, παρὰ τῷ μητροπολίτῃ αὐτῶν, καὶ ἑτέροις ἐπισκόποις τῆς αὐτῆς συνόδου δικάζονται· καὶ εἰ μὴ μέρος ἑκάτερον ἐμμέ-

νοι, ὁ πατριάρχης αὐτῶν σκοπεῖ, οὐδενὸς τοῖς παρ' αὐτοῦ τυπουμένοις δυναμένου ἀντιλέγειν· τὸ αὐτό ἐστι κἂν κληρικὸς κατὰ τοῦ ἐπισκόπου αὐτοῦ προσέλθοι· προσελεύσεως δὲ κατὰ μητροπολίτου γινομένης, ὁ πατριάρχης αὐτοῦ ὁμοίως σκοπεῖ· ἐπίσκοπος δικαζόμενος, οὔτε ἐγγύας δίδωσιν οὔτε ὁμολογίαν ποιεῖ· εἰ οἰκονόμοι καὶ πτωχοτρόφοι καὶ νοσοκόμοι καὶ οἱ τοιοῦτοι τῷ ἰδίῳ ἐπισκόπῳ ὑπόκεινται· καὶ τὸ φαινόμενον ἐποφειλαν αὐτοὺς, ἀπαιτοῦνται, μὴ δυνάμενοι πρὸ τῆς ἀπαιτήσεως, εἰς ἄλλο δικαστήριον ἀναχωρεῖν, ἀλλὰ μετὰ τὴν ἀπαίτησιν ἐὰν νομίσωσι βεβλάφθαι· εἰ μὲν ἐπίσκοπός ἐστιν ὁ κρίνας, ὁ μητροπολίτης ἐξετάζει· εἰ δὲ μητροπολίτης ἔκρινεν, ὁ πατριάρχης σκοπεῖ· εἰ δὲ πρὸ τῆς τῶν λογισμῶν ποιήσεως καὶ τῆς ἀπαιτήσεως τελευτήσει τις τῶν εἰρημένων, οἱ κληρονόμοι αὐτοῦ ὑπόκεινται· ὁμοίως βιβλ. α' τίτ. α' διάτ. μα', ἤ τις φησὶν, ὅτι κατ' ἐνιαυτὸν ὁ οἰκονόμος τὸν λόγον τῆς αὐτοῦ διοικήσεως παρατίθεται τῷ ἐπισκόπῳ· ἡ δὲ κβ' διάτ. τοῦ β' τίτ. τοῦ αὐτοῦ βιβλ. λέγει, ὅτι δεῖ τοὺς οἰκονόμους Κωνσταντινουπόλεως, κατὰ μῆνα ἢ τὸ μήκιστον ὑπὲρ δύο, λογοποιεῖν πρὸς τοὺς ἀρκαρίους, ἐπεὶ κινδυνεύουσιν ἐξ ἐπαρχίας· ἐν Κωνσταντινουπόλει εὑρισκόμενος ἐπίσκοπος ἢ κληρικὸς τοῖς ἐνάγουσι, παρὰ μόνῳ τῷ ἐπάρχῳ τῶν πραιτωρίων, ἢ τῷ παρὰ τῆς βασιλείας ἀφοριζομένῳ, ἀπολογεῖται· εἰ μὴ ἐπὶ χώρας ἤρχθη ἡ ὑπόθεσις, τότε γὰρ ἐκεῖ πληροῦται· εἰ τῶν ἐκκλησιῶν εὐλαβεῖς ἀποκρισιάριοι, οὐκ ἐνάγονται ἢ ἀπαιτοῦνται ὑπὲρ τῶν ἐπισκόπων ἢ τῶν ἐκκλησιῶν, χάριν δημοσίου ἢ ἰδιωτικοῦ χρέους, εἰ μὴ ἐξ ἐντολῶν τῶν ἐπισκόπων ἢ τῶν οἰκονόμων ἐνάγουσί τι· τότε γὰρ μόνων αὐτῶν τὰς ἐναγωγὰς ὑποδέχονται· εἰ δὲ καὶ ἐνόχους ἑαυτοὺς καταστήσουσιν ἐν τῷ ποιεῖν τὰς ἀποκρίσεις δέχον-

ται τὰς περὶ τούτων ἐναγωγὰς· οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ διὰ πρεσβείαν ἢ χειροτονίαν ἀποδημοῦντες, οὐκ ἐνάγονται μέχρις ἂν ὑποστρέψωσι, μὴ βλαπτομένων τῶν ἐχόντων αὐτοὺς ὑπευθύνους, ἐκ τῆς αὐτῶν ἀπολείψεως περὶ χρονίαν παραγραφήν.

Αἱ ὑπομνήσεις καὶ οἱ ἐκβιβασμοὶ μετὰ τιμῆς προσαγέσθωσαν τοῖς κληρικοῖς καὶ μοναχοῖς καὶ ἀσκητρίαις καὶ ἀσκητηρίοις, ἐπὶ τοῖς χρηματικοῖς ἰδιωτικοῖς καὶ δημοσίοις· καὶ μονάστρια μὲν ἢ ἀσκήτρια τοῦ μοναστηρίου μὴ ἀφελκέσθω, ἀλλὰ δι' ἐντολέως κρινέσθω· ὁ δὲ μοναχὸς τὰς ἰδίας ἢ τὰς τοῦ μοναστηρίου, εἴτε δι' ἑαυτοῦ εἴτε δι' ἐντολέως θέλει· εἰ δὲ παρὰ ταῦτα γένηται, ὁ δικαστὴς ἀπεζώννυται, καὶ ε' λίτρας τοῖς πριβάτοις δίδωσι· καὶ ὁ ἐκβιβαστὴς βασανίζεται καὶ ἐξορίζεται προνοίᾳ τοῦ ἐπισκόπου, ὅστις καὶ ἀναφέρει, τοῦ ἄρχοντος ὑπερτιθεμένου τὴν ἐκδίκησιν· ὑπὲρ δὲ ὑπομνήσεως, τὰ τοιαῦτα πρόσωπα χρηματικῆς ἢ ἐκκλησιαστικῆς αἰτίας, ἔν τε Κωνσταντινουπόλει καὶ ὁπουδήποτε, οὐ πλέον δ' κεράτιων διδόασιν· εἰ δὲ κατὰ βασιλικὴν κέλευσιν, ἢ παρὰ ἄρχοντος ἢ πατριάρχου, σταλῇ τις εἰς ὑπόμνησιν αὐτῶν, οὐ πλέον λήψεται ἑνὸς νομίσματος· εἰ δὲ πολλὰ τοιαῦτα πρόσωπα ἐπὶ μιᾷ καὶ τῇ αὐτῇ αἰτίᾳ ὑπομνησθῶσιν, ἑνὸς μόνου προσώπου διδόασιν· ἐπίσκοπος ὑπὲρ τῶν ἰδίων πραγμάτων ἐναγόμενος δίδωσι σπόρτουλα, ὑπὲρ δὲ τῆς ἐκκλησίας αὐτοῦ μὴ ὀχλείσθω, ἀλλ' ὁ οἰκονόμος ἢ ὁ ἐπὶ τούτῳ προβαλλόμενος· ὁ δὲ παρὰ ταῦτα σπόρτουλα λαβών, τὸ διπλοῦν ἀναδίδωσι, καὶ ὑπὸ στρατείαν μὲν ὢν ἀπεζώννυται, κληρικὸς δὲ καθαιρεῖται· ἐπίσκοπος οὔτε ἐπὶ χρηματικῇ οὔτε ἐγκληματικῇ δίκῃ, χωρὶς κελεύσεως βασιλικῆς, διάγεται ἢ παρίσταται· ὁ δὲ παρὰ ταῦτα προστάξας ἐγγράφως ἢ ἀγρά-

φως, ἀποζώννυται, καὶ· κ΄ λίτρας ζημιοῦται τῇ ἐκκλησίᾳ τοῦ ἐπισκόπου, καὶ ὁ ἐκβιβαστὴς ἀποζώννυται, καὶ βασανιζόμενος ἐξερίζεται· καὶ ἡ ιζ΄ διάτ. τοῦ α΄ τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐπισκόπου κατηγορουμένου, ὁ μητροπολίτης κρίνει· εἰ δὲ μητροπολίτης κατηγορεῖται, ὁ πατριάρχης αὐτοῦ σκοπεῖ· εἰ δὲ κληρικὸς ἢ μοναχὸς, ὁ ἐπίσκοπος αὐτοῦ· καὶ ὁ πταίσας, κανονικῶς σωφρονίζεται τῷ κρίματι τοῦ ἐξετάζοντος· ἡ δὲ περὶ τοποτηρητῶν ρλ΄ νεαρὰ λέγει, ὅτι μονάστρια, διὰ εὐδεμίαν ἀγωγὴν, ἐκ τοῦ ἰδίου μοναστηρίου ἔλκεται.

ΚΕΦ. Β.

Πόσοι καὶ τίνες καταμαρτυροῦσιν ἐπισκόπων ἢ κληρικῶν.

Ἀποστόλων κανὼν ϟε΄.

οε΄ Εἰς μαρτυρίαν τὴν κατὰ ἐπισκόπου, αἱρετικὸν μὴ προσδέχεσθαι, ἀλλὰ μὴ δὲ πιστὸν ἕνα· ἐπὶ στόματος γὰρ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.

Συνόδου Καρθαγέννης κανὼν κ΄ νϑ΄ ρλα΄.

Περὶ πρεσβυτέρων καὶ κληρικῶν κατηγορουμένων.

κ΄ Ἐὰν δὲ πρεσβύτεροι ἢ διάκονοι κατηγορηθῶσι etc. ut p. 236.

Περὶ τοῦ κληρικοὺς, χάριν διαγνώσεως τῆς οἰκείας αὐτῶν κρίσεως, μὴ ἀναγκάζεσθαι δημοσίως μαρτυρεῖν.

νϑ΄ Δεῖ αἰτῆσαι ἔτι μὴν ἵνα ὁρίσαι καταξιώσωσιν, ὥστε ἐάν τινες ἐν ἐκκλησίᾳ οἱανδήποτε αἰτίαν ἀποστολικῷ δικαίῳ τῷ ταῖς ἐκκλησίαις ἐπικειμένῳ γυμνάσαι θελήσωσι, καὶ ἴσως ἡ τομὴ τῶν κληρικῶν τῷ ἑνὶ μέρει ἀπαρέσοι, μὴ ἐξεῖναι πρὸς δικαστήριον εἰς μαρτυρίαν προκαλεῖσθαι τὸν κληρικὸν ἐκεῖ-

νον, τὸν πρότερον τὸ αὐτὸ πρᾶγμα σκοπήσαντα ἢ καὶ σκοπουμένῳ παρατυχόντα· καὶ ἵνα μηδὲ προσώπῳ τίς προσήκων ἐκκλησιαστικῷ, ἐναχθείη περὶ τοῦ ὀφείλειν μαρτυρεῖν.

Τίνας δεῖ προσδέχεσθαι εἰς μαρτυρίαν.

Μάρτυρας δὲ ὡρὸς μαρτυρίαν μὴ ὡροσδέχεσθαι τοὺς ρλα΄
μηδὲ πρὸς κατηγορίαν εἰσδεχθῆναι παραγγελθέντας, ἢ ἔτι μὴν οὓς αὐτὸς ὁ κατήγορος εἶχος ἐκ τοῦ ἰδίου εἴκου προκομίσει· μαρτυρία δὲ ἐντὸς κείρας ἐνιαυτῶν ιθ΄ μὴ προσδεχθείη.

Ὁποίους δεῖ εἶναι τοὺς ἐν δίκῃ μαρτυροῦντας, διδάσκει ὁ ε΄ τίτ. τοῦ κβ΄ βιβλ. καὶ ὁ κ΄ τίτ. τοῦ δ΄ τίτ. τοῦ κώδ. καὶ ἡ περὶ μαρτύρων νεαρὰ· ἡ δὲ θ΄ διάτ. τοῦ αὐτοῦ κ΄ τίτ. φησὶν, ὅτι εἷς μόνος οὐκ ἀκούεται, κἂν μέγας εἴη ἀξιωματικός· αἱρετικὸς δὲ καθόλου οὐ καταμαρτυρεῖ ὀρθοδόξου, εἰ μὴ περὶ βουλευτικῆς καταστάσεως ὁ ὀρθόδοξος ἐνάγηται, ὡς βιβλ. α΄ τοῦ κώδ. τίτ. ε΄ διάτ. καὶ καὶ ἐν τῇ περὶ βουλευτῶν καὶ ταξεωτῶν αἱρετικῶν μέ νεαρᾷ, ἥ τις ἀνήνεκται ἐν τοῖς παρατίτλοις τοῦ γ΄ τίτ. τῶν νεαρῶν.

ΚΕΦ. Γ.

Ἐάν τις ἐπὶ πολλοῖς ἐγκλήμασι κληρικοῦ κατηγορήσας, μὴ ἀποδείξῃ τὸ πρτεθὲν πρῶτον κεφάλαιον.

Συνόδου Καρθαγέννης κανὼν ρλ΄.

Ἵνα ὁ περὶ ἑνὸς ἐγκλήματος ἀποδεῖξαι μὴ δυνάμενος, ρλ΄
πρὸς ἕτερον μὴ εἰσδεχθῇ.

Ὁμοίως ἤρεσεν ἵνα ὁσακισθήπτε etc. ut p. 238.

ΚΕΦ. Δ.

Περὶ τῶν μὴ πειθαρχούντων τοῖς οἰκείοις ἐπισκόποις· καὶ περὶ ἐπισκόπου δεχομένου τὸν ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἐκβληθέντα ἢ ἀπὸ κοινωνίας γενόμενον.

Συνόδου Ἀντιοχείας κανὼν ς'.

ς' Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἀκοινώνητος γέγονε, μὴ πρότερον αὐτὸν παρ' ἑτέρων δεχθῆναι, εἰ μὴ ὑπ' αὐτοῦ παραδεχθείη τοῦ ἰδίου ἐπισκόπου, ἢ συνόδου γενομένης ἀπαντήσας ἀπολογήσεται· πείσας τε τὴν σύνοδον, καταδέξειτο ἑτέραν ἀπόφασιν· ὁ αὐτὸς δὲ ὅρος ἐπὶ λαϊκῶν καὶ πρεσβυτέρων καὶ διακόνων, καὶ πάντων τῶν ἐν τῷ κλήρῳ καταλεγομένων κρατείτω.

Συνόδου Καρθαγέννης κανὼν λ' κθ' ξβ' οθ' ρκβ'.

Περὶ τῶν κατ' ἀξίαν τῶν οἰκείων ἀποπημάτων ἐκ τοῦ ἐκκλησιαστικοῦ συλλόγου ἐκβαλλομένων.

Αὐγουστῖνος ἐπίσκοπος τοποτηρητὴς τῆς νουμηδικῆς χώρας εἶπεν.

θ' Τοῦτο ὁρίσαι καταξιώσατε, ὥστε τοὺς ἀξίως τῶν οἰκείων ἐγκλημάτων ἀπὸ τῆς ἐκκλησίας διωχθέντας, ἐάν τις ἐπίσκοπος ἢ πρεσβύτερος δέξηται εἰς κοινωνίαν, καὶ αὐτὸς ἔτι μὴν τῷ ἴσῳ ἐγκλήματι ὑπεύθυνος γένηται, ἅμα τῆς τοῦ οἰκείου ἐπισκόπου τὴν κανονικὴν ψῆφον ἀποφυγοῦσιν.

Εἴ τις ἀπὸ κοινωνίας ὤν, πρὸ τοῦ ἀκουσθῆναι, κοινωνῆσαι τολμήσει, αὐτὸς καθ' ἑαυτοῦ τὴν καταδίκην προήγαγεν.

κθ' Ὁμοίως ἤρεσε σὺν πάσῃ τῇ συνόδῳ, ἵνα ὁ διὰ ῥᾳθυμίαν αὐτοῦ ἀπὸ κοινωνίας γενόμενος, εἴτε ἐπίσκοπος, εἴτε οἱασδήποτε κληρικὸς, ἐὰν ἐν τῷ καιρῷ τῆς ἀκοινωνησίας αὐ-

τοῦ, πρὸ τοῦ ἀκουσθῆναι, εἰς κοινωνίαν τολμήσει, αὐτὸς καθ' ἑαυτοῦ τὴν ψῆφον τῆς καταδίκης ἐξενηνοχέναι κριθῇ.

Περὶ τῶν καταδικαζομένων κληρικῶν.

Κἀκεῖνο δεῖ αἰτῆσαι ἵνα ὁρίσαι καταξιώσωσιν, ὥςε κλη- ξβ'
ρικὸν εἰασθήποτε τιμῆς τυγχάνοντα, ἐπὶ οἱῳδήποτε ἐγκλή-
ματι τῇ τῶν ἐπισκόπων κρίσει καταδικασθέντα, μὴ ἐξεῖναι
τὸν αὐτὸν, εἴτε παρὰ τῆς ἐκκλησίας ἧς ὑπῆρχεν, εἴτε παρά
οἱουδήποτε ἀνθρώπου, διεκδικεῖσθαι· ποινῆς ἐπὶ τούτῳ πα-
ρατεθείσης, ζημίας χρημάτων τὲ καὶ τιμῆς· ὅπως μηδὲ κεῖ-
ραν μηδὲ φύσιν ἀπολογητέαν εἶναι κελεύωσιν.

Περὶ τῶν μὴ φροντιζόντων κληρικῶν ἐντὸς ἐνιαυτοῦ
πρᾶξαι τὸ ἴδιον πρᾶγμα.

Πάλιν ὡρίσθη ἵνα ὁσάκις κληρικῶν ἐλεγχθέντων, καὶ οθ'
καταθεμένων τινὰ ἐγκλήματα, εἴτε διὰ τὸ τῆς ἐκκλησίας
ὄνειδος, εἴτε διὰ τὴν αἰδεσιμότητα, ὧν χάριν τούτοις φειδὼ
γίνεται, εἴτε διὰ τὴν ἀλαζόνα τῶν αἱρετικῶν καὶ ἐθνικῶν
ἐπιγαυρίασιν, ἐὰν ὡς εἰκὸς ἐπαγωνίσασθαι τῷ ἰδίῳ πράγ-
ματι, καὶ τῆς ἰδίας ἀβλαβείας φροντίσαι θελήσωσιν, ἐντὸς
ἀκοινωνησίας ἑνιαυτοῦ τοῦτο ποιησάτωσαν· ἐὰν δὲ ἐντὸς ἐνιαυ-
τοῦ τὸ πρᾶγμα αὐτῶν καθῶραι καταφρονήσωσι, μηδεμία τού-
των τοῦ λοιποῦ φωνὴ παντελῶς προσδεχθείη.

Ὅτι οὐκ ὀφείλει τῶν ἐπιλεγομένων δικαστῶν
ἡ γνώμη ἐξουθενεῖσθαι.

Κατὰ δὲ τῶν δικαστῶν τῶν κατὰ κοινὴν συναίνεσιν ἐπι- ρκβ'
λεγέντων, μὴ ἐξεῖναι ἐγκαλεῖσθαι, ὅστις δὲ ὁπότε ἀπο-
δειχθείη διὰ μονοτονίαν μὴ θέλειν τοῖς δικασταῖς πειθαρ-
χῆσαι· τοῦτο γινώσκων ὁ τῆς πρώτης καθέδρας ἐπίσκοπος,
δώσει γράμματα, ὥστε μηδένα τῶν ἐπισκόπων αὐτῷ κοινω-
νῆσαι, ἕως οὗ πειθαρχῇ.

ΚΕΦ. Ε.

Περὶ δικῶν ἐπισκόπων καὶ κληρικῶν.

Ἀποστόλων κανὼν οδ'.

οδ' Ἐπίσκοπον κατηγορηθέντα etc. ut p. 230.

Συνόδου Ἀντιοχείας κανὼν ιδ' ιε'.

ιδ' Εἴ τις ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κρίνοι, ἔπειτα συμβαίη περὶ αὐτοῦ διαφωνεῖν τοὺς ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπους, τῶν μὲν ἀθῶον αὐτὸν κρινόμενον ἀποφαινόντων, τῶν δὲ ἔνοχον, ὑπὲρ ἀπαλλαγῆς πάσης ἀμφισβητήσεως ἔδοξε τῇ ἁγίᾳ συνόδῳ τὸν τῆς μητροπόλεως ἐπίσκοπον, ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας μετακαλεῖσθαι ἑτέρους τινὰς τοὺς ἐπικρινοῦντας καὶ τὴν ἀμφισβήτησιν διαλύσοντας, τοῦ βεβαιῶσαι σὺν τοῖς ἐκ τῆς ἐπαρχίας τὸ παριστάμενον.

ιε' Εἴ τις ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κατηγορηθείς, κριθείη ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, πάντες τὲ σύμφωνοι μίαν κατ' αὐτοῦ ἐξενέγκοιεν ψῆφον, τοῦτον μηκέτι παρ' ἑτέροις δικάζεσθαι, ἀλλὰ μένειν βεβαίαν τὴν σύμφωνον τῶν ἐπὶ τῆς ἐπαρχίας ἐπισκόπων ἀπόφασιν.

Συνόδου Χαλκηδόνος κανὼν θ' ιζ'.

θ' Εἴ τις κληρικὸς ὡρὸς κληρικὸν ὡρᾶγμα ἔχει etc. ut p. 232.

ιζ' Τὰς καθ' ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας etc. ut p. 185.

Συνόδου Σαρδικῆς κανὼν γ' ε' ιδ'.

γ' Ὅσιος ἐπίσκοπος εἶπεν· ἀναγκαῖον καὶ τοῦτο προστεθῆναι etc. ut p. 26.

ε' Ὅσιος ἐπίσκοπος εἶπεν· ἤρεσεν, ἵνα εἴ τις ἐπίσκοπος κατεγγελθείη etc. ut p. 27.

Ἀπεκρίναντο οἱ ἐπίσκοποι· τὰ λεχθέντα ἤρεσεν.

Ὅσιος ἐπίσκοπος εἶπε· τὸ δὲ πάντοτέ με κινοῦν, ἀποσιωπῆσαι οὐκ ὀφείλω· εἴ τις ἐπίσκοπος ἐξύχελος εὑρίσκεται, ὅπερ οὐκ ὀφείλει ἐν τοιούτῳ ἀνδρὶ πολιτεύεσθαι, καὶ ταχέως ἀντικρὺ πρεσβυτέρου ἢ διακόνου ἐκβληθεὶς, ἐκβαλεῖν ἐκκλησίας αὐτὸν θελήσοι, φρονοητέον ἐστὶ, μὴ ἀθρόον τὸν τοιοῦτον κατακρίνεσθαι, καὶ τῆς κοινωνίας ἀποστερεῖσθαι. ιϑ

Πάντες εἰρήκασιν· ὁ ἐκβαλλόμενος ἐχέτω ἐξουσίαν ἐπὶ τὸν ἐπίσκοπον τῆς μητροπόλεως, ἤτοι τὸν μητροπολίτην, καταφυγεῖν· εἰ δὲ ὁ τῆς μητροπόλεως ἄπεσιν, ἐπὶ τὸν πλησιέχωρον κατατρέχειν, καὶ ἀξιοῦν ἵνα μετὰ ἀκριβείας, αὐτοῦ ἐξετάζηται τὸ πρᾶγμα· οὐ χρὴ γὰρ μὴ ὑπείχειν τὰς ἀκοὰς τοῖς ἀξιοῦσιν· ἐκεῖνος δὲ ὁ ἐπίσκοπος, ὁ δικαίως ἢ ἀδίκως ἐκβαλὼν τὸν τοιοῦτον, γενναίως φέρειν ὀφείλει, ἵνα ἡ ἐξέτασις τοῦ πράγματος γένηται, καὶ ἡ κυρωθῇ αὐτοῦ ἡ ἀπόφασις, ἢ διορθώσεως τύχῃ· πρὶν δὲ ἐπιμελῶς ἕκαστα ἐξετασθῇ, ὁ μὴ ἔχων τὴν κοινωνίαν, πρὸ τῆς διαγνώσεως τοῦ πράγματος, ἑαυτῷ οὐκ ὀφείλει ἐκδικεῖν τὴν κοινωνίαν· ἐὰν δὲ συνελθυθότες τῶν κληρικῶν τινὲς κατίδωσι τὴν ὑπεροψίαν καὶ τὴν ἀλαζονείαν αὐτοῦ, ἐπειδὴ οὐ πρσῆκον ἐστὶν ὕβριν ἢ μέμψιν ἄδικον ὑπομένειν, πικροτέροις καὶ βαρυτέροις ῥήμασιν ἐπιστρέφειν τοῦτον ὀφείλουσιν· ἵνα τῷ τὰ πρέποντα κελεύοντι ὑπηρετῶνται καὶ ὑπακούωσιν· ὥσπερ γὰρ ὁ ἐπίσκοπος τοῖς ὑπηρέταις εἰλικρινῆ ὀφείλει τὴν ἀγάπην καὶ τὴν διάθεσιν παρέχειν, τὸν αὐτὸν τρόπον οἱ ὑποτεταγμένοι, ἀδόλως τοῖς ἐπισκόποις τὰ τῆς ὑπηρεσίας ἐκτελεῖν ὀφείλουσιν.

Συνόδου Καρθαγέννης κανὼν ιε' κή ρκ' ρκα'.

Περὶ διαφόρων τάξεων τῇ ἐκκλησίᾳ δουλευουσῶν· ὥστε ἐάν τις εἰς ἐγκληματικὸν πρᾶγμα περιπέσῃ, καὶ παραιτήσηται τὸ ἐκκλησιαστικὸν δικαστήριον, ὀφείλειν τὸν τοιοῦτον κινδυνεύειν· καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων κοσμικοῖς θεωρίοις μὴ προσιέναι.

ιε' Ὁμοίως ἤρεσεν· ἵνα ὁστισδήποτε τῶν ἐπισκόπων etc. ut p. 234.

Πρεσβύτεροι καὶ διάκονοι καὶ κληρικοὶ, οἱ ἐν τῷ ἰδίῳ πράγματι ἔκκλητον παρέχοντες, ἐπὶ τὰ πέραν τῆς θαλάσσης εἰς κοινωνίαν μηδαμῶς δεχθῶσιν.

κη' Ὁμοίως ἤρεσεν ἵνα οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι, καὶ οἱ λοιποὶ κατώτεροι κληρικοὶ, ἐν αἷς ἔχουσιν αἰτίαις, ἐὰν τὰ δικαστήρια μέμφωνται τῶν ἰδίων ἐπισκόπων, οἱ γείτονες ἐπίσκοποι ἀκροάσωνται αὐτῶν, καὶ μετὰ συναινέσεως τοῦ ἰδίου ἐπισκόπου, τὰ μεταξὺ αὐτῶν διαθῶσιν οἱ προσκαλούμενοι παρ' αὐτῶν ἐπίσκοποι· εἰ δὲ καὶ περὶ αὐτῶν ἔκκλητον παρέχειν νομίσουσι, μὴ ἐκκαλέσωνται εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια, ἀλλὰ πρὸς τοὺς πρωτεύοντας τῶν ἰδίων ἐπαρχιῶν, ὡς καὶ περὶ τῶν ἐπισκόπων πολλάκις ὥρισται· οἱ δὲ πρὸς περαματικὰ δικαστήρια διεκκαλούμενοι, παρ' οὐδενὸς ἐν τῇ Ἀφρικῇ δεχθῶσιν εἰς κοινωνίαν.

Περὶ τῶν τῆς λαῆς οὓς νομίζουσιν αὐτοῖς ἀνήκειν ἐπιβαλλόντων παρὰ γνώμην τῶν αὐτοὺς κατεχόντων.

ρκ' Ὁμοίως ἤρεσεν ἵνα οἱοισδήποτε ἐπίσκοποι τὰ πλήθη ἃ νομίζουσι τῷ θρόνῳ αὐτῶν ἀνήκειν, μὴ οὕτως ἀναζητῶσιν ὥστε ἄλλων ἐπισκόπων κρινόντων τοῦτο πράττειν, ἀλλ' ὑπὸ ἑτέρου κατεχομένοις ἐπέλθωσι τοῖς λαοῖς, εἴτε θελήσουσιν

εἴτε μὴ θελήσουσι, τοῦ ἰδίου πράγματος τὴν ζημίαν ὑπομείνωσι· καὶ οἱ τινεσθήποτε τοῦτο ἐποίησαν, εἰ μὴ ἡ μεταξὺ τῶν ἐπισκόπων συνέλευσις ἐπερατώθη, ἀλλ' ἀμὴν περὶ τοῦ αὐτοῦ φιλονεικοῦσιν, ἐκεῖνος ἀποστῇ ἐκεῖθεν περὶ οὗ δειχθείη, ὅτι παρεάσας τοὺς ἐκκλησιαστικοὺς δικαστὰς ἔφθασεν ἐποίησε· καὶ μὴ ἑαυτὸν τίς κολακεύσῃ, εἰ ἐκ τοῦ πρωτεύοντος γράμματα περὶ τοῦ κατέχειν ἔλαβεν, ἀλλὰ εἴτε γράμματα ἔχει εἴτε οὐκ ἔχει, συνέλθοι τῷ κατέχοντι, καὶ παρ' αὐτοῦ γράμματα λάβοι, ὥστε φανῆναι τοῦτον εἰρηνικῶς τὴν αὐτῷ ἀνήκουσαν κατασχεῖν ἐκκλησίαν· ἐὰν δὲ κἀκεῖνος τινὰ ζήτησιν ἀντεπαγάγῃ, καὶ αὕτη περατωθῇ μεταξὺ ἐπισκόπων κρινόντων, εἴτε οὓς ὁ πρωτεύων αὐτῆς δῷ, εἴτε οὓς γειτνιῶντας κατὰ συναίνεσιν ἐπιλέξονται.

Περὶ τῶν ἀμελούντων τῶν αὐτοῖς ἀνηκόντων λαῶν.

Ὁμοίως ἤρεσεν ἵνα οἱτινεσθήποτε ἀμελοῦσι τῶν τόπων ρκα'
τῶν ἀνηκόντων τῇ αὐτῶν καθέδρᾳ, πρὸς τὸ τούτους κερδάναι εἰς τὴν καθολικὴν ἑνότητα, ἐγκληθῶσιν ἀπὸ τῶν γειτνιώντων αὐτοῖς ἐπιμελῶν ἐπισκόπων περὶ τοῦ μὴ ἀναβάλλεσθαι τοῦτο πρᾶξαι· διὸ ἐὰν ἐντὸς προθεσμίας μηνῶν ἓξ, ἀπὸ τῆς ἡμέρας τῆς περὶ τούτου συνελεύσεως, μηδὲν ἀνύσωσι, τῷ δυναμένῳ λοιπὸν τούτους κερδάναι, προσκυρωθῶσιν· οὕτως μέν τοι, ἵνα ἐὰν ἐκεῖνος πρὸς ὃν ἐνδείκνυνται ἀνήκειν οἱ τοιοῦτοι, ἐξεπίτηδες διά τινα οἰκονομίαν ἔδοξεν ἀμελεῖν, τοῦτο τῶν αἱρετικῶν ἐπιλεξαμένων, ὥστε ἀθορύβως αὐτοὺς παραδέξασθαι, καὶ ἐν τοσούτῳ ἡ αὐτοῦ ἐπιμέλεια ὑπὸ ἑτέρου προελήφθη, ἢ τινι εἰ κατεχρήσατο τοὺς αὐτοὺς αἱρετικοὺς πλέον ἐκάκιζε, τούτου μεταξὺ ἐπισκόπων κρινόντων διαγινωσκομένου, οἱ τόποι τῇ αὐτοῦ καθέδρᾳ ἀποκαταστα θῶσι· τῶν δὲ κρινόντων ἐπισκόπων ἐκ διαφόρων χω-

των ἐπαρχιῶν, ἐκεῖνος ὁ πρωτεύων τοὺς δικαζομένους θώσει, οὗ τινος ἐν τῇ χώρᾳ ὁ αὐτὸς ὑπάρχει τόπος, περὶ οὗ φιλονεικεῖται· ἐὰν δὲ κατὰ κοινὴν συναίνεσιν, γείτονας ἐπιλέξονται κριτάς, ἢ εἷς ἐπιλεγῇ ἢ τρεῖς· καὶ ἐὰν τρεῖς ἐπιλέξωνται, ἢ τῇ τῶν ὅλων ψήφῳ ἐπακολουθήσουσιν, ἢ τῇ τῶν δύο.

Τὰ ὀφείλοντα ἐν τούτῳ τῷ κεφ. παραγραφῆναι, συνῆψα ταῖς παραγραφαῖς τοῦ προλαβόντος κεφ. ζητῶν σὺν περὶ χρηματικῶν ἢ ἐγκληματικῶν δικῶν, ἐκεῖνα ἀνάγνωθι.

ΚΕΦ. ς.

Περὶ ἀναψηλαφήσεως ψήφων ἐπισκόπων.

Συνόδου Ἀντιοχείας κανὼν ς'.

ς' Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἀκεινώνητος γέγονε etc. ut p. 249.

Συνόδου Σαρδικῆς κανὼν γ' δ' ε' ιδ'.

γ' Ὅσιος ἐπίσκοπος εἶπεν· ἀναγκαῖον καὶ τοῦτο etc. ut p. 26.

δ' Γαυδέντιος ἐπίσκοπος εἶπεν etc. ut p. 26.

ε' Ὅσιος ἐπίσκοπος εἶπεν· ἤρεσεν ἵνα εἴ τις ἐπίσκοπος καταγγελθείη etc. ut p. 27.

Ἀπεκρίναντο οἱ ἐπίσκοποι· τὰ λεχθέντα ἤρεσεν.

ιδ' Ὅσιος ἐπίσκοπος εἶπε· τὸ δὲ πάντοτέ με κινοῦν etc. ut p. 251.

Συνόδου Καρθαγέννης κανὼν ιδ' ιε' κη' οθ' ις' ρκα' ρκε'.

Ὥστε ἀπὸ Τριπόλεως ἕνα ἐπίσκοπον εἰς τοποτηρησίαν
ἐλθεῖν· καὶ ὥστε τὸν πρεσβύτερον ἐκεῖσε
ἀπὸ πέντε ἀκούεσθαι ἐπισκόπων.

ιε' Ὁμοίως ἤρεσεν ἀπὸ Τριπόλεως διὰ τὴν τῆς χώρας ἔνδειαν, ἵνα ἐπίσκοπον εἰς τοποτηρησίαν ἐλθεῖν, καὶ ἵνα ὁ

πρεσβύτερος ἐκεῖσε, ἀπὸ πέντε ἀκούηται ἐπισκοπῶν· καὶ ὁ διάκονος ἀπὸ τριῶν, ὡς ἀνωτέρω εἴρηται, τοῦ ἰδίου αὐτοῦ δηλονότι ἐπισκόπου προκαθημένου.

Περὶ διαφόρων τάξεων τῇ ἐκκλησίᾳ δουλευουσῶν· ὥστε ἐάν τις ἐγκληματικὸν πρᾶγμα περιπέσῃ, καὶ παραιτήσηται τὸ ἐκκλησιαστικὸν δικαστήριον, ὀφείλειν τὸν τοιοῦτον κινδυνεύειν· καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων κοσμικοῖς θεωρίοις μὴ προσιέναι.

ιε' Ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε etc. ut p. 234.

Πρεσβύτεροι καὶ διάκονοι καὶ κληρικοὶ, οἱ ἐν τῷ ἰδίῳ πράγματι ἔκκλητον παρέχοντες ἐπὶ τὰ πέραν τῆς θαλάσσης, εἰς κοινωνίαν μηδαμῶς δεχθῶσιν.

κη' Ὁμοίως ἤρεσεν, ἵνα οἱ πρεσβύτεροι etc. ut p. 252.

Περὶ τῶν μὴ φροντιζόντων κληρικῶν, ἐντὸς ἐνιαυτοῦ πρᾶξαι τὸ ἴδιον πρᾶγμα.

κθ' Πάλιν ὡρίσθη etc. ut p. 249.

Ἵνα αἱρετοὺς δικαστὰς μὴ ἐξὸν εἶη ἐκκαλεῖσθαι.

ιϛ' Ἐὰν δὲ γένηται ἔκκλητος, καὶ ἐπιλέξηται ὁ ἐκκαλεσάμενος δικαστὰς, καὶ μετ' αὐτοῦ κἀκεῖνος καθ' οὗ ἐξεκαλέσατο, τοῦ λοιποῦ κατὰ ταύτων μηδενὶ ἐξέσω ἐκκαλέσασθαι.

Ὅτι οὐκ ὀφείλει τῶν ἐπιλεγομένων δικαστῶν ἡ γνώμη ἐξουθενεῖσθαι.

ρκα' Κατὰ δὲ τῶν δικαστῶν τῶν κατὰ κοινὴν συναίνεσιν ἐπιλεγέντων, μὴ ἐξεῖναι ἐκκαλεῖσθαι· ὅς τις δὲ δήποτε ἀποδειχθείη, διὰ μονοτονίαν μὴ θέλειν τοῖς δικασταῖς πειθαρχῆσαι· τοῦτο γινώσκων ὁ τῆς πρώτης καθέδρας ἐπίσκοπος, δώσει γράμματα, ὥστε μηδένα τῶν ἐπισκόπων αὐτῷ κοινωνῆσαι, ἕως οὗ πειθαρχῇ.

Περὶ πρεσβυτέρων καὶ κληρικῶν, ἵνα μὴ ἐκκαλῶνται, εἰ μὴ πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους.

ρκε' Ὁμοίως ἤρεσεν, ἵνα πρεσβύτεροι etc. ut p. 252.

Ἡ ἡ διάταξις τοῦ δ τίτ. τοῦ α βιβλ. φησὶν, ὅτι αἱ τῶν ἐπισκόπων ψῆφοι, ταῖς τῶν ἐπάρχων ἐοίκασιν, ἀφ' ὧν ἐκκαλεῖσθαι οὐκ ἔξεστι· καὶ ἡ κθ διάτ. τοῦ αὐτοῦ τίτ. ὅτι εἴτε μόνος μητροπολίτης, εἴτε μετὰ τῆς συνόδου αὐτοῦ, δικάσει ἐπισκόπῳ ἢ κληρικῷ· καὶ εἰ μὴ στερχθῇ τὰ τετυπωμένα, ὁ τῆς διοικήσεως πατριάρχης σκοπεῖ, καὶ τοῖς ἐξ αὐτοῦ κρινομένοις ἐμμένουσιν, ὡς ἂν εἰ αὐτὸς ἐξ ἀρχῆς ἐδίκασεν· οὐ γὰρ ἐκκαλοῦνται αἱ τῶν πατριαρχῶν ψῆφοι· τὸ αὐτὸ καὶ ἡ β διάτ. τοῦ α τίτ. τῶν νεαρῶν, ἥ τις φησὶν, ὡς εἴ τις τῶν παρὰ ἐπισκόπῳ δικαζομένων, εἴσω δέκα ἡμερῶν ἀντείποι, ὁ τῶν τόπων ἄρχων ἐξεταζέτω τὸ πρᾶγμα, καὶ ἢ βεβαιούτω τὴν ψῆφον καὶ ἐκβιβαζέτω, μὴ δυναμένου τοῦ δεύτερον ἐπὶ τούτῳ ἡττηθέντος ἐκκαλεῖσθαι· ἐναντίως δὲ τῷ ἐπισκόπῳ τοῦ ἄρχοντος ψηφιζομένου, ἡ τοῦ ἄρχοντος ψῆφος ὑπόκειται ἐκκλήτῳ, καὶ κατὰ τὸν νόμον ἀναφέρεται καὶ ἐξετάζεται· ἐὰν δὲ ἀπὸ κελεύσεως ἢ προστάξεως δικάσῃ ἐπίσκοπος, ἡ ἔκκλητος τὴν ψῆφον αὐτοῦ ἐπὶ τὸν παραπέμψαντα τὴν ὑπόθεσιν ἀναπέμπει. (Confer p. 243.)

ΚΕΦ. Ζ.

Ἐὰν ἐπίσκοπος ἔχων πρὸς συνεπίσκοπον, μὴ δικάσηται, ἀλλὰ χειρὶ πράξῃ.

Συνόδου Καρθαγέννης κανὼν ρκ'.

Περὶ τῶν τοῖς λαοῖς οὓς νομίζουσιν αὐτοῖς ἀνήκειν, ἐπιβαλλόντων παρὰ γνώμην τῶν αὐτοὺς κατεχόντων.

ρκ' Ὁμοίως ἤρεσεν, ἵνα οἱσιδήποτε ἐπίσκοποι etc. ut p. 252.

ΚΕΦ. Η.

Πότε δύναται ἐπίσκοπος κινεῖν ἐπισκόπῳ παρὰ ἄρχοντι πολιτικῷ.

Συνόδου Καρθαγέννης κανὼν μή.

Περὶ ἀναβαπτισμάτων καὶ ἀναχειροτονιῶν ἢ μεταβάσεως ἐπισκόπων.

Ἐκεῖνο δὲ ἀναφέρομεν ἐνταλθὲν ἡμῖν etc. ut p. 86. μή

Αὐρήλιος ἐπίσκοπος εἶπε.

Φυλαχθέντος τοῦ τύπου τῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων, ἐὰν ἐπιεικῶς αἰτηθεὶς παρὰ τῆς ὑμετέρας ἀγάπης ἀποστῆναι παρητήσατο, ἐπειδὴ ἐκ τῆς οἰκείας καταφρονήσεως καὶ μενοτονίας περιῆλθεν εἰς ἀρχοντικὴν ἐξουσίαν.

Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον· τοῦτο πᾶσιν ἀρέσκει. – Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· δίκαιόν ἐστιν, ἀρέσκει.

ΚΕΦ. Θ.

Περὶ τῶν ἀδίκως ἐκβαλλομένων ἐπισκόπων καὶ κληρικῶν.

Συνόδου Σαρδικῆς κανὼν ιδ΄ ἢ ιθ΄.

Ὅσιος ἐπίσκοπος εἶπε· τὸ δὲ πάντοτέ με κινοῦν etc. κδ
ut p. 251.

Ὅσιος ἐπίσκοπος εἶπεν· ὑποβάλλοντος καὶ τοῦ ἀδελφοῦ ιη
ἡμῶν Ὀλυμπίου, καὶ τοῦτο ἤρεσεν· ἵνα εἴ τις ἐπίσκοπος, βίαν ὑπομείνας ἀδίκως ἐκβληθείη, ἢ διὰ τὴν ἐπιστήμην, ἢ διὰ τὴν ὁμολογίαν τῆς καθολικῆς ἐκκλησίας, ἢ διὰ τὴν τῆς ἀληθείας ἐκδικίαν, καὶ φεύγων τὸν κίνδυνον, ἀθῶος καὶ καθωσιωμένος ὢν, εἰς ἑτέραν ἔλθοι πόλιν, μὴ κωλυέσθω

ἐκεῖ ἐπὶ τοσοῦτον διάγειν, ἕως ἂν ἐπανέλθῃ, ἢ τῆς ὕβρεως τῆς γεγενημένης αὐτῷ ἀπαλλαγὴν εὑρέσθαι δυνηθῇ· σκληρὸν γὰρ καὶ βαρύτατον, ἐλασίαν ἄδικον ὑπομεμενηκότα μὴ ὑποδέχεσθαι ὑφ' ἡμῶν· πλείστη γὰρ καλοκαγαθία καὶ φιλοφρονήσει ὀφείλει παραδέχεσθαι ὁ τοιοῦτος.

Ἅπαντες εἰρήκασιν· ἤρεσε καὶ τοῦτο.

ιθ' Γαυδέντιος ἐπίσκοπος εἶπεν· οἶδας, ἀδελφὲ Ἀέτιε, ὡς τὸ τηνικαῦτά ποτε καταςαθέντος σου ἐπισκόπου, ἡ εἰρήνη λοιπὸν ἐβράβευσεν· ἵνα μή τινα λείψανα διχονοίας περὶ τῶν ἐκκλησιαστικῶν ἐναπομείνῃ, ἔδοξε καὶ τοὺς παρὰ Μουσαίου καταςαθέντας, καὶ τοὺς παρὰ Εὐτυχιανοῦ, ἐπειδὴ αὐτῶν οὐδεμία αἰτία εὑρίσκοιτο, πάντας ὑποδεχθῆναι.

Ἡ κγ' διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. δέχεται τὴν μνήμην Φλαβιανοῦ, καὶ ἐκβάλλει Εὐτυχέα· ἡ δὲ λη' διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι οὐ δεῖ τοὺς ἐπισκόπους καὶ κληρικοὺς, ἀναγκάζειν τινὰς καρποφορεῖν, ἢ ἀγγαρείας διδόναι, ἢ ἐπηρεάζειν, ἢ ἀφορίζειν, ἢ ἀναθεματίζειν, ἢ μὴ βαπτίζειν, ἢ μὴ διδόναι κοινωνίαν διὰ ταῦτα, κἂν ἔθος τοιοῦτον ἐκράτησεν· ὁ δὲ παραβαίνων, ἐκπίπτει τῆς ἐκκλησίας καὶ τῆς διοικήσεως αὐτῆς, καὶ δίδωσι ί λίτρας· ταῦτα δὲ κρατεῖ ἐν μόνῃ τῇ βασιλευούσῃ καὶ τῇ ἐνορίᾳ αὐτῆς, καὶ τοῖς ἀνήκουσι τόποις μητροπολίτου, ὑπὸ τοῦ πατριάρχου χειροτονουμένοις, ἢ τοῖς ἐξ ἐκείνων γινομένοις ἐπισκόποις· καὶ ἡ ιζ' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐπίσκοπος ἢ πρεσβύτερος, χωρὶς κανονικῆς αἰτίας, ἀφορίζων τινὰ τῆς κοινωνίας, λυομένου τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως, αὐτὸς ἀκοινώνητος γίνεται, ἐφ' ὅσον χρόνον ἱερεὺς ὑφ' ὃν τελεῖ συνίδοι.

ΚΕΦ. Ι.

Περὶ τῶν ἀφοριζομένων ἢ ἐκβαλλομένων τῆς ἐκκλησίας ἢ τῆς κοινωνίας.

Ἀποστόλων κανὼν ιβ' ιγ' λβ' να'.

Εἴ τις κληρικὸς ἢ λαϊκὸς, ἀφωρισμένος ἤτοι ἄδεκτος, ἀπελθὼν ἐν ἑτέρᾳ πόλει δεχθῇ, ἄνευ γραμμάτων συστατικῶν, ἀφοριζέσθω καὶ ὁ δεξάμενος καὶ ὁ δεχθείς. ιβ'

Εἰ δὲ ἀφωρισμένος εἴη, ἐπιτεινέσθω αὐτῷ ὁ ἀφορισμός. ιγ'

Εἴ τις πρεσβύτερος ἢ διάκονος ὑπὸ ἐπισκόπου γένηται ἐν ἀφορισμῷ, τοῦτον μὴ ἐξεῖναι παρ' ἑτέρου δεχθῆναι ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτὸν· εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν ἐπίσκοπος. λβ'

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου καὶ κρεῶν καὶ οἴνου οὐ δι' ἄσκησιν ἀλλὰ διὰ βδελυρίαν ἀπέχεται, ὅτι πάντα καλὰ λίαν, καὶ ὅτι ἄρσεν καὶ θῆλυ ἐποιήσεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἀλλὰ βλασφημῶν διαβάλλει τὴν δημιουργίαν, ἢ διορθούσθω ἢ καθαιρείσθω, καὶ τῆς ἐκκλησίας ἀποβαλλέσθω· ὡσαύτως καὶ λαϊκός. να'

Συνόδου Νικαίας κανὼν ε' ιβ' ιγ' ις'.

Περὶ τῶν ἀκοινωνήτων γενομένων etc. ut p. 207. ε'

Οἱ δὲ προσκληθέντες μὲν ὑπὸ τῆς χάριτος, καὶ τὴν πρώτην ὁρμὴν ἐνδειξάμενοι, καὶ ἀποθέμενοι τὰς ζώνας, μετὰ δὲ ταῦτα ἐπὶ τὸν οἰκεῖον ἔμετον ἀναδραμόντες ὡς κύνες, ὥς τινας καὶ ἀργύρια προέσθαι, καὶ βενεφικίοις κατορθῶσαι τὸ ἀνάξρατεύσασθαι, οὗτοι δέκα ἔτη ὑποπιπτέτωσαν, μετὰ τὸν τῆς τριετοῦς ἀκροάσεως χρόνον· ἐφ' ἅπασι δὲ τούτοις προσήκει ἐξετάζειν τὴν προαίρεσιν καὶ τὸ εἶδος τῆς μετα- ιβ'

νοίας· ὅσοι μὲν γὰρ φόβῳ καὶ δάκρυσι καὶ ὑπομονῇ καὶ ἀγαθοεργίαις τὴν ἐπιστροφὴν, ἔργῳ καὶ οὐ σχήματι ἐπιδείκνυνται, οὗτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, εἰκότως τῶν εὐχῶν κοινωνήσουσι, μετὰ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ, καὶ φιλανθρωποτέρόν τι περὶ αὐτῶν βουλεύσασθαι· ὅσοι δὲ ἀδιαφόρως ἤνεγκαν, καὶ τὸ σχῆμα τοῦ εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκεῖν αὐτοῖς ἡγήσαντο πρὸς τὴν ἐπιστροφὴν, οὗτοι ἐξάπαντος πληρούτωσαν τὸν χρόνον.

ιγ΄ Περὶ δὲ τῶν ἐξοδευόντων, ὁ παλαιὸς καὶ κανονικὸς νόμος φυλαχθήσεται καὶ νῦν, ὥστε εἴ τις ἐξοδεύοι, τοῦ τελευταίου καὶ ἀναγκαιοτάτου ἐφοδίου τοῦτον μὴ ἀποχερεῖσθαι· εἰ δὲ ἀπογνωσθεὶς καὶ κοινωνίας τυχὼν, μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης ἔστω, ἄχρις ἂν πληρωθῇ ὁ ὁρισθεὶς ὑπὸ τῆς μεγάλης συνόδου χρόνος· καθόλου δὲ καὶ περὶ παντὸς σύτινοσοῦν ἐξοδεύοντος, αἰτοῦντος τοῦ μετασχεῖν εὐχαριστίας, ὁ ἐπίσκοπος μετὰ δοκιμασίας μεταδιδότω τῆς προσφορᾶς.

ιε΄ Ὅσοι ῥιψοκινδύνως etc. ut p. 87.

Συνόδου Ἀντιοχείας κανὼν ς΄.

ς΄ Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἀκοινώνητος γεγόνε etc. ut p. 248.

Συνόδου Λαοδικείας κανὼν λς΄.

λς΄ Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς, μάγους ἢ ἐπαοιδοὺς εἶναι, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, ἢ ποιεῖν τὰ λεγόμενα φυλακτήρια, ἃ τινά ἐστι δεσμωτήρια τῶν ψυχῶν αὐτῶν· τοὺς δὲ φοροῦντας, ῥίπτεσθαι ἐκ τῆς ἐκκλησίας ἐκελεύσαμεν.

Συνόδου Χαλκηδόνος κανὼν ὅ ις΄.

ε Οἱ ἀληθῶς καὶ εἰλικρινῶς τὸν μονήρη μετιόντες βίον,

τῆς προσηκούσης ἀξιούσθωσαν τιμῆς· ἐπειδὴ δέ τινες τῷ μοναχικῷ κεχρημένοι προσχήματι, τάς τε ἐκκλησίας καὶ τὰ πολιτικὰ διαταράσσουσι πράγματα, περιϊόντες διαφόρως ἐν ταῖς πόλεσιν, οὐ μὴν ἀλλὰ καὶ μοναστήρια συνιστᾶν ἑαυτοῖς ἐπιτηδεύοντες, ἔδοξε μηδένα μὲν μηδαμοῦ οἰκοδομεῖν, μὴ δὲ συνιστᾶν μοναστήριον ἢ εὐκτήριον οἶκον, παρὰ γνώμην τοῦ τῆς πόλεως ἐπισκόπου· τοὺς καθ' ἑκάστην πόλιν καὶ χώραν μονάζοντας ὑποτετάχθαι τῷ ἐπισκόπῳ, καὶ τὴν ἡσυχίαν ἀσπάζεσθαι, καὶ προσέχειν μόνῃ τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, ἐν οἷς τόποις ἀπετάξαντο προσκαρτεροῦντες· μήτε δὲ ἐκκλησιαστικοῖς, μήτε βιωτικοῖς παρενοχλεῖν πράγμασιν ἢ ἐπικοινωνεῖν, καταλιμπάνοντας τὰ ἴδια μοναστήρια, εἰ μή ποτε ἄρα ἐπιτραπεῖεν διὰ χρείαν ἀναγκαίαν ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου· μηδένα δὲ προσδέχεσθαι ἐν τοῖς μοναστηρίοις δοῦλον ἐπὶ τῷ μονάσαι, παρὰ γνώμην τοῦ ἰδίου δεσπότου· τὸν δὲ παραβαίνοντα τοῦτον ἡμῶν τὸν ὅρον, ὡρίσαμεν ἀκοινώνητον εἶναι, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημῆται· τὸν μέν τοι ἐπίσκοπον τῆς πόλεως, χρὴ τὴν δέουσαν πρόνοιαν ποιεῖσθαι τῶν μοναστηρίων.

Παρθένον ἑαυτὴν ἀναθεῖσαν τῷ δεσπότῃ Θεῷ, ὡσαύτως ις΄
δὲ καὶ μονάζοντα, μὴ ἐξεῖναι γάμῳ προσομιλεῖν· εἰ δέ γε εὑρεθεῖεν τοῦτο ποιοῦντες, ἔστωσαν ἀκοινώνητοι· ὡρίσαμεν δὲ ἔχειν τὴν αὐθεντίαν τῆς ἐπ' αὐτοῖς φιλανθρωπίας τὸν κατὰ τόπον ἐπίσκοπον.

Συνόδου Σαρδικῆς κανὼν ιγ΄ ιδ΄.

Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο πᾶσιν ἀρεσάτω, ἵνα ιγ΄
εἴτε διάκονος, εἴτε πρεσβύτερος, ἢ καί τις τῶν κληρικῶν ἀκοινώνητος γένηται, καὶ πρὸς ἕτερον ἐπίσκοπον τὸν εἰδότα αὐτὸν καταφύγοι, γινώσκοντα ἀποκεκινῆσθαι αὐτὸν τῆς κοι-

νωνίας παρὰ τοῦ ἰδίου ἐπισκόπου, μὴ χρῆναι τῷ ἀδελφῷ αὐτοῦ καὶ ἐπισκόπῳ ὕβριν ποιοῦντα, παρέχειν αὐτῷ κοινωνίαν· εἰ δὲ τολμήσει τοῦτο ποιῆσαι γινωσκέτω, συνελθόντων ἐπισκόπων, ἀπολογίᾳ ἑαυτὸν ὑπεύθυνον καθεστάναι.

Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· αὕτη ἡ κρίσις καὶ τὴν εἰρήνην πάντοτε διαφυλάξει, καὶ διατηρήσει τὴν πάντων ὁμόνοιαν.

ιδ' Ὅσιος ἐπίσκοπος εἶπε· τὸ δὲ πάντοτέ με κινοῦν etc. ut p. 251.

Πάντες εἰρήκασιν· ὁ ἐκβαλλόμενος ἐχέτω ἐξουσίαν.

Συνόδου Καρθαγένης κανὼν ξέ.

Περὶ Ἀκυτίου τοῦ ἐπισκόπου τοῦ καταδικασθέντος.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

ξέ' Τοῦ Ἀκυτίου ἔτι μὲν τοῦ ἔκπαλαι κατὰ τὴν ἰδίαν ἀξίαν τῇ τῶν ἐπισκόπων γνώμῃ καταδικασθέντος, τὸ πρᾶγμα οὐκ εἶμαι παρεατέον τῇ πρεσβείᾳ, ἵνα ἐὰν τυχὸν τοῦτον εὕροι ἐν ἐκείνοις τοῖς μέρεσιν, ἔχω πρὸς φροντίδος τῷ αὐτῷ ἡμῶν ἀδελφῷ ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, ὡς χρὴ καὶ ὅπου ἐξὸν εἴη κατ' ἐκείνου διαπράξασθαι.

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· – πολὺ ἀρέσκει καὶ αὕτη ἡ ἐξακολούθησις, μάλιστα ὅτι ἔκπαλαι καταδεδίκασται ὁ αὐτὸς Ἀκύτιος, καὶ ἡ τούτου ἀναίσχυντος ἡσυχία ὑπὲρ τῆς καταστάσεως τῆς ἐκκλησιαστικῆς, καὶ σωτηρίας τῆς ἐκκλησίας μᾶλλον καὶ μᾶλλον πανταχοῦ καταμαχητέα ἐστί.

Καὶ ὑπέγραψαν.

Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα.

Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν κα'.

Οἱ ἐπ' ἐγκλήμασι κανονικοῖς ὑπεύθυνοι γινόμενοι, καὶ κα' διὰ τοῦτο παντελεῖ τὲ καὶ διηνεκεῖ καθαιρέσει ὑποβαλλόμενοι, καὶ ἐν τῷ τῶν λαϊκῶν ἀπωθούμενοι τόπῳ, εἰ μὲν ἑκουσίως πρὸς ἐπιστροφὴν ὁρῶντες, ἀθετοῦσι τὴν ἁμαρτίαν δι' ἧς τῆς χάριτος ἐκπεπτώκασι, καὶ ταύτης τέλεον ἑαυτοὺς καθιστῶσιν ἀλλοτρίους, τῷ τοῦ κληρικοῦ κειρέσθωσαν σχήματι· εἰ δὲ μὴ τοῦτο αὐθαιρέτως αἱρήσονται, καθάπερ οἱ λαϊκοὶ τὴν κόμην ἐπιτρεφέτωσαν, ὡς τὴν ἐν κόσμῳ ἀναστροφὴν, τῆς οὐρανίου ζωῆς προτιμήσαντες.

Ἡ ιδ' διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ. λέγει, ὅτι ὁ κατὰ δοκιμασίαν ἐπισκόπων ἐκβληθεὶς ἐπισκοπῆς, ἐάν τι παιδὶ ταραχῶδες καὶ θέλῃ ἐπιβῆναι τῇ αὐτῇ ἐπισκοπῇ, πόρρω τῆς πόλεως ρ' μίλια ἐκβάλλεται, καὶ οὐκ ἔχει ἄδειαν προσιέναι βασιλεῖ ἢ λαμβάνειν ἀντίγραφον· ἀλλ' εἰ καὶ λάβοι, οὐκ ἀπολαύει, καὶ ὁ βοηθῶν αὐτῷ ἀγανακτεῖται· καὶ ἡ κγ' διάτ. τοῦ αὐτοῦ τίτ. ἐκβάλλει Εὐτυχία· καὶ ἡ ε' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν ἐκβάλλει Πέτρον, Ἄντιμον, Σεβῆρον, καὶ Ζωόραν, ἀπειλοῦσα τοῖς ἔχουσι συγγράμματα Σεβήρου καὶ μὴ καίουσιν αὐτὰ, ποινὰς ἑτέρας καὶ χειρὸς ἀποκοπήν· ἡ δὲ β' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐπίσκοπος κανονικῶς τῆς ἱερωσύνης ἐκπεσὼν, καὶ ἐπιβαίνων τῇ πόλει ἀφ' ἧς ἐξεβλήθη, ἢ καταλιμπάνων τὸν τόπον ἐν ᾧ διάγειν ἐκελεύσθη, μοναστηρίῳ ἄλλης ἐπαρχίας ἐμβάλλεται.

ΚΕΦ. ΙΑ.

Ἐκ ποίων αἰτιῶν ἀφορίζεται ἐπίσκοπος, ἢ κληρικὸς, ἢ λαϊκὸς· καὶ ἐὰν ἐπίσκοπος κατηγορούμενος, διὰ λιβέλλου παραιτῆται τὴν ἐπισκοπήν· καὶ ὅτι οὐ δεῖ τὸν ἐπίσκοπον ἐκβαλλόμενον ἀλόγως ἢ εὐλόγως, εἰς πρεσβυτέρου κατάγεσθαι βαθμόν.

Ἀποστόλων κανὼν ε΄ η΄ θ΄ ι΄ ιβ΄ ιγ΄ ιε΄ ις΄ κθ΄ λς΄
μγ΄ με΄ μη΄ νδ΄ νς΄ νζ΄ νη΄ νθ΄ ξε΄ ξζ΄
ο΄ οα΄ οβ΄ ογ΄ ος΄ πδ΄. (1)

ε΄ Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας· ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω.

η΄ Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ, προσφορᾶς γενομένης μὴ μεταλάβοι etc. ut p. 144-145.

θ΄ Πάντας τοὺς εἰσιόντας πιστοὺς, καὶ τῶν γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας τῇ ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή.

ι΄ Εἴ τις ἀκοινωνήτῳ κἂν ἐν οἴκῳ συνεύξεται, οὗτος ἀφοριζέσθω.

ιβ΄ Εἴ τις κληρικὸς ἢ λαϊκὸς, ἀφωρισμένος ἤτοι ἄδεκτος, ἀπελθὼν ἐν ἑτέρᾳ πόλει δεχθῇ ἄνευ γραμμάτων συστατικῶν, ἀφοριζέσθω καὶ ὁ δεξάμενος καὶ ὁ δεχθείς.

ιγ΄ Εἰ δὲ ἀφωρισμένος εἴη, ἐπιτεινέσθω αὐτῷ ὁ ἀφορισμὸς, ὡς ψευσαμένῳ καὶ ἀπατήσαντι τὴν ἐκκλησίαν τοῦ Θεοῦ.

(1) Etsi aliquot ex his forte canonibus supra iam relati fuere, tamen eos propter brevitatem et opportunitatem repetere heic non piguit.

Εἴ τις πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τῶν καταλόγου τῶν κληρικῶν, ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθοι, καὶ παντελῶς μεταστὰς διατρίβοι ἐν ἄλλῃ παροικίᾳ παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, τοῦτον κελεύομεν μηκέτι λειτουργεῖν, εἰ μάλιστα προσκαλουμένου αὐτὸν τοῦ ἐπισκόπου αὐτοῦ ἐπανελθεῖν, οὐχ ὑπήκουσεν· ἐπιμένων τῇ ἀταξίᾳ, ὡς λαϊκὸς μέν τοι ἐκεῖσε κοινωνείτω. ιε'

Εἰ δὲ ὁ ἐπίσκοπος, παρ' ᾧ τυγχάνουσι, παρ' οὐδὲν λογισάμενος τὴν κατ' αὐτῶν ὁρισθεῖσαν ἀργίαν, δέξεται αὐτοὺς ὡς κληρικούς, ἀφοριζέσθω ὡς διδάσκαλος ἀταξίας. ις'

Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας ἀφοριζέσθω ἔτη τρία· ἐπίβουλος γάρ ἐστι τῆς ἑαυτοῦ ζωῆς. κδ'

Εἴ τις χειροτονηθεὶς ἐπίσκοπος etc. ut p. 56. λς'

Ὑποδιάκονος ἢ ἀναγνώστης ἢ ψάλτης τὰ ὅμοια ποιῶν, μὴ ἢ παυσάσθω ἢ ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκός. μη'

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, αἱρετικοῖς συνευξάμενος μόνον etc. ut p. 148. με'

Εἴ τις λαϊκὸς τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλὼν ἑτέραν λάβοι, ἢ παρὰ ἄλλου ἀπολελυμένην, ἀφοριζέσθω. μη'

Εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθείη ἐσθίων, ἀφοριζέσθω, πάρεξ τοῦ ἐν πανδοχείῳ ἐν ὁδῷ δι' ἀνάγκην καταλύοντος. νδ'

Εἴ τις κληρικὸς ὑβρίσει πρεσβύτερον ἢ διάκονον, ἀφοριζέσθω. νς'

Εἴ τις κληρικὸς χωλὸν ἢ κωφὸν ἢ τυφλὸν ἢ τὰς βόσεις πεπληγμένον χλευάσει, ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκός. νζ'

Ἐπίσκοπος ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου ἢ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ῥᾳθυμίᾳ, καθαιρείσθω. νη'

νδ' Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, τινὸς τῶν κληρικῶν ἐνδεοῦς ὄντος, μὴ ἐπιχορηγεῖ τὰ δέοντα, ἀφοριζέσθω· ἐπιμένων καθαιρείσθω, ὡς φονεύσας τὴν ἀδελφὸν αὐτοῦ.

ξ' Εἴ τις κληρικὸς ἢ λαϊκὸς εἰσέλθοι εἰς συναγωγὴν ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω καὶ ἀφοριζέσθω.

ξζ Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχει, ἀφοριζέσθω· μὴ ἐξεῖναι δὲ αὐτῷ ἑτέραν λαμβάνειν, ἀλλ' ἐκείνην κατέχειν ἣν καὶ ἡρετίσατο, κἂν πενιχρὰ τυγχάνῃ.

ο' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, νηστεύοι μετὰ ἰουδαίων, ἢ ἑορτάζοι μετ' αὐτῶν, ἢ δέχεται παρ' αὐτῶν τὰ τῆς ἑορτῆς ξένια, οἷον ἄζυμα, ἢ τί τοιοῦτο, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

οα' Εἴ τις χριστιανὸς ἔλαιον ἀπενέγκοι εἰς ἱερὸν ἐθνῶν, ἢ εἰς συναγωγὴν ἰουδαίων ἐν ταῖς ἑορταῖς αὐτῶν, ἢ λύχνους ἀνάψει, ἀφοριζέσθω.

οβ' Εἴ τις κληρικὸς ἢ λαϊκὸς, ἀπὸ τῆς ἁγίας ἐκκλησίας ἀφέληται κηρὸν ἢ ἔλαιον, ἀφοριζέσθω, καὶ τὸ ἐπίπεμπτον προστιθέτω μεθ' οὗ ἔλαβεν.

ογ' Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν ἢ ὀθόνην etc. ut p. 118.

ος' Ὅτι μὴ χρὴ τὸν ἐπίσκοπον τῷ ἀδελφῷ etc. ut p. 58.

πδ' Ὅς τις ὑβρίσει βασιλέα ἢ ἄρχοντα παρὰ τὸ δίκαιον, τιμωρίαν τινυέτω· καὶ εἰ μὲν κληρικὸς, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Συνόδου Χαλκηδόνος ἐκ τῆς πράξεως τῆς περὶ Φωτίου ἐπισκόπου Τύρου, καὶ Εὐσταθίου ἐπισκόπου Βηρυτοῦ.

α' Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον. Περὶ τῶν ἐπισκόπων τῶν χειροτονηθέντων μὲν παρὰ Φω-

τίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, ἀποκινηθέντων δὲ παρὰ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, καὶ μετὰ τὴν ἐπισκοπὴν κελευσθέντων εἶναι πρεσβυτέρων, τί παρίστανται τῇ ἁγίᾳ συνόδῳ;

Συνόδου Ἀγκύρας κανὼν ιή.

Εἴ τινες ἐπίσκοποι καταστα**θ**έντες etc. ut p. 57. ιή

Συνόδου Νεοκαισαρείας κανὼν α'.

Πρεσβύτερος ἐὰν γήμῃ, τῆς τάξεως αὐτὸν μετατίθεσθαι· α'
ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, ἐξωθεῖσθαι αὐτὸν τέλεον, καὶ ἄγεσθαι εἰς μετάνοιαν.

Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. α' γ'.

Ἕκαστα τῶν καθ' ἡμᾶς πραγμάτων etc. ut p. 42-44. α'
usque ad προσαγορεύει.

ΚΕΦ. ΙΒ.

Ὅτι ἐφ' ὅσον χρόνον ὁ ἐπίσκοπος οὐ κοινωνεῖ τῷ παρ' αὐτοῦ ἀφορισθέντι, οὔτε οἱ ἄλλοι ἐπίσκοποι κοινωνοῦσι τῷ ἀφορίσαντι.

Συνόδου Καρθαγέννης κανὼν ρλγ'.

Ἵνα μὴ ὡς ἔτυχε τινὰ στερήσῃ τῆς κοινωνίας ὁ ἐπίσκοπος.

Ἐφ' ὅσον τῷ ἀφωρισμένῳ μὴ κοινωνεῖ ὁ ἴδιος ἐπίσκοπος, ρλγ'
τῷ αὐτῷ ἐπισκόπῳ ἄλλοι μὴ συγκοινωνήσωσιν ἐπίσκοποι· ὥστε μᾶλλον παραφυλάττεσθαι τὸν ἐπίσκοπον μὴ λέγειν κατά τινος, ὅπερ ἀποδείξεσιν ἐλέγξαι παρ' ἑτέροις οὐ δύναται.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Κατὰ τὰ ὁρισθέντα τῇ γνώμῃ πάσης τῆς συναθροισθείσης συνόδου καὶ τῆς ἐμῆς μετριότητος, ἀρέσκει πάντων τῶν πραγμάτων τοῦ προδηλωθέντος ὁλοτελοῦς τίτλου ποιῆσαι τὸ

συμπέρασμα, καὶ τὴν συζήτησιν τῆς διατυπώσεως τῆς παρούσης ἡμέρας τὰ ἐκκλησιαστικὰ πεπραγμένα ἀναδέξονται· ἅ τινα δὲ ἀκμὴν οὐκ ἐπεξειργάσθησαν, τῇ ἐξῆς ἡμέρᾳ διὰ τῶν ἀδελφῶν ἡμῶν Φαυστίνου τοῦ ἐπισκόπου, Φιλίππου καὶ Ἀσέλλου τῶν πρεσβυτέρων, τῷ προσκυνητῷ ἀδελφῷ ἡμῶν καὶ συνεπισκόπῳ Βονιφατίῳ ἀντιγράψομεν.

ΚΕΦ. ΙΓ.

Πόσοι ἐπίσκοποι ποιοῦσι καθαίρεσιν ἐπισκόπου.

Συνόδου Κωνσταντινουπόλεως τῆς κατὰ τοὺς ἐπισκόπους Ἀραβίας.

Ἀραβιανὸς ἐπίσκοπος Ἀγκύρας εἶπεν.

Οὐ τῆς παρούσης ἕνεκα δίκης, ἀλλὰ τοῦ ἐφεξῆς βίου παντὸς δεδοικὼς τοῦτο, ἀξιῶ τὴν ἁγίαν σύνοδον διαλαλῆσαι· ἔξεσι γενέσθαι καθαίρεσιν παρὰ δύο ἐπισκόπων, ἢ οὔ; καὶ κατὰ ἀπόντος ἔξεστιν, ἢ οὔ; εὐδὲν πρόκριμαι πρὸς τὴν παροῦσαν ὑπόθεσιν, δέδοικα δὲ μὴ ἐκ τῶν ὑπομνημάτων τούτων τινὲς λαβόμενοι ἐξουσίαν, τοιαῦτα τολμήσωσιν· ἀξιῶ ὑμᾶς ἀποκρίνασθαι.

Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν.

Ἐπαινετῶς εἰσηγήσατο ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀραβιανὸς· οὐ μὴν δυναμένης δίκης ἐξομοιοῦσθαι, τὸ παρελθὸν μὴ κατακρίναντες, τὸ ἐξῆς ἀσφαλισώμεθα.

Ἀραβιανὸς ἐπίσκοπος Ἀγκύρας εἶπε.

Τὸ παρελθὸν ἡ τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ σύνοδος κατακρινεῖ, ἡ κελεύουσα μὴ ἐλάττους εἶναι τριῶν τοὺς χειροτονοῦντας, μὴ δὲ ἀπόντος μητροπολίτου· τοῦ δὲ μέλλοντος ἕνεκεν δεδοικὼς ἐγὼ, τὴν ἐρώτησιν ἐποιησάμην· ἀξιῶ οὖν ὑμᾶς σαφῶς διαλαλῆσαι, καὶ μήτε ἠρτημένως μήτε

ἀμφιβόλως, ὥστε μὴ ἐξεῖναι ὑπὸ δύο ἀνθρώπων μήτε χειροτονεῖσθαι μήτε καθαιρεῖσθαι ἐπίσκοπον ἀκολούθως τῇ ἐν Νικαίᾳ συνόδῳ. – Καὶ μεθ' ἕτερα.

Θεόφιλος Ἀλεξανδρείας εἶπεν.

Ἐπὶ τῶν ἀπελθόντων, οὐ δυνατὸν ψῆφον ἐνεγκεῖν ἀγανακτήσεως, ἐπειδήπερ μὴ παρόντες κατεκρίθησαν· εἰ μέν τοι γε περὶ τῶν μελλόντων διασκοπόιη τίς, τῶν ὀφειλόντων καθελεῖν, φαίνεταί μοι μὴ μόνον τρεῖς παρεῖναι προσήκειν, ἀλλὰ καὶ εἰ δυνατὸν τοὺς πάντας ἐπαρχεώτας, ἵνα τῇ τῶν πολλῶν ψήφῳ, ἀκριβεστέρα ἡ κατάκρισις τοῦ ἀξίου τῆς καθαιρέσεως δεικνύηται, παρόντος καὶ κρινομένου.

Νεκτάριος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπε.

Νομίμων εἰσηγήσεων καὶ δογμάτων πρυτανευομένων ἀκόλουθον, οὐ διὰ προσώπων τινὰς αἰτίας τὰ τοιαῦτα δογματίζεσθαι· τοιγαροῦν καθάπερ ὁ ἁγιωτάτος ἐπίσκοπος Ἀραβιανὸς εἰσηγήσατο, τὰ μέλλοντα ἀσφαλίσασθαι βουλόμενος, ἀκόλουθος καὶ φιλάνθρωπος ἡ τοῦ ἁγιωτάτου ἐπισκόπου Θεοφίλου ψῆφος διορισαμένη, μὴ χρῆναι πρὸς τὸ ἑξῆς μὴ δὲ παρὰ τριῶν, μή τοι γε παρὰ δύο, τὸν ὑπεύθυνον δοκιμαζόμενον καθαιρεῖσθαι· ἀλλὰ γὰρ πλείονες συνόδου ψήφῳ, καὶ τῶν τῆς ἐπαρχίας, καθὼς καὶ οἱ ἀποστολικοὶ κανόνες διωρίσαντο.

Φλαβιανὸς ἐπίσκοπος Ἀντιοχείας εἶπεν.

Ἅπερ κατέθεντο οἱ περὶ τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἐπίσκοπον Νεκτάριον, καὶ τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἐπίσκοπον Θεόφιλον δῆλα, καὶ στέργομεν πάντες οἱ ἐκκλησιαστικοί.

ΚΕΦ. ΙΔ.

Ἐκ ποίων αἰτιῶν καθαιρεῖται.

Ἀποστόλων κανὼν γ΄ ε΄ ς΄ ζ ια΄ κγ΄ κε΄ κζ΄ κϑ΄ λ΄ λα΄ λε΄
μβ΄ μϑ΄ με΄ μς΄ μζ΄ μϑ΄ ν΄ να΄ νβ΄ νγ΄ νε΄ νϑ΄ ξ΄
ξβ΄ ξγ΄ ξϑ΄ ξε΄ ξς΄ ξη΄ ξϑ΄ ο΄ πα΄ πγ΄ πϑ΄.

γ΄ Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος παρὰ τὴν τοῦ κυρίου διάταξιν etc. ut p. 134.

ε΄ Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας· ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω. (ut p. 264.)

ς΄ Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μὴ, καθαιρείσθω.

ζ Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἁγίαν τοῦ πάσχα ἡμέραν, πρὸ τῆς ἐαρινῆς ἰσημερίας μετὰ Ἰουδαίων ἐπιτελέσει, καθαιρείσθω.

ια΄ Εἴ τις καθῃρημένῳ, κληρικὸς ὢν, ὡς κληρικῷ συνεύξεται, καθαιρείσθω καὶ αὐτός.

κγ΄ Εἴ τις κληρικὸς ὢν ἑαυτὸν ἀκρωτηριάσει, καθαιρείσθω· φονεὺς γάρ ἐστιν ἑαυτοῦ.

κε΄ Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐπὶ πορνείᾳ ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ ἁλοὺς, καθαιρείσθω καὶ μὴ ἀφοριζέσθω· λέγει γὰρ ἡ γραφὴ, οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτὸ· ὡσαύτως δὲ καὶ οἱ λοιποὶ κληρικοί.

κζ΄ Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ διὰ τοιούτων φοβεῖν ἐθέλοντα, καθαιρεῖσθαι προστάσσομεν· σὺδαμοῦ γὰρ ὁ κύριος τοῦτο ἡμᾶς ἐδίδαξε· τοὐναντίον δὲ αὐτὸς τυπτόμενος, οὐκ ἀντέτυπτε· λοιδορούμενος, οὐκ ἀντελοιδόρει· πάσχων, οὐκ ἠπείλει.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων etc. ut p. 65-66. κθ΄

Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος etc. ut p. 62. λ΄

Εἴ τις πρεσβύτερος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, χωρὶς συναγάγῃ etc. ut p. 124. λα΄

Ἐπίσκοπον μὴ τολμᾷν ἔξω τῶν ἑαυτοῦ ὅρων, χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας ἢ τὰς χώρας γνώμην, καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησε. λβ΄

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κύβοις σχολάζων καὶ μέθαις, ἢ παυσάσθω, ἢ καθαιρείσθω. μγ΄

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τόκους ἀπαιτῶν τοὺς δανειζομένους, ἢ παυσάσθω, ἢ καθαιρείσθω. μδ΄

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, αἱρετικοῖς συνευξάμενος μόνον etc. ut p. 265. με΄

Ἐπίσκοπον, ἢ πρεσβύτερον, αἱρετικῶν δεξαμένους βάπτισμα ἢ θυσίαν etc. ut p. 148. μς΄

Ἐπίσκοπος ἢ πρεσβύτερος, τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα etc. ut p. 161. μζ΄

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, κατὰ τὴν τοῦ κυρίου διάταξιν etc. ut p. 1. et 154. μθ΄

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, μὴ τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελέσει etc. ut p. 1. et 155. ν΄

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου etc. ut p. 259. να΄

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, τὸν ἐπιστρέφοντα ἀπὸ ἁμαρτίας οὐ προσδέχεται, ἀλλὰ ἀποβάλλεται, καθαιρείσθω, ὅτι λυπεῖ Χριστὸν τὸν εἰπόντα, χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. νβ΄

νγ' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν, οὐ μεταλαμβάνει κρεῶν καὶ οἴνου, βδελυσσόμενος καὶ οὐ δι' ἄσκησιν, καθαιρείσθω, ὡς κεκαυτηριασμένος τὴν ἰδίαν συνείδησιν, καὶ αἴτιος σκανδάλου πολλοῖς γινόμενος.

νδ' Εἴ τις κληρικὸς ὑβρίσει τὸν ἐπίσκοπον, καθαιρείσθω· ἄρχοντα γὰρ τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.

νε' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, τινὸς τῶν κληρικῶν ἐνδεοῦς ὄντος etc. ut p. 266.

ξ' Εἴ τις τὰ ψευδεπίγραφα etc. ut p. 129.

ξβ' Εἴ τις κληρικὸς διὰ φόβον ἀνθρώπινον ἰουδαίου ἢ Ἕλληνος ἢ αἱρετικοῦ ἀρνήσεται, εἰ μὲν τὸ ὄνομα τοῦ Χριστοῦ, ἀποβαλλέσθω· εἰ δὲ τὸ ὄνομα τοῦ κληρικοῦ, καθαιρείσθω· μετανοήσας δὲ, ὡς λαϊκὸς δεχθήτω.

ξγ' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, φάγῃ κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ, ἢ θηριάλωτον ἢ θνησιμαῖον, καθαιρείσθω· τοῦτο γὰρ ὁ νόμος ἀπεῖπεν· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

ξδ' Εἴ τις κληρικὸς εὑρεθῇ τὴν κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ξε' Εἴ τις κληρικὸς ἢ λαϊκὸς, εἰσέλθοι εἰς συναγωγὴν ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω καὶ ἀφοριζέσθω.

ξς' Εἴ τις κληρικὸς ἐν μάχῃ τινὰ κρούσει, καὶ ἀπὸ τοῦ ἑνὸς κρούσματος ἀποκτείνει, καθαιρείσθω διὰ τὴν προπέτειαν αὐτοῦ· ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω.

ξη' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, δευτέραν χειροτονίαν δέξεται παρά τινος, καθαιρείσθω καὶ αὐτὸς καὶ

ὁ χειροτονήσας· εἰ μή γε ἄρα συσταίη, ὅτι παρὰ αἱρετικῶν ἔχει τὴν χειροτονίαν· τοὺς γὰρ παρὰ τῶν τοιούτων χειροτονηθέντας ἢ βαπτισθέντας, οὔτε πιστοὺς· οὔτε κληρικοὺς εἶναι δυνατόν.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἀναγνώστης ἢ ψάλτης τὴν ἁγίαν τεσσαρακοστὴν ξθ΄
etc. ut p. 173.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, νηστεύσι μετὰ ἰουδαίων etc. ο΄
ut p. 266.

Εἴπομεν ὅτι μὴ χρὴ ἐπίσκοπον ἢ πρεσβύτερον, καθιέναι ἑαυτὸν εἰς δημοσίας διοικήσεις, ἀλλὰ προσευκαιρεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις· ἢ πειθέσθω οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω· οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν κυριακὴν παρακέλευσιν. πα΄

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, στρατείαν σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, ῥωμαϊκὴν ἀρχὴν καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω· τὰ γὰρ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. πγ΄

Ὅς τις ὑβρίσει βασιλέα etc. ut p. 266. πδ΄

Συνόδου Νικαίας κανὼν β΄ ί΄ ιζ΄.

Ἐπειδὴ πολλὰ ἤτοι ὑπὸ ἀνάγκης etc. ut p. 52. β΄

Ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων, κατὰ ἄγνοιαν ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο οὐ προκείνει τῷ κανόνι τῷ ἐκκλησιαστικῷ· γνωσθέντες γὰρ καθαιροῦνται. ί΄

Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι, τὴν πλεονεξίαν καὶ τὴν αἰσχροκέρδειαν διώκοντες, ἐπελάθοντο τοῦ θείου γράμματος λέγοντος· τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, ιζ΄

καὶ δανείζοντες ἑκατοστὰς ἀπαιτοῦσιν, ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος, ὡς εἴ τις εὑρεθείη· μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων, ἐκ μεταχειρίσεως, ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν, ἢ ὅλως ἕτερόν τι ἐπινοῶν αἰσχροῦ κέρδους ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται.

Συνόδου Ἀγκύρας κανὼν ι' ιδ' ιή'.

ι' Διάκονοι ὅσοι καθίστανται, παρ' αὐτὴν τὴν κατάστασιν εἰ ἐμαρτύραντο καὶ ἔφασαν χρῆναι γαμῆσαι, μὴ δυνάμενοι οὕτως μένειν, οὕτοι μετὰ ταῦτα γαμήσαντες, ἑστωσαν ἐν τῇ ὑπηρεσίᾳ, διὰ τὸ ἐπιτραπῆναι αὐτοῖς ὑπὸ τοῦ ἐπισκόπου· τοῦτο δὲ εἴ τινες σιωπήσαντες καὶ καταδεξάμενοι ἐν τῇ χειροτονίᾳ μένειν οὕτως, μετὰ ταῦτα ἦλθον ἐπὶ γάμον, πεπαῦσθαι αὐτοὺς τῆς διακονίας.

ιδ' Τοὺς ἐν κλήρῳ πρεσβυτέρους ὄντας ἢ διακόνους, καὶ ἀπεχομένους κρεῶν, ἔδοξεν ἐφάπτεσθαι· καὶ οὕτως, εἰ βούλοιντο κρατεῖν ἑαυτῶν· εἰ δὲ βδελύσσοιντο ὡς μὴ δὲ τὰ μετὰ τῶν κρεῶν βαλλόμενα λάχανα ἐσθίειν, καὶ μὴ ὑπείκοιεν τῷ κανόνι, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως.

ιή' Οἵ τινες ἐπίσκοποι καταξαθέντες καὶ μὴ δεχθέντες etc. ut p. 57.

Συνόδου Καισαρείας κανὼν α'.

α' Πρεσβύτερος ἐὰν γήμῃ, τῆς τάξεως αὐτὸν μετατίθεσθαι· ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, ἐξωθεῖσθαι αὐτὸν τέλειον καὶ ἄγεσθαι εἰς μετάνοιαν.

Συνόδου Ἀντιοχείας κανὼν α' γ' δ' ε' ιγ'.

α' Πάντας τοὺς τολμῶντας etc. ut p. 178.

γ' Εἴ τις πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τῶν τοῦ ἱερατείου, καταλιπὼν τὴν ἑαυτοῦ παροικίαν etc. ut p. 193.

Εἴ τις ἐπίσκοπος ὑπὸ συνόδου καθαιρεθεὶς etc. ut p. 201. δ΄

Εἴ τις πρεσβύτερος ἢ διάκονος, καταφρονήσας τοῦ ἰδίου ε΄
ἐπισκόπου, ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας etc. ut p. 124.

Μηδένα ἐπίσκοπον τολμᾷν etc. ut p. 30. ιγ΄

Συνόδου Ἐφέσου κανὼν β΄.

Οἵτινες ἐπαρχεῶται ἐπίσκοποι, ἀπελείφθησαν τῆς ἁγίας β΄
συνόδου, καὶ τῇ ἀποστασίᾳ προσετέθησαν, ἢ προστεθῆναι
πειραθεῖεν, ἢ καὶ ὑπογράψαντες τῇ Νεστορίου καθαιρέσει
ἐπαλινδρόμησαν πρὸς τὸ τῆς ἀποστασίας συνέδριον, τούτους
πάντη κατὰ τὸ δόξαν τῇ ἁγίᾳ συνόδῳ, ἀλλοτρίους εἶναι
τῆς ἱερωσύνης καὶ τοῦ βαθμοῦ ἐκπίπτοντας.

Συνόδου Χαλκηδόνος κανὼν β΄ καὶ κζ΄.

Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο etc. β΄
ut p. 66.

Τὸ τῆς συνωμοσίας ἢ φατρίας ἔγκλημα, καὶ παρὰ τῶν ιη΄
ἔξω νόμων πάντη κεκώλυται, πολλῷ δὴ μᾶλλον ἐν τῇ τοῦ
θεοῦ ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει· εἴ τι-
νες τοίνυν κληρικοὶ, ἢ μονάζοντες εὑρεθεῖεν, ἢ συνομνύμε-
νοι, ἢ φατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες ἐπισκόποις ἢ
κληρικοῖς, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ.

Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου, ἢ κζ
συμπράττοντας, ἢ συναιρομένους τοῖς ἁρπάζουσιν, ὥρισεν
ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ ἰδίου
βαθμοῦ· εἰ δὲ λαϊκοὶ, ἀναθεματίζεσθαι.

Συνόδου Σαρδικῆς κανὼν κα΄.

Γαυδέντιος ἐπίσκοπος εἶπε· ταῦτα τὰ σωτηριωδῶς etc. κα΄
ut p. 199.

Καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον γενήσεται καὶ
πληρωθήσεται etc. ut p. 200.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν γ' δ' ε' ϛ' ι' ια' πς' ιζ'.

Περὶ ἱερέων καὶ κληρικῶν.

γ' Ἐπειδὴ δὲ ὁ εὐσεβὴς καὶ φιλόχριστος ἡμῶν βασιλεὺς etc. ut p. 62.

δ' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, ἢ θυρωρὸς, γυναικὶ ἀφιερωμένῃ θεῷ μιχθείη, καθαιρείσθω, ὡς τὴν νύμφην τοῦ Χριστοῦ διαφθείρας· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ε' Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, τῶν ἐν τῷ κανόνι ἐμφερομένων ἀνυπόπτων προσώπων ἐκτὸς διάγων, γύναια κεκτήσθω ἢ θεραπαινίδας, τὸ ἀνεπίληπτον ἑαυτῷ ἐντεῦθεν τηρῶν· εἰ δὲ παραβαίνει τίς τὰ παρ' ἡμῶν ὁρισθέντα, καθαιρείσθω· τὸ αὐτὸ δὲ τοῦτο καὶ οἱ εὐνοῦχοι παραφυλαττέσθωσαν, τὸ ἄμεμπτον ἑαυτοῖς προνοούμενοι· παραβαίνοντες δὲ, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν· εἰ δὲ λαϊκοὶ, ἀφοριζέσθωσαν.

ϛ' Μηδενὶ ἐξεῖναι κληρικῷ καπηλικὸν ἔχειν ἐργαστήριον· εἰ γὰρ τῷ τοιούτῳ εἰσιέναι ἐν καπηλείῳ οὐκ ἐπιτέτραπται, πόσῳ μᾶλλον ἄλλοις ἐν τούτῳ διακονεῖσθαι, καὶ ἃ μὴ θέμις αὐτῷ ἐγχειρεῖν; εἰ δέ τι τοιοῦτον διαπράξαιτο, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ζ' Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τόκους, ἢ τὰς λεγομένας ἑκατοστὰς λαμβάνων, ἢ παυσάσθω ἢ καθαιρείσθω.

ια' Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, ἢ λαϊκὸς τὰ παρὰ τῶν ἰουδαίων ἄζυμα ἐσθιέτω, ἢ τούτοις προσκεισύσθω, ἢ ἐν νόσοις προσκαλείσθω, καὶ ἰατρείας παρ' αὐτῶν λαμβανέτω, ἢ ἐν βαλανείοις τούτοις παντελῶς συλλουέσθω· εἰ δέ τις τοῦτο πρᾶξαι ἐπιχειροίη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Τοὺς ἐπὶ ψυχῶν ὀλίσθῳ πόρνας ἐπισυνάγοντας, καὶ ἐκ- πς'
τρέφοντας, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρεῖσθαι ὁρίζομεν· εἰ
δὲ λαϊκοὶ, ἀφορίζεσθαι.

Τοὺς ἢ γαμετῇ συνοικοῦντας, ἢ ἄλλως ἀδιακρίτως τοὺς ιζ'
ἱεροὺς τόπους κοινοποιοῦντας, καὶ καταφρονητικῶς περὶ αὐ-
τοὺς ἔχοντας, καὶ οὕτως ἐν αὐτοῖς καταμένοντας, καὶ ἐκ
τῶν ἐν τοῖς σεβασμίοις ναοῖς κατηχουμένων ἐζωθεῖσθαι προσ-
τάσσομεν· εἰ δέ τις μὴ τοῦτο παραφυλάξει, εἰ μὲν κληρικὸς
εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΚΕΦ. ΙΕ.

Ἐκ ποίων τίς αἰτιῶν ἐν τῷ αὐτῷ ἀφορίζεται καὶ
καθαιρεῖται, ἢ καθαιρεῖται καὶ τῆς κοινωνίας
ἢ καὶ τῆς ἐκκλησίας ἐκκόπτεται.

Ἀποστόλων κανὼν κη' κθ' λ' ξε'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαι- κη'
θεὶς δικαίως ἐπὶ ἐγκλήμασι φανεροῖς, τολμήσειεν ἅψασθαι
τῆς ποτὲ ἐγχειρισθείσης αὐτῷ λειτουργίας, οὗτος παντά-
πασιν ἐκκοπτέσθω τῆς ἐκκλησίας.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων etc. ut p. 65. κθ'

Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι etc. ut p. 62. λ'

Εἴ τις κληρικὸς ἢ λαϊκὸς, εἰσέλθοι εἰς συναγωγὴν ἰου- ξε'
δαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω καὶ ἀφορι-
ζέσθω.

ΚΕΦ. Ις.

Ἐκ ποίων αἰτιῶν κληρικὸς ἢ λαϊκὸς ἀναθεματίζεται.

Συνόδου Γαγγρας κανὼν κ'.

Εἴ τις αἰτιῶτο ὑπερηφάνῳ διαθέσει κεχρημένος, καὶ βδε- κ'

λυσσόμενος τὰς συνάξεις τῶν μαρτύρων, ἢ τὰς ἐν αὐταῖς γινομένας λειτουργίας καὶ τὰς μνήμας αὐτῶν, ἀνάθεμα ἔζω.

Συνόδου Χαλκηδόνος κανὼν β' ζ'.

β' Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο etc. ut p. 66.

ζ' Τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους, ἢ καὶ μοναχὰς, ὡρίσαμεν μήτε ἐπὶ στρατείαν μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι· ἢ τοῦτο τολμῶντας καὶ μὴ μεταμελουμένους, ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο ὃ διὰ Θεὸν πρότερον εἵλοντο, ἀναθεματίζεσθαι.

Βασιλείου ἐκ τῆς πρὸς Γρηγόριον πρεσβύτερον ἐπιστολῆς.

Ἐνέτυχόν σου τοῖς γράμμασι μετὰ πάσης μακροθυμίας etc. ut p. 220.

Συνόδου τῆς ἑνώσεως κανὼν ε' ς'.

ε' Τοῖς συκοφαντοῦσι τὴν ἁγίαν ἐκκλησίαν, ὅτι τετραγαμίαν ἐδέξατο, χάριν τῆς εὐδοκίας Θεοῦ γενομένης οἰκονομίας, καὶ τῆς προσλήψεως καὶ ἑνώσεως τῶν ἀδελφῶν ἡμῶν, οὓς ἡ τῶν προλαβόντων σκανδάλων αἰτία ἐχώριζεν, ἀνάθεμα.

ς' Τοῖς τολμῶσι λέγειν, ὅτι ἡ ἐκκλησία τὸ καθαρὸν καὶ ἄχραντον οὐ σώζει τῆς ἁγιστείας αὐτῆς, ἀλλὰ μολυσμόν τινα προσετρίψατο διὰ τὴν χάριτι Θεοῦ γενομένην σύναψιν τῶν τέκνων, οὓς διεμέρισε μὲν τὸ ἤδη προγεγονὸς σκάνδαλον, συνῆψε δὲ ἡ τούτου παρὰ πάντων ὁμοῦ ἀθέτησις καὶ ἀποκήρυξις, ἀνάθεμα.

ΚΕΦ. ΙΖ.

Ὅτι οὐ χρὴ δὶς ἐκδικεῖν ἐπὶ τῷ αὐτῷ.

Ἀποστόλων κανὼν κε'.

κε' Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐπὶ πορνείᾳ ἢ ἐπιορκίᾳ etc. ut p. 270.

Βασιλείου κανὼν γ' λβ' να'.

Διάκονος μετὰ τὴν διακόνισσαν πορνεύσας, ἀπόβλητος γ'
μὲν τῆς διακονίας ἔσαι· εἰς δὲ τῶν λαϊκῶν ἀπωσθεὶς τόπον,
τῆς κοινωνίας οὐκ εἰρχθήσεται· διότι ἀρχαῖος ἐστὶ κανὼν,
τοὺς ἀπὸ βαθμοῦ πεπτωκότας, τούτῳ μόνῳ τῷ τρόπῳ τῆς
κολάσεως ὑποβάλλεσθαι, ἀκολουθησάντων ὡς οἶμαι τῶν ἐξ
ἀρχῆς τῷ νόμῳ ἐκείνῳ, τῷ οὐκ ἐκδικήσεις δὶς ἐπὶ τῷ αὐτῷ·
καὶ δι' ἑτέραν δὲ αἰτίαν, ὅτι οἱ μὲν ἐν τῷ λαϊκῷ ὄντες
τάγματι ἐκβεβλημένοι τοῦ τόπου τῶν πιστῶν, πάλιν εἰς τὸν
ἀφ' οὗ ἐξέπεσον τόπον ἀναλαμβάνονται· ὁ δὲ διάκονος ἅπαξ
ἔχει τὴν δίκην τῆς καθαιρέσεως διαρκῆ· ὡς οὖν οὐκ ἀπο-
διδομένης αὐτῷ τῆς διακονίας, ἐπὶ ταύτης ἔστησαν μόνης
τῆς ἐκδικήσεως· ταῦτα μὲν οὖν τὰ ἐκ τῶν τύπων· καθόλου
δὲ ἀληθέστερόν ἐστιν ἵαμα, ἡ τῆς ἁμαρτίας ἀναχώρησις·
ὥστε ὁ διὰ σαρκὸς ἡδονὴν ἀθετήσας τὴν χάριν, διὰ τοῦ
συντριμμοῦ τῆς σαρκὸς, καὶ πάσης δουλαγωγίας τῆς κατ'
ἐγκράτειαν ἀποστὰς τῶν ἡδονῶν ὑφ' ὧν κατεσράφη, τελείαν
ἡμῖν παρέξει τῆς ἰάσεως αὐτοῦ τὴν ἀπόδειξιν· ἀμφότερα τοί-
νυν ἡμᾶς εἰδέναι δεῖ, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς
συνηθείας· ἕπεσθαι δὲ, ἐπὶ τῶν καταδεξαμένων τὴν ἀκρό-
τητα, τῷ παραδοθέντι τύπῳ.

Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ, λβ'
τοῦ βαθμοῦ κατάγονται· τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ
ἐξείργονται· οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τῷ αὐτῷ.

Τὸ κατὰ τοὺς κληρικοὺς, ἀδιορίστως οἱ κανόνες ἐξέθεν- να'
το, κελεύσαντες μίαν ἐπὶ τοῖς πεσοῦσιν ὁρίζεσθαι τιμωρίαν,
τὴν ἔκπτωσιν τῆς ὑπηρεσίας, εἴτε ἐν βαθμῷ τυγχάνοιεν,
εἴτε καὶ ἀχειροθέτῳ ὑπηρεσίᾳ προσκαρτεροῖεν.

ΚΕΦ. ΙΗ.

Ἐκ ποίων αἰτιῶν τελείως ἐκβάλλεται.

Ἀποστόλων κανὼν κή ναί ξβ΄.

κή Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρεθεὶς δικαίως etc ut p. 277.

ναί Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ γάμου καὶ κρεῶν etc. ut p. 259.

ξβ΄ Εἴ τις κληρικὸς διὰ φόβον ἀνθρώπινον ἰουδαίου etc. ut p. 272.

Συνόδου Ἀντιοχείας κανὼν δ΄.

δ΄ Εἴ τις ἐπίσκοπος, ὑπὸ συνόδου καθαιρεθεὶς etc. ut p. 201.

Συνόδου Λαοδικείας κανὼν λς΄.

λς΄ Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, μάγους etc. ut p. 260.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν καί.

καί Οἱ ἐπ' ἐγκλήμασι κανονικοῖς ὑπεύθυνοι etc. ut p. 263.

ΚΕΦ. ΙΘ.

Πότε τίς καθέδρας μὲν ἢ στάσεως ἱερατικῆς μετέχει, οὐκ ἐνεργεῖ δέ τι τῶν λοιπῶν.

Συνόδου Ἀγκύρας κανὼν α΄ β΄.

α΄ Πρεσβυτέρους τοὺς ἐπιθύσαντας etc. ut p. 135.

β΄ Διακόνους ὁμοίως θύσαντας, μετὰ δὲ ταῦτα ἀναπαλαίσαντας, τὴν μὲν ἄλλην τιμὴν ἔχειν, πεπαῦσθαι δὲ αὐτοὺς πάσης τῆς ἱερατικῆς λειτουγίας, τοῦ ἄρτον ἢ ποτήριον ἀναφέρειν ἢ κηρύσσειν· εἰ μέν τοι τινὲς τῶν ἐπισκόπων τούτους συνίδοιεν κάματόν τινα ἢ ταπείνωσιν πραότητος, καὶ ἐθέλοιεν πλέον τί διδόναι ἢ ἀφαιρεῖν, ἐπ' αὐτοῖς εἶναι τὴν ἐξουσίαν.

Συνόδου Νεοκαισαρείας κανὼν θ'.

Πρεσβύτερος ἐὰν προημαρτηκὼς σώματι etc. ut p. 93. θ'

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν γ' κς'.

Περὶ ἱερέων καὶ κληρικῶν.

Ἐπειδὴ δὲ ὁ εὐσεβὴς καὶ φιλόχριστος ἡμῶν βασιλεὺς etc. ut p. 62. γ'

Πρεσβύτερον τὸν κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντα, καθέδρας μὲν μετέχειν, κατὰ τὰ ἀπὸ τοῦ ἱεροῦ κανόνος ἡμῖν νομοθετηθέντα, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη· εὐλογεῖν δὲ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον· εὐλογία γὰρ ἁγιασμοῦ μετάδοσίς ἐστιν· ὁ δὲ τοῦτο μὴ ἔχων διὰ τὸ ἐκ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέρῳ μεταδώσει; μήτε τοίνυν δημοσίᾳ, μήτε ἰδίᾳ εὐλογείτω, μήτε τὸ σῶμα τοῦ Χριστοῦ κατανεμέτω ἑτέροις, μήτέ τι ἄλλο λειτουργείτω· ἀλλ' ἀρκούμενος τῇ προεδρίᾳ, προσκλαιέτω τῷ κυρίῳ συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα· προδηλον γὰρ ὡς ὁ τοιοῦτος γάμος διαλυθήσεται, καὶ εὐδαμῶς ὁ ἀνὴρ μετουσίαν ἕξει πρὸς τὴν δι' ἧς τῆς ἱερᾶς ἐνεργείας ἐστέρηται. κς'

Βασιλείου κανὼν κζ' ὁ'.

Περὶ τοῦ πρεσβυτέρου τοῦ κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντος etc. ut p. 93. κζ'

Διάκονος ἐν χείλεσι μιανθείς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων, μετὰ τῶν διακόνων ἀξιωθήσεται· τὸ δὲ αὐτὸ καὶ πρεσβύτερον· εἰ δέ τί τούτου πλεῖον φωραθείη τις ἡμαρτηκὼς, ἐν οἵῳ ἂν ᾖ βαθμῷ, καθαιρεθήσεται. ὁ'

ΚΕΦ. Κ.

Περὶ τοῦ μὴ πιστεύεσθαι τὸν ἐπίσκοπον λέγοντα ἰδιαζόντως αὐτῷ τὸν κληρικὸν συνομολογῆσαι τὸ ἁμάρτημα.

Συνόδου Καρθαγέννης κανὼν ρλβ'.

Περὶ ἐπισκόπου τοῦ ἀπὸ κοινωνίας ποιοῦντος τὸν αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογήσαντα.

ρλβ' Ὁμοίως ἤρεσεν, ἵνα ἐάν ποτε ἐπίσκοπος λέγῃ τινὰ αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογῆσαι, καὶ ἐκεῖνος ἀρνῆται, μὴ λογίσηται ὁ ἐπίσκοπος εἰς ἰδίαν ὕβριν συντείνειν, ὅτι αὐτὸς μόνος οὐ πιστεύεται· εἰ καὶ τῷ σκανδαλμῷ τῆς ἰδίας συνειδήσεως λέγει μὴ θέλειν ἑαυτὸν κοινωνεῖν τῷ ἀρνουμένῳ.

ΚΕΦ. ΚΑ.

Περὶ ἐπισκόπου ἢ κληρικοῦ ἐσθίοντος κρέας ἐν αἵματι, ἢ θνησιμαῖον ἢ θηριάλωτον.

Ἀποστόλων κανὼν ξγ'.

ξγ' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, φάγῃ κρέα etc. ut p. 272.

Συνόδου Ἀγκύρας κανὼν γ'.

γ' Τοὺς φεύγοντας καὶ συλληφθέντας, ἢ ὑπὸ οἰκείων παραδοθέντας, ἢ ἄλλως τὰ ὑπάρχοντα ἀφαιρεθέντας, ἢ ὑπομείναντας βασάνους, ἢ εἰς δεσμωτήριον ἐμβληθέντας, βοῶντας τὲ ὅτι εἰσὶ χριστιανοὶ, καὶ περισχισθέντας, ἤτοι εἰς τὰς χεῖρας πρὸς βίαν ἐμβαλλόντων τῶν βιαζομένων, ἢ βρῶμα τί πρὸς ἀνάγκης δεξαμένους, ὁμολογοῦντας δὲ διόλου ὅτι εἰσὶ χριστιανοὶ, καὶ τὸ πένθος τοῦ συμβάντος ἀεὶ ἐπιδεικνυμένους τῇ πάσῃ καταστολῇ καὶ τῷ σχήματι, καὶ τῇ τοῦ

βίου ταπεινότητι, τούτους ὡς ἔξω ἁμαρτήματος ὄντας, τῆς κοινωνίας μὴ κωλύεσθαι· εἰ δὲ καὶ ἐκωλύθησαν ὑπό τινος, περισσοτέρας ἀκριβείας ἕνεκεν, ἢ καί τινων ἀγνοίᾳ, εὐθὺς προσδεχθῆναι· τοῦτο δὲ ὁμοίως ἐπί τε τῶν ἐκ τοῦ κλήρου καὶ τῶν ἄλλων λαϊκῶν· προεξητάσθη δὲ κἀκεῖνο, εἰ δύνανται καὶ λαϊκοὶ τῇ αὐτῇ ἀνάγκῃ ὑποπεσόντες, προάγεσθαι εἰς τάξιν· ἔδοξεν οὖν καὶ τούτους ὡς μηδὲν ἡμαρτηκότας, εἰ καὶ ἡ προλαβοῦσα εὑρίσκοιτο ὀρθὴ τοῦ βίου πολιτεία, προχειρίζεσθαι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξζ'.

Θεία ἡμῖν γραφὴ ἐνετείλατο, ἀπέχεσθαι αἵματος καὶ πνικτοῦ καὶ πορνείας· τοῖς οὖν διὰ τὴν λίχνον γαστέρα, αἷμα οἱουδήποτε ζώου τέχνῃ τινὶ κατασκευάζουσιν ἐδώδιμον, καὶ οὕτω τοῦτο ἐσθίουσι, προσφόρως ἐπιτιμῶμεν· εἴ τις οὖν ἀπὸ τοῦ νῦν, αἷμα ζώου ἐσθίειν ἐπιχειρήσει οἱῳδήποτε τινι τρόπῳ, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω. ξζ

ΚΕΦ. ΚΒ.

Περὶ τοῦ τοὺς ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ πάντας τοὺς τὰ ἱερὰ ψηλαφῶντας, ὀφείλειν ἀπέχεσθαι καὶ τῶν οἰκείων γαμετῶν.

Συνόδου Καρθαγένης κανὼν γ' δ' κε' ό'.

Περὶ ἐγκρατείας. – Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Ἐν τῇ προλαβούσῃ συνόδῳ, ὡς περὶ ῥυθμοῦ ἐγκρατείας καὶ ἁγνείας ἐζητεῖτο, ἤρεσεν ὥστε τοὺς τρεῖς βαθμοὺς τούτους, τοὺς συνδέσμῳ τινὶ τῆς ἁγνείας διὰ τῆς καθιερωσύνης συμπεπλεγμένους, φημὶ δὴ ἐπισκόπους, πρεσβυτέρους, καὶ διακόνους, ὡς πρέπει ὁσίοις ἐπισκόποις, καὶ ἱερεῦσι θεοῦ, γ'

καὶ λευίταις, καὶ ὑπουργοῦσι θείοις καθιερώμασιν, ἐγκρατεῖς εἶναι ἐν πᾶσιν, ὅπως δυνηθῶσι τοῦ ὃ παρὰ σοῦ θεοῦ ἁπλῶς αἰτοῦσιν, ἐπιτυχεῖν· ἵνα καὶ τὸ διὰ τῶν ἀποστόλων παραδοθὲν, καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθὲν, καὶ ἡμεῖς ὁμοίως φυλάξωμεν.

Περὶ διαφόρων τάξεων ὀφειλουσῶν ἀπέχεσθαι γυναικῶν.

Φαυστῖνος ἐπίσκοπος Πικήνου τῆς Πεντεπηνῆς χώρας, τοποτηρητὴς τῆς ἐκκλησίας Ῥώμης, εἶπεν.

δ' Ἀρέσκει ἵνα ἐπίσκοπος, καὶ πρεσβύτερος, καὶ διάκονος, καὶ πάντες οἱ τὰ ἱερὰ ψηλαφῶντες, τῆς σωφροσύνης ὑπάρχωσι φύλακες, καὶ γυναικῶν ἀπέχωνται.

Περὶ ἐπισκόπων καὶ τῶν ἑπομένων τάξεων, τῶν τὰ ἅγια μυστήρια ψηλαφουσῶν, ὥρισεν ἀπὸ γυναικῶν ἐγκρατεύεσθαι.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

ια' Προστίθημι, ἀδελφοὶ τιμιώτατοι, προσεπιτούτοις, ἐν τῷ ἀναφέρεσθαι ἕνεκεν ἐγκρατείας τῆς περὶ τὰς ἰδίας γυναῖκας τινῶν τῶν κληρικῶν, ἐξαιρέτως ἀναγνωστῶν, τὸ καὶ ἐν διαφόροις συνόδοις βεβαιωθὲν, ὥστε τοὺς ὑποδιακόνους τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας, καὶ τοὺς διακόνους, καὶ πρεσβυτέρους, ἀλλὰ καὶ ἐπισκόπους κατὰ τοὺς ἰδίους ὅρους, καὶ ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι, ἵνα ὡς μὴ ἔχοντες ὦσιν· ἅπερ εἰ μὴ ποιήσουσι, τοῦ ἐκκλησιαστικοῦ ἀποκινηθῶσι καθήκοντος· τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, εἰ μὴ ἐν προβεβηκυίᾳ κείρᾳ.

Ἀπὸ πάσης ἐλέχθη τῆς συνόδου.

ο' Ἅπερ ἡ ὑμετέρα ἁγιωσύνη δικαίως ἐρύθμισεν, ἱεροπρεπῆ ὄντα καὶ θεάρεστα, βεβαιοῦμεν.

Περὶ τοῦ ποῖσι ὀφείλουσι κληρικοὶ γαμετῶν ἀπέχεσθαι.

Προσεπιτούτοις ἐν τῷ περὶ ἐγκρατείας τῆς περὶ τὰς οἰκείας γαμετὰς, τινῶν μνημονεύεσθαι κληρικῶν ἤρεσεν· ὥστε τοὺς ἐπισκόπους καὶ ἐκ τῶν ἰδίων ἔτι μὴν ἀπέχεσθαι γαμητῶν· ὅπερ εἰ μὴ ποιήσαιεν, ἀπὸ τῆς ἐκκλησιαστικῆς ἀποκινηθῶσι τάξεως· τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, ἀλλ' ὀφείλειν κατὰ τὴν ἑκάστης ἐκκλησίας συνήθειαν παραφυλάττεσθαι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιβ' ιγ'.

Καὶ τοῦτο δὲ εἰς γνῶσιν ἡμετέραν ἦλθεν etc. ut p. 64. ιβ'

Ἐπειδὴ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ, ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν, τοὺς μέλλοντας διακόνου ἢ πρεσβυτέρου ἀξιοῦσθαι χειροτονίας, καθομολογεῖν ὡς οὐκέτι ταῖς αὐτῶν συνάπτονται γυναιξὶν, ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια, καὶ ἀπὸ τοῦ νῦν ἐῤῥῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς γαμετὰς συναφειαν διαλύοντες, ἢ ἀποστεροῦντες αὐτοὺς τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας· ὥστε εἴ τις ἄξιος εὑρεθείη πρὸς χειροτονίαν ὑποδιακόνου, ἢ διακόνου, ἢ πρεσβυτέρου, οὗτος μηδαμῶς κωλυέσθω ἐπὶ τοιοῦτον βαθμὸν ἐμβιβάζεσθαι, γαμετῇ συνοικῶν νομίμῳ· μήτε μὲν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω ὁ τοιοῦτος ὁμολογεῖν, ὡς ἀποστήσεται τῆς νομίμου πρὸς τὴν οἰκείαν γαμετὴν ὁμιλίας· ἵνα μὴ ἐντεῦθεν τὸν ἐκ θεοῦ νομοθετηθέντα καὶ εὐλογηθέντα τῇ αὐτοῦ παρουσίᾳ γάμον, καθυβρίζειν ἐκβιασθῶμεν· τῆς τοῦ εὐαγγελίου φωνῆς βοώσης, ἃ ὁ θεὸς ἔξευξεν, ἄνθρωπος μὴ χωριζέτω· καὶ τοῦ ἀποστόλου διδάσκοντος τίμιον τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον· καὶ δέδεσαι ιγ'

γυναικὶ ; μὴ ζήτει λύσιν· ἴσμεν δὲ ὅπως καὶ οἱ ἐν Καρθαγέννῃ συνελθόντες τῆς ἐν βίῳ σεμνότητος τῶν λειτουργῶν τιθέμενοι πρόνοιαν ἔφασαν· ὥστε τοὺς ὑποδιακόνους τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας, καὶ τοὺς διακόνους καὶ πρεσβυτέρους, κατὰ τοὺς ἰδίους ὅρους, καὶ ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι· ἵνα καὶ τὸ διὰ τῶν ἀποστόλων παραδοθὲν, καὶ ἡμεῖς ὁμοίως φυλάξωμεν, καιρὸν ἐπὶ παντὸς ἐπιστάμενοι πράγματος, καὶ μάλιστα νηστείας καὶ προσευχῆς· χρὴ γὰρ τοὺς τῷ καιρῷ τῆς τῶν ἁγίων μεταχειρίσεως, ἐγκρατεῖς εἶναι ἐν πᾶσιν, ὅπως δυνηθῶσιν οὗ παρὰ τοῦ θεοῦ ἁπλῶς αἰτοῦσιν ἐπιτυχεῖν· εἴ τις οὖν τολμήσει, παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰ τῶν ἱερωμένων, πρεσβυτέρων φαμὲν, ἢ διακόνων, ἢ ὑποδιακόνων, ἀποστερεῖν τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας τὲ καὶ κοινωνίας, καθαιρείσθω· ὡσαύτως καὶ εἴ τις πρεσβύτερος, ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα προφάσει εὐλαβείας ἐκβάλλει, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω.

ΚΕΦ. ΚΓ.

Περὶ κληρικοῦ χλευάζοντος τοὺς ἀσθενεῖς.

Ἀποστόλων κανὼν νζ'.

νζ Εἴ τις κληρικὸς, χωλὸν ἢ κωφὸν ἢ τυφλὸν ἢ τὰς βάσεις πεπληγμένον χλευάσει, ἀφοριζέσθω· ὡσαύτως δὲ καὶ λαϊκός. (ut p. 265.)

ΚΕΦ. ΚΔ.

Περὶ κληρικοῦ ἑαυτὸν ἀκρωτηριάζοντος.

Ἀποστόλων κανὼν κγ'.

κγ Εἴ τις κληρικὸς ὢν ἑαυτὸν ἀκρωτηριάσει, καθαιρείσθω· φονεὺς γάρ ἐστιν ἑαυτοῦ. (ut p. 270.)

Συνόδου Νικαίας κανὼν α'.

Εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη etc. ut p. 54. α'

Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν η'.

Ὁ θεῖος καὶ ἱερὸς τῶν ἁγίων ἀποστόλων κανὼν τοὺς ἐκτέμνοντας ἑαυτοὺς αὐτοφονευτὰς κρίνει, καὶ ἱερεῖς μὲν ὄντας καθαιρεῖ, μέλλοντας δὲ καὶ τῆς ἐπὶ ἱερωσύνην προκοπῆς ἀπείργει· δῆλον ἐντεῦθεν καθιστῶν, ὡς εἴπερ ὁ ἑαυτὸν ἐκτέμνων αὐτοφονευτής ἐστιν, ὁ ἕτερον ἐκτέμνων πάντως φονευτής ἐστι· θείη δ' ἄν τις τὸν τοιοῦτον δικαίως καὶ τῆς δημιουργίας αὐτῆς ὕβριστὴν· διόπερ ὥρισεν ἡ ἁγία σύνοδος, ὡς εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, εὐνουχίζων τινὰ ἐλεγχθῇ, ἢ αὐτοχειρία, ἢ ἐξ ἐπιτάγματος, τοῦτον καθαιρέσει καθυποβάλλεσθαι· εἰ δὲ λαϊκὸς εἴη, ἀφορίζεσθαι· πλὴν εἰ μήπω νόσημά τινι προσπεσὸν, πρὸς ἐκτομὴν τοῦ πεπονθότος ἐκβιάζοιτο· ὥσπερ γὰρ ὁ τῆς ἐν Νικαίᾳ συνόδου πρῶτος κανὼν, τοὺς ἐν νόσῳ χειρουργηθέντας οὐ κολάζει διὰ τὸ νόσημα, οὕτω καὶ ἡμεῖς· οὔτε τοὺς ἱερεῖς ἐπιτάττοντας εὐνουχίζεσθαι τοὺς νοσοῦντας κατακρίνομεν, οὔτε μὴν τοὺς λαϊκοὺς αὐτοχειρίᾳ πρὸς τὴν ἐκτομὴν χρωμένους, ὑπευθύνους τιθέμεθα· τοῦτο γὰρ ἰατρείαν τοῦ νοσήματος, ἀλλ' οὐκ ἐπιβουλὴν τοῦ πλάσματος, ἢ τῆς πλάσεως ὕβριν, λογιζόμεθα. η'

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἀνωτέρω ἐν τῷ ιδ' κεφ. τοῦ α' τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. ΚΕ.

Περὶ κληρικῶν ἀποστατῶν, καὶ Ἰουδαίων, καὶ μάγων, καὶ ἐπαοιδῶν, καὶ ἀστρολόγων, μαθηματικῶν, καὶ περὶ μαντείων, καὶ φαρμακείων, καὶ περιάπτων.

Ἀποστόλων κανὼν ξβ'.

ξβ' Εἴ τις κληρικὸς διὰ φόβον ἀνθρώπινον ἰουδαίου ἢ Ἕλληνος ἢ αἱρετικοῦ, ἀρνήσεται etc. ut p. 272.

Συνόδου Ἀγκύρας κανὼν α' β'.

α' Πρεσβυτέρους τοὺς ἐπιθύσαντας etc. ut p. 135.

β' Διακόνους ὁμοίως θύσαντας, μετὰ δὲ ταῦτα ἀναπαλαίσαντας etc. ut p. 281.

Συνόδου Λαοδικείας κανὼν λς'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς, μάγους etc. ut p. 260.

Περὶ φαρμακῶν καὶ μαθηματικῶν καὶ τῶν ὁμοίων, διαλαμβάνει ὁ ιή' τίτ. τοῦ θ' βιβλ. τοῦ κώδ. ταῦτα· διάτ. α', μεῖζον ἐστὶ τὸ φαρμάκῳ ἢ ξίφει φονεῦσαι· διάτ. β', τὴν γεωμετρίαν χρήσιμόν ἐστιν εἰδέναι, ἣ δὲ μαθηματικὴ ἀπηγόρευται καὶ κατακέκριται· διάτ. γ', μηδεὶς οἰωνοσκόπος ἢ ἱερεὺς ἢ τῶν ὑπουργούντων τοιαύτῃ θρησκείᾳ, εἰσίτω πρός τινα ἐφ' οἱᾳδήποτε αἰτίᾳ, κἂν αὐτοῦ φίλος ἦν· ἐπεὶ καὶ αὐτὸς καίεται, καὶ ὁ προτρεψάμενος αὐτὸν δεπορτατεύεται θημευόμενος, καὶ ὁ βουλόμενος κατηγορεῖ· διάτ. δ', εἰ διὰ μαγείας τῇ σωτήριᾳ τῶν ἀνθρώπων ἢ τῇ σωφροσύνῃ ἐπιβουλευόντες τιμωροῦνται, οὐ μὴν εἰ πρὸς θεραπείαν τῶν σωμάτων, ἢ τῇ εὐετηρίᾳ τῶν καρπῶν ποιοῦντες, οἷον βροχὴν ἢ χάλαζαν ἐπέχοντες· διάτ. ε', μηδεὶς ἐρωτάτῳ μάντιν ἢ θύτην ἢ οἰωνοσκόπον, μήτε χρηματιζέτω χαλδαῖος ἢ μαθηματικὸς ἢ τίς παραπλήσιος· ὁ δὲ παρὰ ταῦτα ποιῶν, ἀπο-

τέμνεται· διάτ. ς', οἱ τὰ στοιχεῖα ταράσσοντες, ἢ τοὺς ἐχθροὺς αὐτῶν διὰ δαιμόνων φονεύοντες, θηρίοις ἀναιροῦνται· διάτ. ζ', πανταχοῦ μὲν τὰ ἁμαρτήματα μυσαρά ἐστιν, ἐν δὲ τῇ βασιλευούσῃ οἱ εὑρισκόμενοι γόητες, ἢ μάντεις, ἢ ἐν ἀφηγήσει ὀνείρων μαντευόμενοι, ἢ οἰωνοσκόποι, βασανίζονται καὶ ξέονται ἀρνούμενοι, καὶ τοῖς ἐλέγχουσιν ἀνθιστάμενοι, μὴ δυνάμενοι προνόμιον ἔχειν· διάτ. η', ἴσον ἐστὶ τὸ τὰ ἀπηγορευμένα μαθεῖν καὶ διδάξαι· διάτ. θ', ὁ εἰδὼς γόητα τινὰ, καὶ κατασχὼν αὐτὸν ἐπὶ γοητείᾳ, παραδιδότω· εἰ δὲ ἡνίοχος, ἢ τὶς ἕτερος παρὰ ταῦτα ποιήσει, ἢ λαθραίως αὐτὸν τιμωρήσεται, ἐσχάτως τιμωρεῖται· ὑπολαμβάνεται γὰρ τοῦτο πρᾶξαι ὡς εἰς ἐχθρὸν, ἢ ἵνα ἐκεῖνος μὴ δημοσιεύσῃ τοὺς συνίστορας.

Λέγει δὲ καὶ βιβλ. α' τοῦ κώδ. τίτ. δ' διάτ. γ', ὅτι οἱ γόητες καὶ ἐν ταῖς ἡμέραις τῆς πασχαλίας ἐγκλείονται καὶ δεσμοῦνται· καὶ διάτ. α' τοῦ αὐτοῦ τίτ. ὅτι οἱ μαθηματικοὶ μὴ καίοντες τὰς βίβλους αὐτῶν, καὶ προσιόντες τῇ ὀρθοδόξῳ πίστει ἐπὶ τῶν ἐπισκόπων, πάσης ἀπωθοῦνται πόλεως· εἰ δὲ ἐν πόλει εὑρεθῶσιν, ἢ τὰ τῆς ἰδίας θρησκείας δημοσιεύοντες, δεπορτατεύονται· καὶ τίτ. ιά' τοῦ αὐτοῦ βιβλ. διάτ. β', μηδεὶς διὰ σπλαγχνοσκοπίας μαντεύεσθω· πικρῶς γὰρ τιμωρεῖται ὁ τῶν ἐνεστώτων καὶ μελλόντων, παρὰ τὸ κεκωλυμένον, ἐκζητῶν τὴν ἀλήθειαν· βιβλ. ε' τίτ. ιζ' διάτ. η', εὐλόγως ὁ ἀνὴρ εὑρίσκων τὴν ἑαυτοῦ γαμετὴν φαρμακὸν, ῥεπουδίῳ λύει τὸν γάμον, καὶ ἐκ τοῦ ἐναντίου ἡ γυνὴ, τοῦ ἀνδρὸς ὄντος φαρμακοῦ· ὁμοίως καὶ ἡ περὶ ῥεπουδίων νεαρὰ, βιβλ. ζ' τίτ. ξέ διάτ. β', ὁ ἐπὶ γοητείᾳ καταδικασθεὶς, εἰ μὲν ἀπὸ τεκμηρίων καὶ μαρτύρων καὶ ἰδίας ἐλεγχθῇ καταθέσεως, ὁ ἐπὶ γοητείᾳ καταδικασθεὶς, οὐ δύναται

ἐκκαλεῖσθαι· εἰ δὲ ἀπὸ μαρτύρων καὶ δικαιωμάτων καὶ ἄλλων τεκμηρίων, οὐ μὴν καὶ ἐξ οἰκείας καταθέσεως, ἢ φόβῳ τῶν βασάνων κατέθετο, δύναται ἐκκαλεῖσθαι· βιβλ. θ' τίτ. μά', διάτ. γ', πρῶτοι βασανίζονται οἱ ἀλλότριοι δοῦλοι, καὶ ὅτε δόξουσι λέγειν πιθανὰ περὶ τοῦ ἐγκλήματος, τότε καὶ ὁ λεγόμενος φαρμάξαι βασανίζεται· καὶ τίτ. μζ' τοῦ αὐτοῦ βιβλ. διάτ. ις', οὐ δεῖ ψηφίζεσθαι περὶ γοητείας, ἕως ἂν ἀποδειχθῇ τὸ ἔγκλημα διὰ καταθέσεως τοῦ κατηγορουμένου, καὶ βασάνων καὶ συμφώνων καταθέσεων· καὶ βιβλ. ί τίτ. ιέ', διάτ. α', ὅτι ἔξεστιν ἑκάστῳ ἐν τῷ ἰδίῳ τόπῳ ζητεῖν θησαυρὸν, ἄνευ θυσιῶν ἢ τινὸς παρανόμου τέχνης· καὶ ἀπολαύει ὁ εὑρίσκων, καὶ περὶ τῶν τοιούτων οὐκ ἔξεστι προσαγγέλλειν.

Περὶ δὲ ἀποστατῶν φησὶν ὁ ζ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. διάτ. α', ὁ ἀπὸ χριστιανῶν γινόμενος ἰουδαῖος, δημεύεται· διάτ. β', ὁ λέγων τὸν τελευτήσαντα μὴ δύνασθαι διατίθεσθαι, διὰ τὸ ἀπὸ χριστιανῶν αὐτὸν ἰουδαῖον ἢ ἕλληνα γενέσθαι, εἴσω πενταετίας ἐνάγει· διάτ. γ', ὅτι ὁ ἐξ ὀρθοδόξου γινόμενος αἱρετικὸς, οὐ συναναστρέφεται τοῖς ἀνθρώποις, καὶ οὐ μαρτυρεῖ ἢ διατίθεται, οὔτε κληρονομεῖ, καὶ οὐκ ἔχει μετάνοιαν ὡς ἐν τοῖς ἄλλοις ἁμαρτήμασιν· ἡ δὲ περὶ τῶν ἐκκλησιῶν Ἀφρικῆς διαλεγομένη ριβ' νεαρὰ, δέδωκε καιρὸν μετανοίας τοῖς ἐξ ὀρθοδόξων ὑπὸ αἱρετικῶν βαπτισθεῖσι· διάτ. δ', ὁ χριστιανὸς ἀποστὰς καὶ θύσας, ἢ ἐντειλάμενος ἑτέρῳ θῦσαι, παρὰ παντὸς κατηγορεῖται, μὴ ἀντιτιθεμένης χρονίας παραγραφῆς· καὶ οὔτε δωρεῖται ἐξότου ἀποστῇ, οὔτε ἐν σχήματι πράσεως περιγράφει τὸν νόμον, οὔτε διατίθεται, ἀλλ' ἐξ ἀδιαθέτου πάντα τοῖς αὐτοῦ συγγενέσιν ὁρμόζει, οἷς καὶ μετὰ θάνατον ἐφεῖται κατηγορεῖν,

εἰ καὶ μὴ γέγονε κατὰ ζῶντος τοῦ μιαροῦ προκάταρξις· καὶ ἀνατρέπονται καὶ αἱ δωρεαὶ καὶ αἱ διαθῆκαι αὐτῶν, καὶ τοῖς ἀπὸ τοῦ νόμου καλουμένοις ἁρμόζουσι· διάτ. ε', ὁ δεῦλον ἢ εὐγενῆ χριστιανὸν, ἄκοντα ἢ διὰ συμβουλῆς μεταγαγὼν εἰς ἀθέμιτον θρησκείαν, κεφαλικῶς τιμωρεῖται καὶ δημεύεται· διάτ. ς', ὀρθόδοξος κληρικὸς ἢ μοναχὸς, θρησκεύων τὰ Εὐτυχοῦς ἢ Ἀπολιναρίου, ὑπόκειται τοῖς κατὰ αἱρετικῶν νόμοις, καὶ τῆς ῥωμαϊκῆς ἐξωθεῖται πολιτείας, κατὰ τὰ κατὰ Μανιχαίων νομοθετηθέντα· βιβλ. α' τίτ. θ', διάτ. ιή, ἰουδαῖος τὸν μὴ ὄντα τῆς αὐτῆς θρησκείας ἐναντίᾳ διδασκαλίᾳ μεταγαγὼν εἰς αὐτὴν, δημεύεται καὶ κεφαλικῶς τιμωρεῖται.

Διαλαμβάνει δὲ περὶ τῶν τοιούτων καὶ ἐν τοῖς διγέστοις· φησὶ γὰρ βιβλ. θ', τίτ. β', δίγ. ζ', ὅτι ὁ φάρμακον ἀντὶ ἰατρείας δούλῳ δεδωκὼς, ὑπόκειται εἰς τὴν αὐτοῦ τιμὴν, ὡς αἰτίαν θανάτου παρασχών· ἴσθι δὲ ὅτι χώρα τῷ ἐγκλήματι, καὶ εἴ τις προπετῶς δοίη φάρμακον· ὡς δίγ. ή· ὅμοιον καὶ περὶ ἰατραίνης, δίγ. θ' βιβλ. ί τίτ. β'· δίγ. δ', οὐ διαιροῦνται μεταξὺ τῶν κληρονόμων, τὰ ἐν τῇ κληρονομίᾳ εὑρεθέντα κακὰ φάρμακα, ἢ μαγικὰ βιβλία, ἢ τὰ ὅμοια, ἀλλὰ κατὰ δοκιμασίαν τοῦ δικαστοῦ φθείρονται, βιβλ. ιή τίτ. α' δίγ. λέ, τὰ κακὰ φάρμακα οὐ πιπράσκεται· εἰ μέν τοι δεχόμενα μίξιν χρησιμεύουσιν, ὡς ἐπὶ τῆς ἀντιδότου πιπράσκονται· βιβλ. μζ' τίτ. ί δίγ. ιε', οἱ παραφρονῆσαί τινα φαρμάκῳ ποιοῦντες, ἐνέχονται τῷ περὶ ὕβρεων νόμῳ· εἰ δὲ καὶ ἀστρολόγος, ἢ ἑτέραν ἀπηγορευμένην μαντείαν μετιὼν, ἐρωτηθεὶς εἴπῃ κλέπτην τὸν μὴ ὄντα, ὑπόκειται ταῖς διατάξεσι· βιβλ. μή τίτ. ή, δίγ. β', τῷ περὶ φονέων νόμῳ κατέχεται, ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον ποιῶν φάρ-

μακον, ἢ πιπράσκων, ἢ ἔχων· εἰσὶ δὲ φάρμακα ὑγείαν ἐμποιοῦντα, καὶ τὰ λεγόμενα φίλτρα· εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ παράσχῃ γυναικὶ συλληπτικὸν, καὶ τελευτήσει ἡ λαβοῦσα, ἐξορίζεται· καὶ ὁ πημεντάριος προπετῶς διδοὺς τινὶ κώνειον, ἢ σαλαμάνδραν, ἀκόνιτον, ἢ πιτυοκάμπην, ἢ βούβρωστιν, ἢ μανδραγόραν, ἢ κανθαρίδας· δίγ. ιγ', ὁ ποιῶν θυσίας ἀπηγορευμένας, τῷ περὶ φονέων ὑπόκειται· βιβλ. μή, τίτ. ιθ', δίγ. κή, οἱ φαρμακοὶ ἀξιωματικοὶ ὄντες, δεπορτατεύονται· οἱ δὲ λοιποὶ, εἰς κεφαλὴν τιμωροῦνται· καὶ δίγ. λή, ὁ δεδωκὼς πόμα πρὸς φίλτρον, ἢ ἀμβλωθρίδιον χωρὶς δόλου, εὐτελὲς μὲν ὢν μεταλλίζεται· τίμιος δὲ, ἐξορίζεται μετὰ μερικῆς σημεύσεως· ἐσχάτῃ δὲ τιμωρίᾳ ἐπάγεται, ἐάν τις ἐκ τούτου τελευτήσῃ.

ΚΕΦ. Κς.

Περὶ ἐπισκόπων ἢ κληρικῶν τυπτόντων ἢ φονευόντων.

Ἀποστόλων κανὼν κζ' ξς'.

κζ Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ διὰ τοιούτων φοβεῖν ἐθέλοντα, καθαιρεῖσθαι προστάσσομεν· οὐδαμοῦ γὰρ ὁ κύριος τοῦτο ἡμᾶς ἐδίδαξε· τοὐναντίον δὲ αὐτὸς τυπτόμενος, οὐκ ἀντέτυπτε· λοιδορούμενος, οὐκ ἀντελοιδόρει· πάσχων, οὐκ ἠπείλει.

ξς' Εἴ τις κληρικὸς ἐν μάχῃ τινὰ κρούσει, καὶ ἀπὸ τοῦ ἑνὸς κρούσματος ἀποκτείνει, καθαιρείσθω διὰ τὴν προπέτειαν αὐτοῦ· ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω.

Συνόδου α' κανὼν β' συγκροτηθείσης ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν Κωνσταντινουπόλει κανὼν θ'.

θ' Τοῦ ἀποστολικοῦ καὶ θείου κανόνος, τοὺς ἱερεῖς τύπτειν

ἐπιχειροῦντας πιστοὺς ἁμαρτήσαντας, ἢ ἀπίστους ἀδικήσαντας, καθαιρέσει καθυποβάλλοντος, εἰ τὸν εἰκεῖον ἀποθεραπεύειν μηχανώμενοι θυμὸν, καὶ τὰς ἀποστολικὰς διατάξεις παραχαράττοντες, τοὺς αὐτοχειρίᾳ τύπτειν ἐπιχειροῦντας, ἐξειλήφασι· μήτε τοῦ κανόνος μηδὲν τοιοῦτον ὑποσημαίνοντος, μήτε τοῦ ὀρθοῦ λόγου τοῦτο νοεῖν ἐπιτρέποντες· μάταιον γὰρ ὡς ἀληθῶς καὶ λίαν ἐπισφαλὲς, τὸν αὐτοχειρίᾳ μὲν ἐν τῷ τύπτειν τρὶς ἢ τετράκις πλήξαντα, καθαιρεῖσθαι· ἀθείας δὲ διδομένης τύπτειν ἐξ ἐπιτάγματος, τὸν ἀπηνῶς καὶ μέχρι θανάτου τὴν τιμωρίαν ἐπαύξοντα, παρορᾶσθαι ἀτιμώρητον· διόπερ τοῦ κανόνος τὸ τύπτειν ἁπλῶς κολάζοντος, καὶ ἡμεῖς οὕτω συμψηφιζόμεθα· χρὴ γὰρ τὸν τοῦ θεοῦ ἱερέα, καὶ διδασκαλίαις καὶ νουθεσίαις, ἔσθ' ὅτε δὲ καὶ τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις, τὸν ἀτακτοῦντα παιδαγωγεῖν· ἀλλὰ μὴ ταῖς μάστιξι καὶ ταῖς πληγαῖς, εἰς τὰ τῶν ἀνθρώπων σώματα ἐπιπηδᾷν· εἰ δέ τινες εἶεν παντελῶς ἀνυποτακτοῦντες, καὶ τῷ σωφρονισμῷ τῶν ἐπιτιμίων μὴ ὑπείκοντες, τούτους διὰ τῆς πρὸς τοὺς κατὰ τὸν τόπον ἄρχοντας ἐγκλήσεως, οὐδεὶς κωλύει σωφρονίζεσθαι· καὶ γὰρ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ συνόδου πέμπτος κανὼν, τοὺς θορυβοῦντας καὶ στάσεις τῇ ἐκκλησίᾳ παρεισάγοντας, διὰ τῆς ἔξωθεν χειρὸς ἐκανόνισεν ἐπιστρέφεσθαι.

Βασιλείου κανὼν νε'.

Οἱ τοῖς λῃσταῖς ἀντεπεξιόντες, ἔξω μὲν ὄντες, τῆς κοι- νε'
νωνίας εἴργονται τοῦ ἁγιάσματος· κληρικοὶ δὲ ὄντες, τοῦ βαθμοῦ καθαιροῦνται· πᾶς γάρ φησιν ὁ λαβὼν μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται.

Ἡ β' διάταξις τοῦ α' τίτ. τῶν νεαρῶν, ἀπαγορεύει μὲν τοῖς ἐπισκόποις πλήττειν χερσὶν εἰκείαις· οὐχ' ὥρισε δὲ ποι-

νὴν· γενικῶς δὲ περὶ παντὸς τύπτοντος ἢ ὑβρίζοντος, ὁ πολιτικὸς διορίζει νόμος· βιβλ. μζ', τίτ. ί, κανὼν βιβλ. Θ' τοῦ κώδ. τίτ. α', ὁ διδοὺς κατ' αὐτῶν τὴν περὶ ὕβρεως ἀγωγὴν, ἤ τις καὶ χρηματικῶς κινεῖται καὶ ἐγκληματικῶς, γραφῆς ἀποτιθεμένης, καὶ διορίζει πόσα ἐστὶ τραχεῖα ὕβρις, ποία δὲ ἐλαφρά· περὶ δὲ φόνων διαλαμβάνει ὁ ἡ τίτ. τοῦ μή βιβλ. καὶ ὁ ις' τίτ. τοῦ Θ' βιβλ. τοῦ κώδ. γίνωσκε δὲ ὅτι ὁ φόνος ἀπὸ τῆς διαθέσεως σκοπεῖται, εἰ σκοπὸν ἔσχε φονεῦσαι· ὅθεν ἔστιν εὑρεῖν, ὅτι καὶ ὁ πλήξας μὲν, μὴ φονεύσας δὲ, ὡς φονεὺς τιμωρεῖται· καὶ ὁ φονεύσας οὐ τιμωρεῖται ὡς φονεὺς, ἐὰν μόνον ἠθέλησε πλῆξαι· ἡ δὲ τοιαύτη διάθεσις σκοπεῖται ἀπὸ τοῦ πλήξαντος ὀργάνου· καὶ ἔστι τοῦ μὲν ἐκουσίου φόνου, ἐπὶ μὲν ἐντίμου φονεύσαντος, δερποτατίων καὶ τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν, ξίφει καὶ θηρίοις ὑποβληθῆναι· ἐπὶ δὲ τοῦ κατὰ βλακείαν ἤγουν ἀμέλειαν φονεύοντος, πενταετὴς ἐξορία· ἐπὶ δὲ τοῦ ἀκουσίου, συγγνώμη δίδοται· ζητῶν οὖν περὶ φόνων, ἀναγίνωσκε τοὺς εἰρημένους τίτ. σὺν τοῖς αὐτῶν παρατίτλοις· εἴρηται δὲ γενικῶς βιβλ. μή, τίτ. ιΘ', δίγ. ε', ὅτι ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ ζητεῖν, ἐκ προνοίας τίς ἢ κατὰ τύχην ἥμαρτε, καὶ οὕτως ἢ πρὸς τὸν νόμον, ἢ πραστέραν τιμωρίαν ἐπιφέρειν· καὶ δίγ. ια', ὅτι ἢ ἀπὸ προνοίας ἁμαρτάνει τίς, ὡς ὁ φατρίαν συνιστῶν· ἢ ἐξ ὀργῆς, ὡς ὁ θυμούμενος· ἢ κατὰ τύχην, ὡς ὁ ἐν θήρᾳ κατὰ θηρίου ῥίψας καὶ φονεύσας ἄνθρωπον.

ΚΕΦ. ΚΖ.

Περὶ ἐπισκόπων καὶ κληρικῶν κυβευόντων, ἢ μεθυσκομένων, ἢ θέαις παρεμβαλλόντων, τυμβωρυχούντων, κλεπτόντων, ἐπιορκούντων, τοκιζόντων, ἢ λαμβανόντων ἡμιολίας, ἢ ἕτερον ἑαυτοῖς αἰσχρὸν ἐπινοούντων κέρδος.

Ἀποστόλων κανὼν κέ μβ΄ μγ΄.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐπὶ πορνείᾳ ἢ κε΄
ἐπιορκίᾳ ἢ κλοπῇ ἄλους etc. ut p. 270.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κύβας σχολάζων μβ
καὶ μέθαις, ἢ παυσάσθω ἢ καθαιρείσθω. (ut p. 271.)

Ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης τὰ ὅμοια ποιῶν, μγ΄
ἢ παυσάσθω ἢ ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκός.

Συνόδου Νικαίας κανὼν ιζ΄.

Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι, τὴν πλεονε- ιζ
ξίαν καὶ τὴν αἰσχροκέρδειαν διώκοντες, ἐπελάθοντο τοῦ θείου γράμματος λέγοντος, τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δανείζοντες ἑκατοστὰς ἀπαιτοῦσιν, ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος, ὡς εἴ τις εὑρεθείη, μετὰ τὸν ὅρον τοῦτον, τόκους λαμβάνων, ἐκ μεταχειρίσεως ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν, ἢ ὅλως ἕτερόν τι ἐπινοῶν αἰσχροῦ κέρδους ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται.

Συνόδου Λαοδικείας κανὼν ὅ νδ΄.

Περὶ τοῦ μὴ δεῖν ἱερατικοὺς δανείζειν, καὶ τόκους καὶ ε
τὰς λεγομένας ἡμιολίας λαμβάνειν.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικούς τινας θεωρίας θεω- νδ
ρεῖν ἐν γάμοις ἢ δείπνοις, ἀλλὰ πρὸ τοῦ εἰσέρχεσθαι θυμελικοὺς, ἐγείρεσθαι αὐτοὺς καὶ ἀναχωρεῖν ἐκεῖθεν.

Συνόδου Καρθαγέννης κανὼν ε' ις'.

Περὶ ἀπληστίας. - Αὐρήλιος ἐπίσκοπος εἶπεν.

ε' Τὴν τῆς ἀπληστίας ἐπιθυμίαν, ἣν πάντων τῶν κακῶν μητέρα εἶναι οὐδεὶς ἀμφιβάλλει, δέον ἐπέχειν, ἵνα μή τις τοῖς ἀλλοτρίοις ὅροις κατακέχρηται, μὴ δὲ ἵνα διὰ κέρδος τοὺς τῶν πατέρων ὅρους τίς ὑπερβαίνῃ, μὴ δὲ ἵνα παντοίως τινὶ κληρικῷ ἐξὸν εἴη ἀπὸ οἱουδήποτε πράγματος τόκον λαμβάνειν· καὶ τὰ μὲν νεωστὶ ἀνενεχθέντα ἀμαυρὰ ὄντα καὶ καθόλου λανθάνοντα, σκοπούμενα παρ' ἡμῶν τυπωθήσονται· περὶ δὲ ὧν φανερώτατα ἡ θεία γραφὴ ἐθέσπισεν, οὐ δεῖ ψηφίζεσθαι, ἀλλὰ μᾶλλον ἔπεσθαι· ἀκολούθως γὰρ τὸ ἐν λαϊκοῖς ἐπιλήψιμον, πολλῷ μᾶλλον ἐν κληρικοῖς ὀφείλει καταδικάζεσθαι.

Ὥστε μηδένα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἔκλη-
ψίν τινα λαμβάνειν· καὶ ὥστε τοὺς ἀναγνώστας, γα-
μετὰς λαμβάνειν· καὶ ἵνα οἱ κληρικοὶ, γυναικῶν καὶ τό-
κων ἀπέχωνται· καὶ ποίῳ δεῖ καιρῷ, ἢ αὐτοὺς ἢ τὰς
παρθένους καθιεροῦσθαι· καὶ περὶ τοῦ μὴ προσκυνεῖν
τὸν δῆμον.

ις' Ὁμοίως ἤρεσεν· ἵνα ἐπίσκοποι καὶ πρεσβύτερι καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται etc. ut p. 95. et 213.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ι' κγ' κδ' ν'.

ι' Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τόκους ἢ τὰς λεγομένας ἑκατοστὰς λαμβάνων, ἢ παυσάσθω ἢ καθαιρέσθω.

κγ' Περὶ τοῦ μηδένα τῶν εἴτε ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, τῆς ἀχρόντου μεταδιδόντα κοινωνίας, παρὰ τοῦ μετέχοντος εἰσπράττειν etc. ut p. 66.

κδ' Μὴ ἐξέσω τινὶ τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, ἢ μοναχῶν, ἐν ἱπποδρομίαις ἀνιέναι, ἢ θυμελικῶν παιγνίων

ἀνέχεσθαι· ἀλλ' εἰ καί τις κληρικὸς κληθείη ἐν γάμῳ, νίκα δ' ἂν τὰ πρὸς ἀπάτην εἰσέλθοιεν παίγνια, ἐξαναστήτω καὶ παραυτίκα ἀναχωρείτω, οὕτω τῆς πατέρων ἡμῶν προστατούσης διδασκαλίας· εἰ δέ τις ἐπὶ τούτῳ ἁλῷ, ἢ παυσάσθω ἢ καθαιρείσθω.

Μηδένα τῶν ἁπάντων εἴτε λαϊκῶν εἴτε κληρικῶν κυβεύειν ν' ἀπὸ τοῦ νῦν· εἰ δέ τις τοιοῦτο φωραθείη πράττων, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω.

Συνόδου Νικαίας τὸ β' κανὼν δ'.

Περὶ τοῦ ἀπέχεσθαι τοὺς ἐπισκόπους πάσης δοσοληψίας.

Ὁ κῆρυξ τῆς ἀληθείας Παῦλος etc. ut p. 67. ξ

Βασιλείου κανὼν ι' ιδ' ιζ'.

Οἱ ὀμνύοντες μὴ καταδέχεσθαι τὴν χειροτονίαν etc. ut ι' p. 55.

Ὁ τόκους λαμβάνων, ἐὰν καταδέξηται τὸ ἄδικον κέρδος ιη' εἰς πτωχοὺς ἀναλῶσαι, καὶ τοῦ λοιποῦ τοῦ νοσήματος τῆς φιλοχρηματίας ἀπαλλαγῆναι, δεκτός ἐστιν εἰς ἱερωσύνην.

Ἠρώτησας ἡμᾶς περὶ Βιάνορος τοῦ πρεσβυτέρου, εἰ δε- ιθ' κτός ἐστιν εἰς τὸν κλῆρον διὰ τὸν ὅρκον· ἐγὼ δὲ ἤδη τινὰ καὶ κοινὸν ὅρον περὶ πάντων ὁμοῦ τῶν μετ' αὐτοῦ ὁμωμοκότων τοῖς κατὰ Ἀντιόχειαν κληρικοῖς οἶδα ἐκτεθεικώς· ὥστε τῶν μὲν δημοσίων αὐτοὺς ἀπέχεσθαι συλλόγων, ἰδίᾳ δὲ ἐνεργεῖν τὰ τῶν πρεσβυτέρων· τὸ δὲ αὐτὸ τοῦτο καὶ πρὸς τὴν ἑαυτοῦ ὑπηρεσίαν, ἄδειαν αὐτῷ παρέχει· διότι οὐκ ἐν Ἀντιοχείᾳ ἐστὶν ἡ ἱερωσύνη, ἀλλ' ἐν Ἰκονίῳ, ἣν ὡς αὐτὸς ἐπέστειλας ἡμῖν τῆς Ἀντιοχείας εἰς οἴκησιν ἀντηλλάξατο· ἔστιν οὖν δεκτὸς ὁ ἀνὴρ ἐκεῖνος, ἀπαιτούμενος παρὰ τῆς εὐλαβείας σου, μεταμέλεσθαι ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ὃν ἐπὶ τοῦ ὀπίσου ἀνδρὸς ἐξωμόσατο, βαστάξαι τὴν ἐνέχλησιν τοῦ μικροῦ ἐκείνου κινδύνου μὴ δυνηθείς.

Ἡ λδ' διάταξις τοῦ δ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν· ἐπίσκοπος ἢ κληρικὸς, καπηλεύων ἢ κοινωνῶν τοῖς καπηλεύουσιν ἢ παρακαθήμενος, ἢ θέατρον ἢ κυνήγιον θεωρῶν, ἀφορίζεται πάσης ἱερατικῆς λειτουργίας, καὶ τῶν σιτήσεων αὐτοῦ στερεῖται, καὶ ἐρίζεται αὐτῷ χρόνος εἰς μετάνοιαν· καὶ ἐὰν ἀξίως εἴσω τοῦ χρόνου φανῇ μετανοήσας, ἱερατικῆς ἀξιοῦται φιλανθρωπίας· εἰ δὲ μετὰ τὸν χρόνον ἐπιμείνει, τελείως ἐκβάλλεται τοῦ κλήρου, καὶ γίνεται βουλευτὴς μετὰ τῆς αὐτοῦ περιουσίας τῆς πόλεως ἧς ἦν κληρικὸς, ἢ τῆς πόλεως ἐκείνης οὐκ ἐχούσης βουλευτήριον, γίνεται εἰς τὴν χρήζουσαν ἐκ τῶν πλησιαζουσῶν· εἰ δὲ μὴ ἔχει ἐξουσίαν, γίνεται ταξεώτης· παραφυλάττουσι δὲ ταῦτα οἱ πατριάρχαι καὶ οἱ ἐπίσκοποι καὶ οἱ ἐκκλησιέκδικοι, καὶ οἱ ἑκάστης διοικήσεως ὕπαρχοι, καὶ οἱ ἄρχοντες καὶ οἱ ἔκδικοι ταῦτα τοῖς ἱερεῦσι προσαγγέλλουσι· δεῖ δὲ τειαῦτα μετὰ ἀκριβείας, ἐπὶ τῶν εὐαγγελίων ζητεῖσθαι, καὶ τοὺς συνοφάντας ἀγανακτεῖσθαι· πανὰς δὲ διαφόρους ὁρίζει κατὰ τῶν ἀρχόντων καὶ τῶν τάξεων καὶ τῶν ἐκδίκων, εἰ ταῦτα μαθόντες μὴ προσαγγείλωσι τοῖς προσφόροις ἱερεῦσιν· ἡ μέν τοι β' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν, ἐπὶ τριετίαν εἶπεν αὐτοὺς τῆς λειτουργίας κωλύεσθαι, καὶ μοναστηρίῳ ἐμβάλλεσθαι· ἄθειαν παρασχοῦσα τοῖς ἱερεῦσι μετανοίας ἐπιδεικνυμένης, ἐλαττῶν τὸν χρόνον.

Οὐ μόνον ἐπιορκεῖν κωλύεται κληρικὸς, ἀλλὰ καθόλου ὀμνύναι· εἴρηται γὰρ τοῦ κώδ. βιβλ. α', τίτ. γ', διάτ. κέ, ὅτι οἱ κληρικοὶ δικαζόμενοι διδόασιν ἐγγύας μέχρι ν' λιτρῶν· εἰ δὲ τὸ πρᾶγμα ὑπερβαίνει, ὁμολογίαν ἐπὶ τῷ ὑπερβαίνοντι ποιοῦσιν ἀνώμοτον· διότι καὶ οἱ νόμοι καὶ οἱ κανόνες, κωλύουσι κληρικὸν ὀμνύειν· εἰ καὶ τὰ μάλιστα εἴρηται βιβλ. τῷ αὐτῷ, τίτ. ιβ', διάτ. γ', ὅτι δεῖ τοὺς προσφεύγοντας,

προτρεπομένους καὶ ὅρκον ἐπὶ τῇ ἀσφαλείᾳ λαμβάνοντας, ἀποτίθεσθαι ἅπερ ἐπιφέρονται ὅπλα· καὶ ἡ ς΄ διάτ. τοῦ αὐτοῦ βιβλ. φησὶν, ὅτι ἐὰν ἔστιν ὑπόνοια περὶ κληρικοῦ ὡς ἔχοντος πράγματα τοῦ προσφεύγοντος, κελεύσει τοῦ ἐπισκόπου ὀμνύει· ἡ δὲ κώλυσις τοῦ λαμβάνειν κληρικὸν τόκους, ἐμοὶ φαίνεται πανταχοῦ περὶ τῶν ἀπὸ δανείου ἤγουν συμφώνου λελέχθαι, οὐ μὴν περὶ τῶν σιωπηρῶς ἁρμοζόντων ἐξ ὑπερθέσεως ἐπὶ τῶν βόνα φίδε ἀγωγῶν· ἀμέλει καὶ ἡ γ΄ διάτ. τοῦ β΄ τίτ. τῶν νεαρῶν, ἐπὶ ληγάτων εὐσεβῶν ἐξ ὑπερθέσεως εἶπεν ἀπαιτεῖσθαι καὶ τόκους καὶ καρπούς.

Περὶ δὲ κλοπῆς κληρικῶν, ἰδικῶς ὁ νόμος οὐ διαλέγεται, γενικῶς δὲ διαλαμβάνει περὶ κλοπῆς, cβ΄ τίτ. τοῦ μζ΄ βιβλ. τῶν δίγ. δύο δὲ εἴδη τῆς κλοπῆς, καὶ τὸ μὲν αὐτῆς λέγεται φανερὰ κλοπὴ, τὸ δὲ ἀφανὴς· φανερὸς κλέπτης ἐστὶν, ὁ μετὰ τοῦ ἐπικλοπιμαίου πράγματος ἐξ εἰσυθήποτε προσώπου λαμβανόμενος πρὶν ἢ τὸ πρᾶγμα ἐπαγάγοι, ἔνθα προέθετο ἐν αὐτῇ τῇ ἡμέρᾳ, εἴτε ἐν δημοσίῳ εἴτε ἐν ἰδιωτικῷ τόπῳ· εἰ δὲ ἀπήγαγεν ἔνθα προέθετο αὐτὸ, κἂν λειπὸν συλληφθῇ μετ' αὐτοῦ, οὐκ ἔστι φανερὸς κλέπτης· ὁ δὲ μὴ τοιοῦτος, ἀφανὴς κλέπτης ἐστίν· ἡ δὲ ποινὴ τοῦ μὲν φανεροῦ κλέπτου γίνεται, εἰς τὸ τετραπλοῦν τοῦ τιμήματος τοῦ κλαπέντος· ἔστιν ὅτε καὶ τοῦ διαφέροντος· τοῦ δὲ ἀφανοῦς, εἰς τὸ διπλοῦν· καὶ ἐφ' ἑκατέρου, ἔξωθεν τῆς τοιαύτης δίδοται τὸ πρᾶγμα ἢ ἡ διατίμησις αὐτοῦ· ὁ δὲ ἀπὸ ἐμπρησμοῦ ἢ ναυαγίου λαμβάνων ἔξωθεν τοῦ πράγματος, δίδωσιν εἴσω μὲν οὐτιλίσου ἐνιαυτοῦ τὸ τετραπλοῦν τῷ κλαπέντι, καὶ τῷ φίσκῳ τὸ τετραπλοῦν· μετὰ δὲ τὸν ἐνιαυτὸν, τὸ ἁπλοῦν, ὡς βιβλ. ς΄ τοῦ κώδ. τίτ. β΄ διάτ. ιή, καὶ ἐν τῷ θ΄ τίτ. τοῦ μζ΄ βιβλ.

Ὡς ἐπὶ τὸ πολὺ δὲ ἐγκληματικῶς οἱ κλέπται κατηγορεῖνται, κλοπῆς ἡγουμένης, ὡς δίγ. ιγ΄ τοῦ αὐτοῦ τίτ. καὶ ἡ τοῦ διπλοῦ ἢ τοῦ τετραπλοῦ ποινὴ ἀργεῖ· εἴρηται γὰρ δίγ. νζ΄ τοῦ αὐτοῦ, ὅτι ἐάν τις τὸν κλέπτην παραδῷ νυκτεπάρχῳ ἢ τῷ ἄρχοντι, καὶ καταδικασθεὶς παράσχῃ τὸ πρᾶγμα ἢ τὴν διατίμησιν αὐτοῦ, ἀναιρεῖται ἡ κατ' αὐτοῦ ἀγωγὴ ὡς αὐτοῦ κινδυνεύσαντος· ὁ δὲ καταδικασθεὶς ἐπὶ κλοπῇ, ἢ φιλικῶς ἀπαλλαγεὶς ἐπὶ δόσει χρημάτων, ἄτιμος γίνεται, ὡς βιβλ. γ΄, τίτ. β΄, δίγ. β΄, κανὼν ς΄· περὶ τυμβωρύχων γενικῶς διαλαμβάνει ὁ ιβ΄ τίτ. τοῦ μή βιβλ. ἐν ᾧ φησὶν, ὅτι καὶ χρηματικῶς καὶ ἐγκληματικῶς ὑπόκεινται· καὶ ἔστιν ἡ χρηματικὴ ποινὴ, ποτὲ μὲν εἰς ρ΄, ποτὲ δὲ εἰς σ΄, ποτὲ δὲ εἰς τὸ διαφέρον τῆς γενομένης ζημίας, καὶ ἄτιμος γίνεται ὁ καταδικαζόμενος.

Οἱ δὲ τυμβωρυχοῦντες, εἰ μὲν μετὰ ὅπλων, κεφαλικῶς τιμωρεῖνται· εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλων· οἱ δὲ τὰ λείψανα ἢ τὰ ὀστᾶ μετακινοῦντες, εὐτελεῖς μὲν ὄντες ἄκρως τιμωρεῖνται· οἱ δὲ ἄλλως περὶ μνημεῖον πλημμελοῦντες, ἐξορίζονται, ἢ εἰς μέταλλον καταδικάζονται· πῶς δὲ δυνατὸν ἀκινδύνως καὶ ἀζημίως μεταφέρειν λείψανα, καὶ φιλοκαλεῖν μνημεῖον, διδάσκει ὁ αὐτὸς τίτ. καὶ ὁ ζ΄ τοῦ ια΄ βιβλ. τῶν δίγ. ὑπόκεινται δὲ οἱ τυμβωρύχοι, καὶ τῷ περὶ ἱεροσυλίας νόμῳ, ὡς βιβλ. μή, τίτ. ιγ΄, διάτ. ε΄ τοῦ ιϑ΄ τίτ. τοῦ ϑ΄ βιβλ. τοῦ κώδ., ἐν ᾧ καὶ τὰς χρηματικὰς αὔξει ποινὰς, ποτὲ μὲν στέρησιν κτήματος ἢ ἀγροῦ ἢ οἴκου ἐπάγων, ἐὰν εἰς αὐτοὺς ὕλη ἀπενεχϑῇ ἀπὸ μνημείου· ποτὲ δὲ ί λιτρῶν ποινὴν ἐπάγων, καὶ κ΄ τῷ ἄρχοντι μὴ ἐπεξιόντι· καὶ ἐν ταῖς ἡμέραις δὲ τοῦ πάσχα οἱ τυμβωρύχοι ἐγκλείονται καὶ δεσμοῦνται, ὡς βιβλ. τοῦ κώδ. α΄, τίτ. ϑ΄, διάτ. γ΄.

ΚΕΦ. ΚΗ.

Περὶ τῶν βδελυττομένων τὸν γάμον ἢ τὸν οἶνον ἢ τὰ κρέα.

Ἀποστόλων κανὼν να΄ νγ΄.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου καὶ κρεῶν etc. ut p. 259. να΄

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν etc. ut p. 272. νγ΄

Συνόδου Ἀγκύρας κανὼν ιδ΄.

Τοὺς ἐν κλήρῳ πρεσβυτέρους ὄντας ἢ διακόνους, καὶ ἀπεχομένους κρεῶν, ἔδοξεν ἐφάπτεσθαι· καὶ οὕτως, εἰ βούλοιντο κρατεῖν ἑαυτῶν· εἰ δὲ βδελύσσοιντο ἐσθίειν, καὶ μὴ ὑπείκοιεν τῷ κανόνι, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως. (ut p. 274.) ιδ΄

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιγ΄ λ΄.

Ἐπειδὴ ἐν τῇ ῥωμαίων ἐκκλησίᾳ etc. ut p. 285. ιγ΄

Πάντα πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας βουλόμενοι διαπράττεσθαι, καὶ τοὺς ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ἱερέας οἰκονομεῖν διεγνώκαμεν· ὥστε εἰ τὸν ἀποστολικὸν κανόνα, τὸν περὶ τοῦ προφάσει εὐλαβείας τὴν οἰκείαν γαμετὴν μὴ ἐκβάλλειν, ὑπεραναβαίνειν οἴονται δεῖν, καὶ πέρα τῶν ὁρισθέντων ποιεῖν, ἐκ τούτου τὲ μετὰ τῶν οἰκείων συμφωνοῦντες συμβίων, τῆς πρὸς ἀλλήλους ὁμιλίας ἀπέχονται, ὁρίζομεν τούτους μηκέτι ταύταις συνοικεῖν καθ' οἱονδήποτε τρόπον, ἕως ἂν ἡμῖν ἐντεῦθεν ἐντελῆ τῆς ὑποσχέσεως παρέξιεν τὴν ἀπόδειξιν· πρὸς τοῦτο δὲ αὐτοῖς, οὐ δι' ἄλλό τι ἢ διὰ τὴν τῆς γνώμης μικροψυχίαν, καὶ τὸ τῶν ἠθῶν ἀπεξενωμένον καὶ ἀπαγὲς ἐνδεδώκαμεν. λ΄

ΚΕΦ. ΚΘ.

Περὶ ἐπιτετραμμένων ἢ κεκωλυμένων γάμων· καὶ περὶ τοῦ ἐρωτᾶσθαι τοὺς ἀναγνώστας ἐφήβους γινομένους, εἰ βούλονται γαμεῖν· καὶ περὶ παλλακισμοῦ, καὶ πορνείας, καὶ μοιχείας.

Ἀποστόλων κανὼν ιζ' ιη' ιθ' κε' κς'.

ιζ' Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιη' Ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτην, ἢ τῶν ἐπὶ σκηνῆς, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιθ' Ὁ δύο ἀδελφὰς ἀγόμενος ἢ ἀδελφὴν, οὐ δύναται εἶναι κληρικός. (Hi tres canones supra p. 62.)

κε' Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐπὶ πορνείᾳ ἢ ἐπιορκίᾳ etc. ut p. 270.

κς' Τῶν εἰς κλῆρον προελθόντων ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν, ἀναγνώστας καὶ ψάλτας μόνον.

Συνόδου Ἀγκύρας κανὼν ι'.

ι' Διάκονοι ὅσοι καθίστανται παρ' αὐτὴν κατάστασιν, εἰ ἐμαρτύραντο καὶ ἔφασαν χρῆναι γαμῆσαι, μὴ δυνάμενοι οὕτως μένειν, οὗτοι μετὰ ταῦτα γαμήσαντες, ἑστωσαν ἐν τῇ ὑπηρεσίᾳ, διὰ τὸ ἐπιτραπῆναι αὐτοῖς ὑπὸ τοῦ ἐπισκόπου· τοῦτο δὲ εἴ τινες σιωπήσαντες καὶ καταδεξάμενοι ἐν τῇ χειροτονίᾳ μένειν οὕτως, μετὰ ταῦτα ἦλθον ἐπὶ γάμον, πεπαῦσθαι αὐτοὺς τῆς διακονίας.

Συνόδου Νεοκαισαρείας κανὼν α' θ' ι'.

α' Πρεσβύτερος ἐὰν γήμῃ, τῆς τάξεως αὐτὸν μετατίθεσθαι·

ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, ἐξωθεῖσθαι αὐτὸν τέλεσν καὶ ἄγεσθαι εἰς μετάνοιαν.

Πρεσβύτερος ἐὰν προημαρτηκὼς etc. ut p. 93. θ'

Ὁμοίως καὶ ὁ διάκονος, ἐὰν τῷ αὐτῷ ἁμαρτήματι περιπέσῃ, τὴν τοῦ ὑπηρέτου τάξιν ἐχέτω. ι'

Συνόδου Χαλκηδόνος κανὼν ιδ' ιε'.

Ἐπειδὴ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις καὶ ψάλταις γαμεῖν, ὥρισεν ἡ ἁγία σύνοδος, μὴ ἐξεῖναι τινὶ αὐτῶν ἑτερόδοξον γυναῖκα λαμβάνειν· τοὺς ἤδη ἐκ τοιούτου γάμου παιδοποιήσαντας, εἰ μὲν ἔφθασαν βαπτίσαι τὰ ἐξ αὐτῶν τεχθέντα παρὰ τοῖς αἱρετικοῖς, προσάγειν αὐτὰ τῇ κοινωνίᾳ τῆς καθολικῆς ἐκκλησίας· μὴ βαπτίσαντας δὲ, μὴ δύνασθαι ἔτι βαπτίζειν αὐτὰ παρὰ τοῖς αἱρετικοῖς· μήτε μὴν συνάπτειν πρὸς γάμον αἱρετικῷ ἢ ἰουδαίῳ ἢ ἕλληνι, εἰ μὴ ἄρα ἐπαγγέλλοιτο μετατίθεσθαι εἰς τὴν ὀρθόδοξον πίστιν τὸ συναπτόμενον πρόσωπον τῷ ὀρθοδόξῳ· εἰ δέ τις τοῦτον τὸν ὅρον παραβαίη τῆς ἁγίας συνόδου, κανονικῷ ὑποκείσθω ἐπιτιμίῳ. ιδ'

Διακόνισσαν μὴ χειροτονεῖσθαι γυναῖκα etc. ut p. 95. ιε'

Συνόδου Καρθαγέννης κανὼν ις'.

Ὥςε μηδένα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἔκλημψίν τινα λαμβάνειν· καὶ ὥστε τοὺς ἀναγνώστας γαμετὰς λαμβάνειν· καὶ ἵνα οἱ κληρικοὶ γυναικῶν καὶ τόκων ἀπέχωνται· καὶ ποίῳ δεῖ καιρῷ ἢ αὐτοὺς ἢ τὰς παρθένους καθιεροῦσθαι· καὶ περὶ τοῦ μὴ προσκυνεῖν τὸν δῆμον.

Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται etc. ut p. 213. ις'

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν γ' δ' ς' ιβ' ιγ' μη' νθ'.

Περὶ ἱερέων καὶ κληρικῶν.

γ' Ἐπειδὴ δὲ ὁ εὐσεβὴς καὶ φιλόχριστος ἡμῶν βασιλεὺς etc. ut p. 62.

δ' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, ἢ θυρωρὸς, γυναικὶ ἀφιερωμένῃ θεῷ μιχθείη, καθαιρείσθω, ὡς τὴν νύμφην τοῦ Χριστοῦ διαφθείρας· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. (ut p. 276.)

ς' Ἐπειδὴ παρὰ τοῖς ἀποστολικοῖς κανόσιν εὕρηται, τῶν εἰς κλῆρον προαγομένων ἀγάμων, μόνους ἀναγνώστας καὶ ψάλτας γαμεῖν, καὶ ἡμεῖς τοῦτο παραφυλάττοντες ὁρίζομεν, ἀπὸ τοῦ νῦν μηδαμῶς ὑποδιάκονον, ἢ διάκονον, ἢ πρεσβύτερον, μετὰ τὴν ἐπ' αὐτῷ προερχομένην χειροτονίαν, ἔχειν ἄδειαν γαμικὸν ἑαυτῷ συνιστᾷν συνοικέσιον· εἰ δὲ τοῦτο τολμήσοι ποιῆσαι, καθαιρείσθω· εἰ δὲ βούλοιτό τις τῶν εἰς κλῆρον προερχομένων, γάμου νόμῳ συνάπτεσθαι γυναικὶ, πρὸ τῆς τοῦ ὑποδιακόνου, ἢ διακόνου, ἢ πρεσβυτέρου χειροτονίας, τοῦτο πραττέτω.

ιβ' Καὶ τοῦτο δὲ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ Ἀφρικῇ etc. ut p. 64.

ιγ' Ἐπειδὴ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ, ἐν τάξει κανόνος etc. ut p. 285.

μη' Ἡ τοῦ πρὸς ἐπισκοπῆς προεδρίαν ἀναγομένου γυνὴ, κατὰ κοινὴν συμφωνίαν τοῦ οἰκείου ἀνδρὸς προδιαζευχθεῖσα, μετὰ τὴν ἐπ' αὐτῷ τῆς ἐπισκοπῆς χειροτονίαν, ἐν μοναστηρίῳ εἰσίτω, πόῤῥω τῆς τοῦ ἐπισκόπου καταγωγῆς ᾠκοδομημένῳ, καὶ τῆς ἐκ τοῦ ἐπισκόπου προνοίας ἀπολαυέτω· εἰ δὲ καὶ ἀξία φανείη, καὶ πρὸς τὸ τῆς διακονίσσης ἀναβιβαζέσθω ἀξίωμα.

νθ' Μηδεὶς ἐν εὐκτηρίῳ οἴκῳ etc. ut p. 147.

Βασιλείου κανὼν γ' ς' ξθ' ο'.

Διάκονος μετὰ τὴν διακονίαν πορνεύσας, ἀπόβλητος μὲν γ'
τῆς διακονίας ἔσαι· εἰς δὲ τὸν τῶν λαϊκῶν ἀπωσθεὶς τόπον,
τῆς κοινωνίας οὐκ εἰρχθήσεται· διότι ἀρχαῖος ἐστὶ κανὼν,
τοὺς ἀπὸ βαθμοῦ πεπτωκότας, τούτῳ μόνῳ τῷ τρόπῳ τῆς
κολάσεως ὑποβάλλεσθαι· ἀκολουθησάντων ὡς οἶμαι τῶν ἐξ
ἀρχῆς τῷ νόμῳ ἐκείνῳ, τῷ οὐκ ἐκδικήσεις δὶς ἐπὶ τῷ αὐτῷ·
καὶ δι' ἑτέραν αἰτίαν, ὅτι οἱ μὲν ἐν τῷ λαϊκῷ ὄντες τάγματι
ἐκβεβλημένοι τοῦ τόπου τῶν πιστῶν, πάλιν εἰς τὸν ἀφ' οὗ
ἐξέπεσον τόπον ἀναλαμβάνονται· ὁ δὲ διάκονος ἅπαξ ἔχει τὴν
δίκην τῆς καθαιρέσεως διαρκῆ· ὡς οὖν οὐκ ἀποδιδεμένης αὐτῷ
τῆς διακονίας, ἐπὶ ταύτης ἔστησαν μόνης τῆς ἐκδικήσεως·
ταῦτα μὲν οὖν τὰ ἐκ τῶν τύπων· καθόλου δὲ ἀληθέστερον
ἔσιν ἴαμα, ἡ τῆς ἁμαρτίας ἀναχώρησις· ὥσε ὁ διὰ σαρκὸς
ἡδονὴν ἀθετήσας τὴν χάριν, διὰ τοῦ συντριμμοῦ τῆς σαρκὸς
καὶ πάσης δουλαγωγίας τῆς κατ' ἐγκράτειαν, ἀποστὰς τῶν
ἡδονῶν ὑφ' ὧν κατεσράφη, τελείαν ἡμῖν παρέξει τῆς ἰάσεως
αὐτοῦ τὴν ἀπόδειξιν· ἀμφότερα τοίνυν ἡμᾶς εἰδέναι δεῖ, καὶ
τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας· ἔπεσθαι δὲ ἐπὶ
τῶν καταδεξαμένων τὴν ἀκρότητα τῷ παραδοθέντι τύπῳ.

Τῶν κανονικῶν τὰς πορνείας, εἰς γάμον μὴ καταλογίζε- ς'
σθαι, ἀλλὰ παντὶ τρόπῳ διασπᾶν αὐτῶν τὴν συνάφειαν·
τοῦτο γὰρ καὶ τῇ ἐκκλησίᾳ πρὸς ἀσφάλειαν λυσιτελὲς, καὶ
τοῖς αἱρετικοῖς οὐ δώσει καθ' ἡμῶν λαβὴν, ὡς διὰ τὴν τοῦ
ἁμαρτάνειν ἄδειαν, ἐπισπωμένων πρὸς ἑαυτούς.

Ἀναγνώστης εἰ τῇ ἑαυτοῦ μνηστῇ πρὸ γάμου συναλλά- ξθ'
ξειεν, ἐνιαυτὸν ἀργήσας εἰς τὸ ἀναγινώσκειν δεχθήσεται,
μένων ἀπρόκοπος· κλεψιγαμήσας δὲ ἄνευ μνηστείας, παυ-
σθήσεται τῆς ὑπηρεσίας· τὸ δὲ αὐτὸ καὶ ὑπηρέτης·

ό Διάκονος ἐν χείλεσι μιανθεὶς etc. ut p. 281.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν δ' ε'.

ϛ Περὶ δὲ Πανοὺφ etc. ut p. 94.

ί Περὶ Ἰακὼβ ζητῆσαι etc. ut p. 94.

Ἡ α' τοῦ κώδ. τίτ. γ' διάτ. ε', ἐάν τις μόνον πειραθῇ λαβεῖν γαμετὴν παρθένον ἱερὰν, κεφαλικῶς τιμωρεῖται· καὶ διάτ. μδ' τοῦ αὐτοῦ τίτ. ὅτι ἐὰν πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος γαμήσῃ, ὑπόκειται μὲν τοῖς κανόσιν, οἵ τινες οὐχ' ἧττον τῶν νόμων ἰσχύουσι, καὶ τῆς ἱερωσύνης ἐκπίπτει, καὶ οἱ παῖδες ὡς ἐξ ἀθεμίτων γάμων τεχθέντες, οὔτε φυσικοὶ οὔτε νόθοι εἰσὶ, καὶ οὔτε κατὰ διαδοχὴν, ἢ δωρεὰν, ἢ ἐσχηματισμένον δάνειον, ἢ ἑτέραν ἐνοχὴν, λαμβάνουσί τι παρὰ τῶν πατέρων αὐτῶν, ἢ αἱ μητέρες αὐτῶν, ἀλλὰ ταῦτα λαμβάνει ἡ κατ' αὐτοὺς ἐκκλησία· λέγει δὲ ἡ ιγ' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν, ὅτι ἐὰν μοναχὸς κληρωθῇ, μὴ θαῤῥείτω πρὸς γάμον ἐλθεῖν, κἂν τοιούτου βαθμῶν τετύχηκεν ἐν τῷ κλήρῳ ἐν ᾧ τοῖς κληρικοῖς ἔξεστι γαμεῖν, τουτέστι ψάλτῃ καὶ ἀναγνώστῃ· τοῖς γὰρ ἄλλοις ἅπασι καθάπαξ ὁ γάμος ἀπηγόρευται· εἰ δὲ γαμήσει, ἢ παλλακὴν σχῇ, ἢ ἀσελγῶς ζήσει, ἐκβαλλέσθω τοῦ κλήρου, καὶ ἰδιώτης ἔστω, πρὸς στρατείαν ἢ ἑτέραν ἐπιτήδευσιν ἐλθεῖν οὐ θαῤῥῶν· καὶ ἡ α' διάτ. τοῦ αὐτοῦ τίτ. ὅτι μηδεὶς δευτερογαμήσας χειροτονείσθω πρεσβύτερος ἢ διάκονος, μήτε μὲν εἰ γυναικὶ συνοικεῖ τὸν ἴδιον ἄνδρα καταλιπούσῃ, μήτε εἰ παλλακὴν ἔχοι, ἀλλὰ σωφροσύνῃ συζῶν, καὶ ἢ γαμετῇ συνοικῶν, ἢ μιᾶς ἀνὴρ γενόμενος σώφρονος καὶ ἐκ παρθενίας· εἰ δέ τις πρεσβύτερος ὢν, ἢ διάκονος, ἢ ὑποδιάκονος, γαμετὴν ἢ παλλακὴν εἰσάγοιτο φανερῶς ἢ λαθραίως ἢ ἐσχηματισμένως, εὐθέως τῆς ἱερᾶς ἐκπιπτέτω τάξεως, καὶ ἰδιώτης καὶ λαϊκὸς

ἔςω· ἀναγνώςης δὲ δευτερογαμῶν, μὴ προσοπτέτω, μὴ μὴν καὶ τριγαμείτω· εἰ δὲ δευτερογαμήσας σπεύσει προσόψαι, γίνεται ἰδιώτης.

Λέγει δὲ ὅτι χειροτονούμεναι αἱ διάκονοι, νουθετείσθωσαν· εἰδυῖαι ὡς εἰ θαῤῥήσαιεν καταισχύναι τὴν χειροτονίαν, προσομιλοῦσαι γάμῳ ἢ ἄλλου βίου πορείᾳ, θανάτῳ γενήσονται ἔνοχοι· καὶ τοῖς αὐτῶν μοναστηρίοις, ἢ ταῖς αὐτῶν ἐκκλησίαις αἱ περιουσίαι αὐτῶν προσκυρωθήσονται· οἱ δὲ γῆμαι ἢ φθεῖραι αὐτὰς τολμήσαντες, ὑπεύθυνοί εἰσι ξίφει, καὶ τὴν οὐσίαν αὐτῶν τὸ δημόσιον λήψεται· καὶ ἡ β΄ διάτ. τοῦ αὐτοῦ τίτ. ὅτι ἐὰν βουλευτὴς ἢ ταξεώτης, ἐπὶ ιε΄ μονάσας ἔτη γένηται κληρικὸς, εἶτα γαμήσῃ, ἀποδίδοται τῇ ἰδίᾳ τύχῃ· τὰ αὐτὰ δὲ καὶ περὶ τῶν ἄλλων κληρικῶν τῶν ἀπὸ μοναχῶν, κἂν μὴ γεγόνασι βουλευταὶ ἢ ταξεῶται· καὶ ὅτι ὁ χειροτονῶν ἄγαμον, ἐρωτάτω αὐτὸν εἰ δύναται χωρὶς νομίμου γαμετῆς σεμνῶς βιοῦν· ὁ δὲ τῷ καιρῷ τῆς χειροτονίας ἐπιτρέπων διακόνῳ ἢ ὑποδιακόνῳ γαμῆσαι μετὰ τὴν χειροτονίαν, τῆς ἐπισκοπῆς ἐκβάλλεται· πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος, μετὰ τὴν χειροτονίαν γαμῶν ἐκβάλλεται τοῦ κλήρου, καὶ μετὰ τῶν αὐτοῦ πραγμάτων δίδοται τῇ βουλῇ τῆς πόλεως ἐν ᾗ κληρικὸς ἦν· δευτερογαμῶν δὲ ἀναγνώστης, ἢ χήραν ἢ διεξευγμένην λαμβάνων, ἢ τοῖς νόμοις ἢ τοῖς κανόσιν ἀπηγορευμένην, εἰς ἄλλον μὴ προβαινέτω βαθμὸν, ἀλλὰ καὶ προβὰς ἀπκαθίσταται τῷ προτέρῳ.

Λέγει δὲ ὅτι οἱ ἁρπάζοντες ἢ ὑπονοθεύοντες ἢ διαφθείροντες ἀσκήτριαν ἢ μονάστριαν, ἢ διακόνισσαν, ἢ ἄλλο εὐλαβὲς ἔχουσαν σχῆμα, καὶ οἱ μετασχόντες, κεφαλικῶς τιμωροῦνται, καὶ τὰ πράγματα αὐτῶν τῇ ἐκκλησίᾳ ἢ τῷ μοναστηρίῳ τῆς ὑβρισθείσης περιποιοῦνται διὰ τοῦ ἐπισκόπου

ἢ τοῦ οἰκονόμου καὶ τῶν ἀρχόντων καὶ τῶν τάξεων· αὕτη δὲ μετὰ τῶν αὐτῆς πραγμάτων, μοναστηρίῳ ἐμβάλλεται ἀσφαλῶς φυλαχθησομένη· εἰ δὲ διακόνισσά ἐστιν ἔχουσα νομίμους παῖδας, τὸ νόμιμον μέρος λαμβάνουσιν· εἰ δὲ ἐπὶ ἐνιαυτὸν μετὰ τὸ γνωσθῆναι τὸ μῦσος μὴ ἐκδικήσουσι τὰ πράγματα οἱ εὐαγεῖς οἶκοι, ὁ φίσκος αὐτὰ λαμβάνει, τοῦ ἀμελοῦντος αὐτὰ ἐκδικηθῆναι ἄρχοντος ἀποζωννυμένου, καὶ ε' λίτρον τοῖς πριβάτοις προστιμωμένου.

ΚΕΦ. Λ.

Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων.

Ἀποστόλων κανὼν ξζ'.

ξζ Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχει etc. ut p. 266.

Συνόδου Ἀγκύρας κανὼν ια' κε'.

ια' Τὰς μνηστευθείσας κόρας, καὶ μετὰ ταῦτα ὑπὸ ἄλλων ἁρπαγείσας, ἔδοξεν ἀποδίδοσθαι τοῖς προμνηστευσαμένοις, εἰ καὶ βίαν ὑπ' αὐτῶν πάθοιεν.

κε' Μνηστευσάμενός τις κόρην, προσεφθάρη τῇ ἀδελφῇ αὐτῆς, ὡς καὶ ἐπιφορῆσαι αὐτήν· ἔγημε δὲ τὴν μνηστὴν μετὰ ταῦτα, ἡ δὲ φθαρεῖσα ἀπήγξατο· οἱ συνειδότες ἐκελεύσθησαν ἐν δεκαετίᾳ δεχθῆναι εἰς τοὺς συνεστῶτας, κατὰ τοὺς ὡρισμένους βαθμούς.

Συνόδου Χαλκηδόνος κανὼν κζ'.

κζ Τοὺς ἁρπάζοντας γυναῖκας etc. ut p. 275.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιβ'.

ιβ' Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου, ἢ συμπράττοντας ἢ συναιρομένους τοῖς ἁρπάζουσιν, ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ· εἰ δὲ λαϊκοί, ἀναθεματίζεσθαι.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν β'.

Περὶ Βήστου καταστάντος ἐν Ἐρέβῃ πρεσβυτέρου ζητητέον, καὶ εἰ μὲν ἀποταξαμένην τινὰ ζῶντος τοῦ ἀνδρὸς ἐβιάσατο, μὴ συγχωρείσθω εἶναι πρεσβύτερος· ὅπου γε οὐδὲ ὡς λαϊκὸς ὀφείλει συνάγεσθαι, τῆς ἐκκλησίας εἰωθυίας τοὺς τοιούτους χωρίζειν· οὐ φέρει γὰρ τοῦτο πρόκριμα τῷ ἐπισκόπῳ Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας αὐτὸν κατέσχησε, τῆς ἁγίας συνόδου κελευσάσης τοὺς ἀναξίους μετὰ τὴν χειροτονίαν ἐλεγχομένους ἐπὶ ἐγκλήμασιν ἐκβάλλεσθαι. β'

Βιβλ. α' τίτ. γ' διάτ. ε', ἐάν τις ἁρπάσῃ, ἢ μόνον πειραθῇ λαβεῖν γαμετὴν παρθένον ἱεράν, κεφαλικῶς τιμωρεῖται· καὶ διάτ. νγ' τοῦ αὐτοῦ τίτ. τοῖς γονεῦσι, καὶ τοῖς ἀδελφοῖς, καὶ τοῖς κηδεμόσι τῶν παρθένων, καὶ διακονισσῶν, καὶ τῶν ἀνειμένων τῷ θεῷ χηρῶν, ἔξεστι τοὺς ἁρπαγας αὐτῶν, καὶ τοὺς ἐν καιρῷ τῆς ἐφόδου βοηθοῦντας αὐτοῖς, ἐπ' αὐτοφώρῳ φονεύειν· εἰ δὲ διαφύγωσιν, ἀναζητοῦσιν αὐτοὺς, ἐν Κωνσταντινουπόλει μὲν οἱ ὕπαρχοι καὶ ὁ ἔπαρχος, ἐν δὲ ταῖς ἐπαρχίαις πάντες οἱ ἄρχοντες, πολιτικοί τε καὶ στρατιωτικοὶ, καὶ μετὰ σύστασιν μὴ χρωμένους παραγραφῇ, τιμωροῦνται ἐσχάτως· καὶ τὰ πράγματα τοῦ ἁρπαγος, καὶ τοῦ ὡς εἴρηται βοηθήσαντος αὐτῷ, λαμβάνει τὸ μοναστήριον ἢ τὸ ἀσκητήριον, ἐφ' ᾧ καὶ τὴν βιασθεῖσαν ἐξ αὐτῶν ἐκεῖ τρέφεσθαι· εἰ δὲ μόνον διακόνισσά ἐστιν ἡ βιασθεῖσα καὶ οὐκ ἀσκήτρια ἢ μονάστρια, τὴν μὴν δεσποτείαν ἡ κατ' αὐτὴν ἐκκλησία λαμβάνει, αὐτὴ δὲ τὴν χρῆσιν· οἱ δὲ ἄλλως αὐτῇ βοηθήσαντες, ἢ ὑπουργήσαντες, ἢ συνειδότες, ἢ ὑποδεξάμενοι, ἢ σπουδὴν οἱανδήποτε συνεισαγαγόντες, μόνῃ τῇ ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται· χώρα δὲ τοῖς εἰρημένοις, κἂν ἐκοῦσα τις τῶν εἰρημένων γυναικῶν ἁμαρκηθῇ, βιβλ. α' τίτ. δ'

διάτ. γ'· καὶ ἐν ταῖς ἡμέραις τοῦ πάσχα οἱ τῶν παρθένων ἅρπαγες ἐγκλείονται καὶ δεσμοῦνται· βιβλ. γ' τίτ. κδ' διάτ. α', ὁ μὴ ὢν ἰλλούστριος ἀλλὰ μόνον λαμπρότατος, ἁρπαγὴν ἐν ἐπαρχίᾳ παρθένου πλημμελήσας, ἐκεῖ τοῖς νόμοις ὑποβάλλεται, μὴ χρώμενος φόρου παραγραφῇ.

Τίτ. μα', διάτ. δ', ὁ λέγων παρὰ δούλου τὴν αὐτοῦ γαμετὴν ἁρπαγῆναι, οὐ τοῦ δεσπότου ἀλλ' αὐτοῦ κατηγορεῖν ὀφείλει· βιβλ. ζ', τίτ. γ', διάτ. γ', ἐὰν δοῦλος καταμηνύσῃ ἁρπαγὴν παρθένου λαθοῦσαν, πάκτῳ ἢ ἀποπροσποιήσει ἐλευθεροῦται· βιβλ. θ' τίτ. θ', διάτ. ζ', ὁ ἀνὴρ οὐ δύναται κινεῖν ὡς ἀνὴρ περὶ τῆς πρὸ τοῦ γάμου βιαίας τῆς παρθένου φθορᾶς, εἰ μὴ ἦν αὐτοῦ μνηστὴ· αὐτὴ δὲ κινεῖ συνόντων τῶν κουρατώρων· τίτ. ί, διάτ. α', ἐάν τις φθείρῃ τὴν παρ' αὐτοῦ ἐπιτροπευθεῖσαν δεπορτατεύεται, καὶ εἰς ὁλόκληρον δημεύεται· τίτ. ια', διάτ. γ', ἐὰν ἁρπαγῇ ἡ μνηστὴ τοῦ υἱοῦ μου, κινῶ τὸν περὶ βίας νόμον· βιβλ. θ', τίτ. ιγ', διάτ. α' καὶ μόνη, ἐάν τις ἁρπάσῃ οἱανδήποτε γυναῖκα δούλην ἢ ἐλευθέραν, κἂν ἦν αὐτῷ μεμνηστευμένη, κεφαλικῶς καταδικαζόμενος ἀποθνήσκει, καὶ οἱ ἐν τῇ ἁρπαγῇ βοηθήσαντες αὐτῷ· καὶ τοῖς πατράσι τῶν ἁρπαγεισῶν ἔξεστι, καὶ τοῖς ἀδελφοῖς καὶ τοῖς κηδεμόσι καὶ πάτρωσι καὶ θεσπόταις, ἐν τῷ καιρῷ τῆς ἐφόδου τούτους φονεύειν· εἰ δὲ διαφύγωσιν, ἀναζητοῦσιν αὐτούς, ἐν μὲν Βυζαντίῳ οἱ ὕπαρχοι καὶ ὁ ἔπαρχος, ἐν δὲ ταῖς ἐπαρχίαις πάντες οἱ ἄρχοντες καὶ στρατηλάται καὶ δοῦκες, καὶ μετὰ σύγασιν ἀναιροῦσι, μὴ δυναμένους χρήσασθαι φόρου παραγραφῇ ἢ ἐκκλήτῳ.

Καὶ εἰ μὲν δούλη ἢ ἀπελευθέρα ἁρπαγῇ, ἀναιροῦνται οἱ ἅρπαγες, οὐ μὲν καὶ μείωσιν τῆς οὐσίας ὑφίστανται· εἰ δὲ εὐγενὴς ἡρπάγη, πάντα τὰ πράγματα τοῦ ἁρπάσαντος

καὶ τῶν βοηθησάντων αὐτῷ, προσκυροῦνται τῇ ἁρπαγείσῃ· οὔτε δὲ συναινοῦντος τοῦ πατρὸς, δύνανται γαμεῖσθαι τῷ ἁρπάσαντι· τὴν αὐτὴν δὲ ποινὴν τοῦ θανάτου καὶ τῶν πραγμάτων ὑφίστανται, οἱ πρὸς τὴν ἔφοδον αὐτῆς ἀκολουθήσαντες· οἱ δὲ συνίστορες καὶ οἱ ὑπουργοὶ καὶ οἱ ὑποδοχεῖς, καὶ οἱ ὁπωσοῦν αὐτοῖς σπουδάσαντες, εἴας ἂν εἶεν φύσεως καὶ τύχης καὶ βαθμοῦ ἢ ἀξίας, μόνην τὴν κεφαλικὴν ὑφίστανται τιμωρίαν, εἰ καὶ ἑκοῦσα ἡ γυνὴ ἡρπάγη· εἰ δὲ οἱ γονεῖς τὴς ἁρπαγείσης ἀνάσχωνται καὶ παραχωρήσουσι, δεπορτατεύονται· οἱ δὲ ὑπουργήσαντες δοῦλοι καὶ δοῦλαι καίονται· καὶ ἀργεῖ πάντα τὰ περὶ ἁρπαγῆς γυναικῶν, ἀλλαχοῦ νενομοθετημένα, τῆς παρούσης διατάξεως ἀρκούσης ἐπὶ αὐτῶν καὶ ἱερῶν καὶ χηρῶν· καὶ μζ΄, τίτ. β΄, δίγ. λϑ΄, ὁ δούλην ἀλλοτρίαν πόρνην οὖσαν ἁρπάζων ἢ κρύπτων, οὔτε ὡς κλέπτης, οὔτε ὡς ἀνδραποδιστὴς ἐνέχεται· οὐ γὰρ κλοπῆς ἀλλ' ἡδονῆς χάριν τοῦτο ἐποίησε· βιβλ. μή, τίτ. ε΄, δίγ. κϑ΄, ὁ ὡρισμένος εἰς κατηγορίαν τῆς μοιχείας χρόνος τῆς πενταετίας, εἰκ ἔχει χώραν ἐπὶ τῆς κατὰ βίαν γενομένης φθορᾶς, ἁπροσδιορίστως γὰρ κινεῖται, ἐπειδὴ καὶ δημοσία βία πλημμελεῖται· ὁμοίως δίγ. ε΄ τοῦ ς΄ τίτ. τοῦ αὐτοῦ βιβλ. ἐν ᾧ φησὶν, ὅτι ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας, καὶ ὁ ἁρπάσας γεγαμημένην ἢ μὴ γεγαμημένην, ἐσχάτως τιμωρεῖται, καὶ ἐξωτικοῦ κατηγοροῦντος, ἐὰν ὁ τῆς κόρης πατὴρ παρακληϑεὶς συγχωρήσῃ.

Λέγει δὲ καὶ διάτ. α΄ τοῦ α΄ τίτ. τῶν νεαρῶν, ὅτι οἱ φϑείροντες διακόνισσαν, ὑπεύθυνοι εἰσὶ ξίφει, καὶ τὰς οὐσίας αὐτῶν λαμβάνει τὸ δημόσιον· ἡ δὲ περὶ μανδάτων τῶν ἀρχόντων διαλεγομένη ιζ΄ νεαρὰ, ἀπαγορεύει ὅρους ἀσυλίας φυλάττεσθαι τοῖς ἅρπαξι τῶν παρθένων· καὶ ἡ β΄ τοῦ αὐτοῦ

διατάγ. φησὶν, ὅτι οἱ ἁρπάζοντες, ἢ ὑπενεθεύοντες, ἢ διαφθείροντες ἀσκήτριαν, ἢ διακόνισσαν, ἢ μονάζριαν, ἢ ἄλλην εὐλαβὲς ἔχουσαν σχῆμα, καὶ οἱ μετέχοντες, κεφαλικῶς τιμωρεῖνται· καὶ τὰ πράγματα αὐτῶν τῇ ἐκκλησίᾳ ἢ τῷ μοναστηρίῳ τῆς ὑβρισθείσης περιποιεῖνται διὰ τοῦ ἐπισκόπου, καὶ τοῦ οἰκονόμου, καὶ τῶν ἀρχόντων καὶ τῶν τάξεων· αὐτὴ δὲ μετὰ τῶν πραγμάτων αὐτῆς ἐμβάλλεται μοναστηρίῳ ἀσφαλῶς φυλαχθησομένη· εἰ δὲ διακόνισσά ἐστιν ἔχουσα νομίμους παῖδας, τὸ νόμιμον μέρος λαμβάνουσιν· εἰ δὲ ἐπὶ ἐνιαυτὸν μετὰ τὸ γνωσθῆναι τὸ μῦσος, μὴ ἐκδικήσουσι τὰ πράγματα οἱ εὐαγεῖς εἶκι, ὁ φίσκος αὐτὰ λαμβάνει· τοῦ ἀμελοῦντος αὐτὰ ἐκδικηθῆναι ἄρχοντος ἀποζωννυμένου καὶ ε΄ λίτρας τοῖς πριβάτοις προστιμωμένου· ἡ δὲ ρμά νεαρὰ διαλεγομένη περὶ γυναικὸς ἁρπαγείσης, καὶ γαμηθείσης τῷ ἁρπάσαντι φησὶ, τὴν τοιαύτην μὴ δύνασθαι λαβεῖν τὰ πράγματα αὐτοῦ, μήτε τῶν μετασχόντων τοῦ μύσους, ἀλλ' οἱ γονεῖς αὐτῆς λαμβάνουσιν αὐτὰ, εἰ μὴ τῷ γάμῳ ἰδικῶς συνήνεσαν· εἰ γὰρ συνήνεσαν, εἰ μὴ περίεισι, φισκοῦνται τὰ τοιαῦτα πράγματα.

ΚΕΦ. ΛΑ.

Περὶ ἱερατικῶν συλλυομένων γυναιξίν.

Συνόδου Λαοδικείας κανὼν λ΄.

λ΄ Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἢ ἀσκητὰς ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μήτε ὅλως χριστιανὸν ἢ λαϊκόν· αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν οζ΄.

οζ Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ ἀσκητὰς, ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μὴ δὲ πάντα χριστιανὸν

ἢ λαϊκὸν· αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν· εἰ δέ τις ἐπὶ τούτῳ φωραθείη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Ἡ περὶ ῥεπουδίων νεαρὰ ριζ', δίδωσιν ἄδειαν τῷ ἀνδρὶ, τῆς αὐτοῦ γαμετῆς παρὰ γνώμην αὐτοῦ συλλυομένης ἀνδράσι, στέλλειν αὐτῇ ῥεπούδιον, καὶ λύειν τὸν γάμον καὶ κερδαίνειν τὴν αὐτῆς προῖκα.

ΚΕΦ. ΛΒ.

Περὶ ἐπισκόπων καὶ κληρικῶν γινομένων λαϊκῶν ἢ ἀξιωματικῶν ἢ στρατευομένων.

Ἀποστόλων κανὼν πγ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, στρατείαν σχο- πγ'
λάζων etc. ut p. 273.

Συνόδου Νικαίας κανὼν ιβ'.

Οἱ δὲ προσκληθέντες μὲν ὑπὸ τῆς χάριτος etc. ut p. 259. ιβ'

Συνόδου Χαλκηδόνος κανὼν ζ'.

Τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους ἢ καὶ μοναστὰς etc. ζ
ut p. 278.

Βιβλ. α' τοῦ κώδ. τίτ. γ', διάτ. λζ', οἱ δοῦλοι γνώμῃ τῶν δεσποτῶν μονάζοντες ἐλευθεροῦνται· εἰ δὲ καταλιπόντες τὴν ἄσκησιν, εἰς ἑτέραν κατάστασιν μετέλθωσιν, ἀναδουλοῦνται· καὶ διάτ. νβ' τοῦ αὐτοῦ τίτ. ὅτι ἐάν τις ὢν κληρικὸς ἐνόπλως στρατεύσηται, ἢ καθαιρεθεὶς μετέλθῃ στρατείαν, ἀποστρατεύεται, καὶ βουλευτὴς παραχρῆμα γίνεται τῆς ἰδίας πόλεως, ἢ ἑτέρας μέχρι μιᾶς ἐπαρχίας, ἐὰν ἡ πόλις αὐτοῦ πολλοὺς ἔχῃ βουλευτάς· εἰ δὲ λανθάνει, ἐπιλαμβάνονται οἱ βουλευταὶ τῶν πραγμάτων αὐτοῦ, καὶ τὸ μὲν ἥμισυ ἐν προσόδῳ οὔσῃ ἢ ὠνουμένῃ λαμβάνουσι, τὸ δὲ

ἥμισυ τῇ τραπέζῃ τῶν ὑπάρχων εἰσκομίζεται· τὸ αὐτὸ καὶ ἐπὶ μοναχοῦ ὁπωσοῦν στρατευομένου ἢ λαμβάνοντος ἀξίαν, ἢ τὸν ἐν δικαστηρίοις βίον μεταδιώκοντος· διάτ. νγ΄ τοῦ αὐτοῦ τίτ. οὐκ ἔξεστι τοῖς γονεῦσι βουλομένους τοὺς παῖδας μονάσαι ἢ κληρωθῆναι κωλύειν, οὔτε διὰ τοῦτο μόνον ἀποκληρονόμους ποιεῖν· ἀλλ' εἰ μὲν τὰ καθ' ἑαυτοὺς διατυποῦσιν, ἀνάγκην ἔχουσι τρεῖς ὀγκίας ἐᾶν αὐτοῖς· εἰ δὲ μὴ διατυπώσουσι, χώρα τοῖς ἐξ ἀδιαθέτου· εἰ δὲ τὰς ἐκκλησίας ἢ τὰ μοναστήρια καταλίπωσι, καὶ κοσμικοὶ γένωνται, πάντα τὰ δίκαια αὐτῶν τῷ μοναστηρίῳ καὶ τῇ ἐκκλησίᾳ διαφέρει· λέγει δὲ καὶ ἡ α΄ διάτ. τοῦ α΄ τίτ. τῶν νεαρῶν, ὅτι εἴτε πρεσβύτερος, εἴτε διάκονος, ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης, ἀπολιπεῖν βουληθῇ τὸ σχῆμα τοῦ κληρικοῦ, καὶ εἰς ἕτερον βίον μετελθεῖν, ἢ εἰς βουλευτήριον μετὰ τῆς οὐσίας, ἢ ἄπορος ὢν εἰς ταξεωτικὴν καταχθήσεται τύχην· καὶ ἡ β΄ διάτ. τοῦ αὐτοῦ τίτ. φησὶ, μηδεὶς τὸν οἰκεῖον κλῆρον ἐῶν, γινέσθω κοσμικὸς, ἐπεὶ καὶ τῆς ὡς εἰκὸς προσούσης αὐτῷ ἀξίας ἢ στρατείας στερεῖται, καὶ τῇ βουλῇ τῆς ἰδίας πόλεως ἀποδίδοται· καὶ ἐὰν δοῦλος εἰδότος καὶ μὴ ἀντιλέγοντος τοῦ δεσπότου κληρωθῇ, ἐλεύθερος καὶ εὐγενὴς γίνεται· ἀγνοῶν δὲ ὁ δεσπότης, εἴσω ἑνὸς ἐνιαυτοῦ τὴν τύχην ἀποδεικνὺς, λαμβάνει αὐτὸν· ὁ δὲ οὕτως ἐλευθερούμενος, ἐὰν εἰς κοσμικὸν βίον μετέλθοι, παραδίδοται τῷ δεσπότῃ αὐτοῦ εἰς δουλείαν· καὶ ὅτι ὁ διὰ τοῦ μονάσαι ἐλευθερωθεὶς, ἐὰν κοσμικὸς γένηται, ἢ ἐν πόλεσιν, ἢ ἐν ἀγροῖς περιέρχηται, ἀποδίδοται τῇ ἰδίᾳ τύχῃ· καὶ ἡ ιγ΄ τοῦ αὐτοῦ τίτ. διάτ. φησὶν, ὅτι δοῦλος κατὰ τὴν ἐν αὐτῷ παρατήρησιν μονάσας, ἐὰν πειραθῇ τὸ μοναστήριον ἀπολιπεῖν, καὶ βίου ἑτέρου σχῆμα μετελθεῖν, ἔξεστι τῷ ἰδίῳ δεσπότῃ τὴν τύχην ἀπο-

δεικνύντι, ἔλκειν αὐτὸν καὶ εἰς οἰκέτας ὑπάγειν· λέγει δὲ καὶ ἡ β΄ διάτ. τοῦ α΄ τίτ. τῶν νεαρῶν, ὅτι ἐὰν μοναχὸς γένηται λαϊκὸς, γυμνοῦται τῆς στρατείας καὶ τῆς τιμῆς, καὶ διὰ τοῦ ἐπισκόπου, μεθ' ὧν ἐπεκτήσατο, εἰς μοναστήριον βάλλεται· εἰ δὲ πάλιν καταλίποι τὸ μοναστήριον, ὁ ἄρχων τῆς ἐπαρχίας ἐν ᾗ συνελήφθη, ἐνοῖ αὐτὸν τῇ ἐπιχωρίῳ τάξει.

ΚΕΦ. ΛΓ.

Περὶ τῶν συνεπισταμένων ἁμαρτάνουσι κληρικοῖς, καὶ μὴ φανερούντων.

Βασιλείου κανὼν κα΄.

Ὁ συνεγνωκὼς ἑκάστῳ τῶν προειρημένων ἁμαρτημάτων, οα΄ καὶ μὴ ὁμολογήσας, ἀλλ' ἐλεγχθεὶς, τοῦ τοσούτου χρόνου εἰς ὃν ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ.

Περὶ τῶν ὑποδεχομένων ἢ κρυπτόντων ληστὰς, ἢ δυναμένων καὶ μὴ παραδιδόντων, ἢ ἑτέροις ἐγκλήμασιν ὑποκειμένων, διαλαμβάνει ὁ λθ΄ τίτ. τοῦ θ΄ βιβλ. τοῦ κώδ. καὶ ὁ ις΄ τίτ. τοῦ μζ΄ βιβλ. τῶν δίγ. πῇ μὲν αὐτοὺς ὑποβάλλοντες ταῖς κατ' ἐκείνων ἁρμοζούσαις τιμωρίαις, πῇ δὲ διαφόρους ποινὰς ἐπάγοντες· καὶ πῶς ἀποσπῶνται οἱ ὑπεύθυνοι διάγοντες ἐν χωρίοις· ὁ δὲ συγγενὴ ἢ ἀγχιστέα λῃστὴν φυλάξας καὶ διασώσας, μέσῳ πῶς τιμωρεῖται, ὡς δίγ. β΄ τοῦ ις΄ τίτ. τοῦ εἰρημένου τοῦ μζ΄ βιβλ.

ΚΕΦ. ΛΔ.

Περὶ τοῦ καθαιρεῖσθαι τοὺς κληρικοὺς διδόντας ἐγγύας.

Ἀποστόλων κανὼν κ΄.

Κληρικὸς ἐγγύας διδοὺς, καθαιρείσθω. κ΄

Ἡ κέ καὶ ἡ λβ διάτ. τοῦ γ τίτ. τοῦ α βιβλ. τοῦ κώδ. λέγουσι τοὺς κληρικοὺς δικαζομένους διδόναι ἐγγύας· ἡ δὲ β διάτ. τοῦ α τίτ. τῶν νεαρῶν λέγει, τοὺς μὲν κληρικοὺς δικαζομένους, μὴ διδόναι ἐγγυητὴν, ἀλλ' ὁμολογίαν ἐνυπόθηκον ποιεῖν ἄνευ ὅρκου· τοὺς δὲ ἐπισκόπους δικαζομένους, μήτε ἐγγύας διδόναι, μήτε ποιεῖν ὁμολογίαν.

ΚΕΦ. ΛΕ.

Περὶ κληρικῶν ἐσθιόντων ἐν καπηλείῳ ἢ πανδοχείῳ.

Ἀποστόλων κανὼν νδ.

νδ Εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθείη ἐσθίων, ἀφοριζέσθω· πάρεξ τοῦ ἐν πανδοχείῳ ἐν ὁδῷ δι' ἀνάγκην καταλύοντος.

Συνόδου Λαοδικείας κανὼν κδ.

κδ Ὅτι οὐ δεῖ ἱερατικοὺς ἀπὸ πρεσβυτέρων ἕως διακόνων, καὶ ἑξῆς etc. ut p. 100.

Συνόδου Καρθαγέννης κανὼν μ.

Περὶ τοῦ μὴ καπηλεύεσθαι τοὺς κληρικοὺς, εἰ μὴ ἐπιξενουμένους.

μ Ὥστε τοὺς κληρικοὺς χάριν τοῦ τρώγειν ἢ πίνειν, μὴ εἰσιέναι εἰς καπηλεῖα, εἰ μὴ δ' ἂν ξενίας ἀνάγκη συνωθουμένους.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν θ.

θ Μηδενὶ ἐξεῖναι κληρικῷ, καπηλικὸν ἔχειν ἐργαστήριον etc. ut p. 276.

Ἡ ιθ διάτ. τοῦ α τίτ. τῶν νεαρῶν φησὶν, ὅτι τὸν μοναχὸν ἀναστρεφόμενον ἐν καπηλείῳ δεῖ σωφρονίζεσθαι, ἐν μὲν ταῖς ἐπαρχίαις παρὰ τῶν ἐκδίκων, ἐν δὲ Κωνσταντινουπόλει παρὰ τοῦ ἐπάρχου τῶν πραιτωρίων, ἐξωθούμενον

τῶν μοναστηρίων παρὰ τῶν ἡγουμένων· πανταχοῦ δὲ κρατεῖ ὁ νόμος· καὶ προνοοῦσι τῆς φυλακῆς αὐτοῦ οἱ ὕπαρχοι καὶ οἱ ἄρχοντες.

ΚΕΦ. Λς.

Περὶ κληρικῶν ὑβριζόντων βασιλέα ἢ ἐπίσκοπον, ἢ ἄρχοντα, ἢ πρεσβύτερον.

Ἀποστόλων κανὼν νέ νς πδ.

Εἴ τις κληρικὸς ὑβρίσει τὸν ἐπίσκοπον, καθαιρείσθω· ἄρχοντα γὰρ τοῦ λαοῦ σου, οὐκ ἐρεῖς κακῶς. νέ

Εἴ τις κληρικὸς ὑβρίσει πρεσβύτερον ἢ διάκονον, ἀφοριζέσθω. νς

Ὅς τις ὑβρίσει βασιλέα etc. ut p. 266. πδ

Τῆς ἐπὶ Φωτίῳ συνόδου κανὼν γ.

Εἴ τις τῶν λαϊκῶν αὐθεντήσας, καὶ καταφρονήσας μὲν τῶν θείων καὶ βασιλικῶν προσταγμάτων, καταγελάσας δὲ καὶ τῶν φρικτῶν τῆς ἐκκλησίας θεσμῶν τὲ καὶ νόμων, τολμήσειεν ἐπίσκοπόν τινα τύψαι, ἢ φυλακίσαι, ἢ χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔςω. γ

Ἰδικῶς μὲν καὶ περὶ κληρικῶν ὑβριζόντων ὁ πολιτικὸς νόμος οὐ διαλαμβάνει· λέγει δὲ βιβλ. Ϟ τοῦ κώδ. τίτ. ζ', διάτ. α' καὶ μόνη, ὅτι ὁ τὸν βασιλέα ὑβρίζων οὐ τιμωρεῖται, οὔτέ τι σκληρὸν ἢ ταχὺ ὑπομένει· ἢ γὰρ ἀπὸ κουφότητος εἶπε, καὶ περιφρονεῖται· ἢ ἐξ ἀνοίας, καὶ ἐλεεῖται· ἢ ὡς ἀδικούμενος, καὶ συγχωρεῖται· ἀναφέρεται δὲ τῷ βασιλεῖ, καὶ αὐτὸς ἐκ τῆς ποιότητος τοῦ προσώπου κρίνει εἰ ὀφείλει συγχωρηθῆναι ἢ τιμωρηθῆναι· εἴρηται γὰρ καὶ βιβλ. μὴ τίτ. ϟ, διγ. ζ', ὅτι οὐ χρὴ τοὺς δικαστὰς ἀποκεχρῆσθαι τῇ βασιλικῇ τιμῇ, ἀλλὰ τὸ ἀληθὲς σκοπεῖν, καὶ εἰ

δυνατὸν ἦν τὸ πρόσωπον ποιῆσαι, καὶ εἰ πρὸ τούτου ἐποίησε, καὶ εἰ ἐνεθυμήθη, καὶ εἰ ἔνηφεν· οὔτε γὰρ εὐχερῶς ὀφείλει τιμωρεῖσθαι ὁ φλύαρος· εἰ μὴ τοιοῦτον ἐστὶ τὸ ἁμάρτημα, ὅπερ ὁ νόμος ῥητῶς ἐξ ὁμοίου τιμωρεῖται· τραχύτερον δὲ κατὰ στρατιωτῶν κινεῖται· γενικῶς δὲ περὶ τῶν ὑβριζόντων ἢ τυπτόντων ἢ ποιούντων φάμοσα, καὶ τῶν εὑρισκόντων αὐτὰ καὶ ἀναγινωσκόντων, καὶ μὴ διαῤῥηγνύντων διαλαμβάνει βιβλ. μζ΄ τίτ. ί καὶ βιβλ. Θ΄ τοῦ κώδ. τίτ. λέ· καὶ λς΄ καὶ ἰνςιτυτίων δ΄ τίτ. δ΄, ἐν οἷς εἴρηται, ὅτι καὶ χρηματικῶς καὶ ἐγκληματικῶς κινεῖται, καὶ ὅτι ὁ περὶ ὕβρεως καταδικαζόμενος ἄτιμος γίνεται, κἂν ἀλλότριον δοῦλον ὕβρισεν, ἢ φιλικῶς, ἢ ἐπὶ δόσει χρημάτων ἀπηλλάγη, ὡς βιβλ. γ΄, τίτ. β΄, δίγ. β΄, καὶ ς΄· καὶ ὅτι τραχεῖα ὕβρις ἐστὶν ἡ γινομένη ἄρχοντι ἢ ὑπάτῳ, καὶ ἱερεῖ καὶ ἀξιωματικῷ· καὶ ὅτι εἴσω τοῦ ἐνιαυτοῦ μόνου κινεῖται· κεφαλικὴ δὲ τιμωρία ὥρισται κατὰ τῶν ποιούντων φάμοσα, καὶ τῶν ἀναγινωσκόντων αὐτὰ, καὶ τὴν δύναμιν αὐτῶν λεγόντων τισὶν, ὡς βιβλ. Θ΄, τίτ. λς΄.

ΚΕΦ. ΛΖ.

Περὶ τῶν ποιούντων συνωμοσίας ἢ φατρίας.

Συνόδου Χαλκηδόνος κανὼν ιή΄.

ιή΄ Τὸ τῆς συνωμοσίας ἢ φατρίας ἔγκλημα etc. ut p. 275.

Συνόδου Καρθαγένης κανὼν νγ΄.

Ὥστε τὰς διοικήσεις, εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου, ἐπίσκοπον ἕτερον μὴ δέχεσθαι.

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν.

νγ΄ Ἐν πολλαῖς συνόδοις ὥρισται συνεδρίῳ ἱερατικῷ etc. ut p. 186.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν τῇ ἐξακολουθήσει etc. ut p. 186.

Ὀνωράτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον.

Ἡ μεγίστη τῶν ὑμετέρας ἁγιωσύνης etc. ut p. 187.

Σύμπαντες ἐπίσκοποι εἶπον. – Ἀρέσκει. – Ἀρέσκει.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν λδ'.

Καὶ τοῦτο δὲ τοῦ ἱερατικοῦ κανόνος σαφῶς διαγορεύοντος, λδ
ὡς τὸ τῆς συνωμοσίας ἢ φατρίας ἔγκλημα, καὶ παρὰ τῶν ἔξω νόμων πάντη κεκώλυται, πολλῷ δὴ μᾶλλον ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει, καὶ ἡμεῖς παραφυλάττειν σπουδάζομεν· ὥστε εἴ τινες κληρικοὶ ἢ μοναχοὶ εὑρεθεῖεν, ἢ συνομνύμενοι, ἢ φατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες ἐπισκόπων, ἢ συγκληρικῶν, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ.

Καὶ ὁ πολιτικὸς νόμος τιμωρεῖται τὰς φατρίας καὶ τὰς συνωμοσίας, ὡς βιβλ. μή τίτ. ὅ, διγ. ὅ, καὶ τίτ. ιϑ', διγ. α' καὶ ις'.

ΚΕΦ. ΛΗ.

Ποῖα ἁμαρτήματα ἡ χειροθεσία λύει.

Συνόδου Νεοκαισαρείας κανὼν θ'.

Πρεσβύτερος ἐὰν προημαρτηκὼς etc. ut p. 93. θ'

ΚΕΦ. ΛΘ.

Περὶ μετανοίας, καὶ τίνες ἄδειαν ἔχουσι διδόναι τοῖς μετανοοῦσι καταλλαγήν, καὶ ὅτι ἔξεστι τῷ ἱερεῖ μειοῦν καὶ αὔξειν τὰ ἐπιτίμια.

Ἀποστόλων κανὼν νβ'.

νβ' Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος τὸν ἐπιστρέφοντα ἀπὸ ἁμαρτίας οὐ προσδέχεται, ἀλλὰ ἀποβάλλεται, καθαιρείσθω· ὅτι λυπεῖ Χριστὸν τὸν εἰπόντα, χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Συνόδου Νικαίας κανὼν ια' ιβ'.

ια' Περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης, ἢ χωρὶς ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνου, ἢ τινὸς τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικιννίου, ἔδοξε τῇ συνόδῳ, εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρηστεύσασθαι εἰς αὐτούς· ὅσοι οὖν γνησίως μεταμελοῦνται, γ' ἔτη ἐν ἀκροωμένοις ποιήσουσιν οἱ πιστοὶ, καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται· δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν προσευχῶν.

ιβ' Οἱ δὲ προσκληθέντες μὲν ὑπὸ τῆς χάριτος etc. ut p. 259.

Συνόδου Ἀγκύρας κανὼν α' β' γ' δ' ε' ς' ζ' η' θ'.

α' Πρεσβυτέρους τοὺς ἐπιθύσαντας, εἶτα ἀναπαλαίσαντας etc. ut p. 135.

β' Διακόνους ὁμοίως θύσαντας etc. ut p. 280.

γ' Τοὺς φεύγοντας καὶ συλληφθέντας etc. ut p. 282.

δ' Περὶ τῶν πρὸς βίαν θυσάντων, ἐπὶ δὲ τούτοις καὶ τῶν δειπνησάντων εἰς τὰ εἴδωλα, ὅσοι μὲν ἀπαγόμενοι καὶ σχήματι φαιδροτέρῳ ἀνῆλθον, καὶ ἐσθῆτι ἐχρήσαντο πολυτελεστέρᾳ, καὶ μετέσχον τοῦ παρασκευασθέντος δείπνου ἀδια-

φόρως, ἔδοξεν ἐνιαυτὸν ἀκροᾶσθαι, ὑποπεσεῖν δὲ τρία ἔτη, εὐχῆς δὲ μόνης κοινωνῆσαι ἔτη δύο, καὶ τότε ἐλθεῖν ἐπὶ τὸ τέλειον.

Ὅσοι δὲ ἀνῆλθον μετὰ ἐσθῆτος πενθικῆς, καὶ ἀναπε- ε'
σόντες ἔφαγον, μεταξὺ δι' ὅλης τῆς ἀνακλίσεως δακρύοντες, εἰ ἐπλήρωσαν τὸν τῆς ὑποπτώσεως τριετῆ χρόνον, χωρὶς προσφορᾶς δεχθήτωσαν· εἰ δὲ μὴ ἔφαγον, δύο ὑποπεσόντες ἔτη, τῷ τρίτῳ κοινωνησάτωσαν χωρὶς προσφορᾶς, ἵνα τὸ τέλειον τῇ τετραετίᾳ λάβωσι· τοὺς δὲ ἐπισκόπους ἐξουσίαν ἔχειν τὸν τρόπον τῆς ἐπιστροφῆς δοκιμάσαντας, φιλανθρωπεύεσθαι ἢ πλείονα προσιθέναι χρόνον· πρὸ πάντων δὲ καὶ ὁ προέχων βίος καὶ ὁ μετὰ ταῦτα ἐξεταζέσθω, καὶ οὕτως ἡ φιλανθρωπία ἐπιμετρείσθω.

Περὶ τῶν ἀπειλῇ μόνον εἰξάντων κολάσεως, καὶ ἀφαιρέ- ς'
σεως ὑπαρχόντων ἢ μετοικίας, καὶ θυσάντων, καὶ μέχρι τοῦ παρόντος καιροῦ μὴ μετανοησάντων, μὴ δὲ ἐπιστρεψάντων, νῦν δὲ παρὰ τὸν καιρὸν τῆς συνόδου προσελθόντων, καὶ εἰς διάνοιαν τῆς ἐπιστροφῆς γενομένων, ἔδοξε μέχρι τῆς μεγάλης ἡμέρας εἰς ἀκρόασιν δεχθῆναι, καὶ μετὰ τὴν μεγάλην ὑποπεσεῖν τρία ἔτη, καὶ μετὰ ἄλλα δύο ἔτη κοινωνῆσαι χωρὶς προσφορᾶς, καὶ οὕτως ἐλθεῖν ἐπὶ τὸ τέλειον· ὥστε τὴν πᾶσαν ἑξαετίαν πληρῶσιν· εἰ δέ τινες πρὸ τῆς συνόδου ταύτης ἐδέχθησαν εἰς μετάνοιαν, ἀπ' ἐκείνου τοῦ χρόνου λελογίσθαι αὐτοῖς τὴν ἀρχὴν τῆς ἑξαετίας· εἰ μέν τοι κίνδυνος, καὶ θανάτου προσδοκία ἐκ νόσου ἢ ἄλλης τινὸς προφάσεως συμβαίη, τούτους ἐπὶ ὅρῳ δεχθῆναι.

Περὶ τῶν συνεσιαθέντων ἐν ἑορτῇ ἐθνικῇ, ἐν τόπῳ ἀφω- ζ'
ρισμένῳ τοῖς ἐθνικοῖς, ἴδια βρώματα ἐτοιμασαμένων καὶ φαγόντων, ἔδοξε διετίαν ὑποπεσόντας δεχθῆναι· τὸ δὲ εἰ

χρὴ μετὰ τῆς προσφορᾶς, ἑκάστῳ τῶν ἐπισκόπων ἐξέστω δοκιμάσαι, καὶ τὸν ἄλλον βίον ἐφ' ἑκάστου ἐξετάσαι.

η' Οἱ δὲ δεύτερον καὶ τρίτον θύσαντες μετὰ βίας, τετραετίαν ὑποπεσέτωσαν, δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνησάτωσαν, καὶ τῷ ἑβδόμῳ τελείως δεχθήτωσαν.

θ' Ὅσοι δὲ μὴ μόνον ἀπέστησαν ἀλλὰ καὶ ἐπανέστησαν καὶ ἠνάγκασαν ἀδελφοὺς, καὶ αἴτιοι ἐγένοντο τοῦ ἀναγκασθῆναι, οὗτοι ἔτη μὲν τρία τὸν τῆς ἀναρράσεως δεξάσθωσαν τόπον· ἐν δὲ ἄλλῃ ἑξαετίᾳ τὸν τῆς ὑποπτώσεως· ἄλλον δὲ ἐνιαυτὸν κοινωνησάτωσαν χωρὶς προσφορᾶς· ἵνα τὴν δεκαετίαν πληρώσαντες, τοῦ τελείου μετάσχωσιν· ἐν μέν τοι τούτῳ τῷ χρόνῳ, καὶ τὸν ἄλλον αὐτῶν ἐπιτηρεῖσθαι βίον.

Συνόδου Νεοκαισαρείας κανὼν β'.

β' Γυνὴ ἐὰν γήμηται δύο ἀδελφοῖς, ἐξωθείσθω μέχρι θανάτου· πλὴν ἐν τῷ θανάτῳ διὰ φιλανθρωπίαν εἰποῦσα ὡς ὑγιάνασα λύσει τὸν γάμον, ἔξει τὴν μετάνοιαν· ἐὰν δὲ τελευτήσῃ ἡ γυνὴ ἐν τοιούτῳ γάμῳ οὖσα, ἤτοι ὁ ἀνὴρ, δυσχερὴς τῷ μείναντι ἡ μετάνοια.

Συνόδου Λαοδικείας κανὼν β'.

β' Περὶ τοῦ τοὺς ἐξαμαρτάνοντας ἐν διαφόροις πταίσμασι, καὶ προσκαρτεροῦντας τῇ προσευχῇ τῆς ἐξομολογήσεως καὶ μετανοίας, καὶ τὴν ἀποστροφὴν τῶν κακῶν τελείαν ποιουμένους, κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος καιροῦ μετανοίας δεῖσθαι, τοὺς τοιούτους διὰ τοὺς οἰκτιρμοὺς καὶ τὴν ἀγαθότητα τοῦ θεοῦ προσάγεσθαι τῇ κοινωνίᾳ.

Συνόδου Καρθαγέννης κανὼν ς' ζ' κζ' μγ' με'.

Ὥστε χρίσμα ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι.

Φουρτουνάτος ἐπίσκοπος εἶπεν.

ε' Ἐν ταῖς προλαβούσαις συνόδοις μεμνήμεθα etc. ut

p. 105. usque ad ἀπὸ πάντων ἐπισκόπων ἐλέχθη, πᾶσιν ἀρέσκει.

Χρίσματος ποίησις καὶ κορῶν καθιέρωσις etc. ut p. 105.

Περὶ τῆς τῶν ἐν κινδύνῳ καθεστώτων καταλλαγῆς.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Ἐάν τις ἐν κινδύνῳ καθεστὼς, αἰτήσῃ ἑαυτὸν καταλ- ζ
λαγῆναι τοῖς ἱεροῖς θυσιαστηρίοις, τοῦ ἐπισκόπου ἀπόντος, ὀφείλει εἰκότως ὁ πρεσβύτερος ἐρωτῆσαι τὸν ἐπίσκοπον, καὶ οὕτως τὸν ἐν κινδύνῳ καταλλάξαι κατὰ τὴν ἐκείνου παραγγελίαν· τοῦτο δὲ τὸ πρᾶγμα ὀφείλομεν σωτηριώδει βουλῇ κυρῶσαι.

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη.

Ἀρέσκει ὅπερ ἡ ὑμετέρα ἁγιωσύνη ἀναγκαίως ἡμᾶς ὠφελῆσαι κατηξίωσεν.

Πρεσβύτεροι καὶ διάκονοι ἐπὶ βαρυτέρῳ ἁμαρτήματι ἐλεγχθέντες; χειροθεσίαν ὡς λαϊκοὶ μηδαμῶς ὑποδέξονται.

Ὁμοίως ἐβεβαιώθη ὡς ἐάν ποτε πρεσβύτεροι ἢ διάκονοι, κζ
ἐπί τινι βαρυτέρᾳ ἁμαρτίᾳ ἐλεγχθῶσι, τῇ ἀνάγκῃ αὐτοὺς τῆς λειτουργίας ἀποκινούσῃ, μὴ ἐπιτίθεσθαι αὐτοῖς χεῖρας ὡς μετανοοῦσιν, ἢ ὡς πιστικῆς, μὴ δὲ ἐπιτρέπεσθαι αὐτοῖς ὥστε ἀναβαπτιζομένους πρὸς τὸν τοῦ κλήρου βαθμὸν προκόπτειν.

Περὶ τῶν μετανοούντων.

Ὥστε τοῖς μετανοοῦσι κατὰ τὴν τῶν ἁμαρτημάτων δια- μγ'
φορὰν, τῇ τῶν ἐπισκόπων κρίσει τὰς μετανοίας ἐν καιρῷ ψηφίζεσθαι· πρεσβύτερος δὲ παρὰ γνώμην τοῦ ἐπισκόπου, μὴ καταλλάσσῃ μετανοοῦντα, εἰ μὴ δ' ἂν ἀνάγκης συνωθούσης, ἐν τῇ ἀπουσίᾳ τοῦ ἐπισκόπου· οὐτινοσοῦν ποτε δὲ μετα-

νοσοῦντος, ἀ πούβλικον καὶ τεθρυλλημένον ἔστι τὸ ἔγκλημα τὸ σύμπασαν τὴν ἐκκλησίαν κινοῦν, πρὸ τῆς ἀψίδος τούτῳ ἡ χεὶρ ἐπιτεθῇ.

Περὶ τῶν ἀσθενούντων, καὶ ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι μὴ δυναμένων.

μ' Ὥστε τοὺς ἀσθενοῦντας etc. ut p. 159.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ρβ'.

ρβ' Δεῖ δὲ τοὺς ἐξουσίαν λύειν καὶ δεσμεῖν παρὰ θεοῦ λαβόντας, σκοπεῖν τὴν τῆς ἁμαρτίας ποιότητα, καὶ τὴν τοῦ ἡμαρτηκότος πρὸς ἐπιστροφὴν ἑτοιμασίαν, καὶ οὕτω κατάλληλον τὴν θεραπείαν προσάγειν τῷ ἀῤῥωστήματι· ἵνα μὴ τῇ ἀμετρίᾳ καθ' ἑκάτερον χρώμενος, ἀπέσφαλείη πρὸς τὴν σωτήριαν τοῦ κάμνοντος· οὐ γὰρ ἁπλῆ τῆς ἁμάρτιας ἡ νόσος, ἀλλὰ ποικίλος καὶ πολυειδὴς, καὶ πολλὰς τῆς βλάβης παραφυάδας βλαστάνουσα, ἐξ ὧν τὸ κακὸν ἐπὶ πολὺ διαχεῖται καὶ πρόσω βαίνει, μέχρις ἂν σταίη τῇ δυνάμει τοῦ θεραπεύοντος· ὥςε τὸν τὴν ἰατρικὴν ἐπιστήμην ἐν πνεύματι ἐπιδεικνύμενον, ὠρότερον χρὴ τὴν τοῦ ἡμαρτηκότος διάθεσιν ἐπισκέπτεσθαι, καὶ εἴτε πρὸς τὴν ὑγίειαν νεύει, ἢ τοὐναντίον διὰ τῶν οἰκείων τρόπων προσκαλεῖται καθ' ἑαυτοῦ τὸ ἀῤῥώστημα ἐφορᾶν, ὅπως τὲ τῆς ἐν τῷ μεταξὺ προνοεῖται ἀναζοφῆς, καὶ εἰ μὴ τῷ τεχνίτῃ ἀντιπαλαίει, καὶ τὸ τῆς ψυχῆς ἕλκος διὰ τῆς τῶν ἐπιτιθεμένων φαρμάκων αὐξάνει προσαγωγῆς, καὶ οὕτω τὸν ἔλεον κατ' ἀξίαν ἐπιμετρεῖν· πᾶς γὰρ λόγος θεῷ καὶ τῷ τὴν ποιμαντικὴν ἐγχειρισθέντι ἡγεμονίαν, τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τὸ τρωθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, καὶ μήτε κατὰ κρημνῶν ὠθῆσαι τῆς ἀπογνώσεως, μήτε τὸν χαλινὸν ἐνδοῦναι πρὸς τὴν βίου ἕλκυσίν τε καὶ καταφρόνησιν· ἀλλ' ἑνί γε τρόπῳ

πάντως, εἴτε διὰ τῶν αὐστηροτέρων τὲ καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων τὲ καὶ πραοτέρων φαρμάκων, κατὰ τοῦ πάθους στῆναι, καὶ πρὸς συνεύλωσιν τοῦ ἕλκους ἀνταγωνίσασθαι, τοὺς τῆς μετανοίας καρποὺς δοκιμάζοντι, καὶ οἰκονομοῦντι σοφῶς τὸν πρὸς τὴν ἄνω λαμπροφορίαν καλούμενον ἄνθρωπον· ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς χρὴ, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συμπαθείας· ἕπεσθαι δὲ, ἐπὶ τῶν καταδεξαμένων τὴν ἀκρότητα παραδέξασθαι, τῷ παραδοθέντι τύπῳ, καθὼς ὁ ἱερὸς ἡμᾶς ἐκδιδάσκει Βασίλειος.

Βασιλείου κανὼν ε' λδ' οδ' ce' cς' πβ' πδ'.

Τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν, δέχεσθαι ε'
χρὴ· δέχεσθαι δὲ δηλονότι οὐκ ἀκρίτως, ἀλλὰ δοκιμάζοντας εἰ ἀληθινὴν ἐπιδείκνυνται τὴν μετάνοιαν, καὶ εἰ τοὺς καρποὺς ἔχουσι μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ.

Τὰς μοιχευθείσας καὶ ἐξαγορευούσας δι' εὐλάβειαν, ἢ λδ'
ὁπωσοῦν ἐλεγχομένας, δημοσιεύειν μὲν ἐκώλυσαν οἱ πατέρες ἡμῶν, ἵνα μὴ θανάτου αἰτίαν παράσχωμεν ἐλεγχθείσαις· ἵστασθαι δὲ αὐτὰς ἄνευ κοινωνίας προσέταξαν, μέχρι τοῦ συμπληροῦσθαι τὸν χρόνον τῆς μετανοίας.

Ἐὰν μέν τοι γε ἕκαστος τῶν ἐν τοῖς προγεγραμμένοις οδ'
ἁμαρτήμασι γενομένων, σπουδαῖος γένηται ἐξομολογούμενος, ὁ πιστευθεὶς παρὰ τῆς τοῦ θεοῦ φιλανθρωπίας λύειν καὶ δεσμεῖν, φιλανθρωπότερος γένοιτο, τὸ ὑπερβάλλον τῆς ἐξομολογήσεως ὁρῶν τοῦ ἡμαρτηκότος, εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων, οὐκ ἔξαι καταγνώσεως ἄξιος· τῆς ἐν ταῖς γραφαῖς ἱστορίας γνωριζούσης ἡμῖν, τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους, ταχέως τὴν τοῦ θεοῦ φιλανθρωπίαν καταλαμβάνειν.

Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ ἐκ μητρὸς συμμιανθεὶς, εἰς οε'

οἶκον προσευχῆς μὴ ἐπιτρεπέσθω παρεῖναι, ἕως ἂν ἀποστῇ τῆς παρανόμου καὶ ἀθεμίτου πράξεως· μετὰ δὲ τὸ ἐλθεῖν εἰς συναίσθησιν τῆς φθερᾶς ἁμαρτίας, τριετίαν προσκλαιέτω, τῇ θύρᾳ τῶν εὐκτηρίων οἴκων παρεστηκὼς, καὶ δεόμενος τοῦ λαοῦ εἰσιόντες ἐπὶ τὴν προσευχήν· ὥστε ἕκαστον μετὰ συμπαθείας ὑπὲρ αὐτοῦ ἐκτενεῖς ποιεῖσθαι πρὸς κύριον προσευχάς· παρὰ δὲ τοῦτο, ἄλλην τριετίαν εἰς ἀκρόασιν μόνην παραδεχθήτω, καὶ ἀκούων τῶν γραφῶν καὶ τῆς διδασκαλίας, ἐκβαλλέσθω καὶ μὴ καταξιούσθω προσευχῆς· ἔπειτα εἴπερ μετὰ δακρύων ἐξεζήτησεν αὐτὸν καὶ προσέπεσε τῷ κυρίῳ μετὰ συντριμμοῦ καρδίας καὶ ταπεινώσεως ἰσχυρᾶς, διδόσθω αὐτῷ ἡ ὑπόπτωσις ἐν ἄλλοις τρισὶν ἔτεσι· καὶ οὕτως ἐπειδὰν τοὺς καρποὺς τῆς μετανοίας ἀξίους ἐπιδείξηται, τῷ δεκάτῳ ἔτει εἰς τὴν τῶν πιστῶν εὐχὴν δεχθήτω χωρὶς προσφορᾶς· καὶ δύο ἔτη συστὰς εἰς τὴν εὐχὴν τῶν πιστῶν, οὕτως λοιπὸν καταξιούσθω τῆς τοῦ ἁγιάσματος κοινωνίας.

ος' Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων.

πβ' Καὶ περὶ τῶν ἐπιορκησάντων, εἰ μὲν ἐκ βίας καὶ ἀνάγκης παρέβησαν τοὺς ὅρκους, κουφοτέρας ὑπόκεινται τοῖς ἐπιτιμίοις, ὥστε μετὰ ἓξ ἔτη εἶναι αὐτοὺς δεκτούς· εἰ δὲ ἄνευ ἀνάγκης προδόντες τὴν ἑαυτῶν πίστιν, ἐν δυσὶν ἔτεσι προσκλαύσαντες, καὶ ἐν δυσὶν ἀκροασάμενοι, καὶ ἐν πέντε ἐν ὑποπτώσει εὐξάμενοι, καὶ ἐν δυσὶν ἄλλοις ἄνευ προσφορᾶς εἰς τὴν κοινωνίαν τῆς προσευχῆς παραδεχθέντες, οὕτω τελευταῖον ἀξιόλογον δηλαδὴ τὴν μετάνοιαν ἐπιδειξάμενοι, ἀποκατασταθήσονται εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ Χριστοῦ.

πγ' Πάντα δὲ ταῦτα γράφομεν, ὥστε τοὺς καρποὺς δοκιμάζεσθαι τῆς μετανοίας· οὐ γὰρ πάντως τῷ χρόνῳ κρίνομεν

τὰ τοιαῦτα, ἀλλὰ τῷ τρόπῳ τῆς μετανοίας προσέχομεν· ἐὰν δὲ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς μᾶλλον δουλεύειν ἐθέλωσιν ἢ τῷ κυρίῳ, καὶ τὴν κατὰ τὸ εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος· ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν· μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις· ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρίμα, καὶ τὴν φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ κυρίου πρὸ ὀφθαλμῶν λαβόντες, μὴ θελήσωμεν ἁμαρτίαις ἀλλοτρίαις συναπόλλυσθαι· εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ τοῦ κυρίου, μὴ δὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ κύριος, καὶ παρέδωκεν εἰς χεῖρας βαρβάρων, καὶ ἀπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων εἰ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες· εἰ μὴ ἔγνωσαν μὴ δὲ συνῆκαν, ὅτι διὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς ἡ ὀργὴ τοῦ θεοῦ, τίς ἡμῖν κοινὸς πρὸς τούτους λόγος, ἀλλ' ἢ διαμαρτύρασθαι αὐτοῖς καὶ νυκτὸς καὶ ἡμέρας καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν; συναπάγεσθαι δὲ αὐτῶν ταῖς πονηρίαις μὴ καταδεχώμεθα, προσευχόμενοι μᾶλιστα μὲν κερδῆσαι αὐτοὺς καὶ ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ· ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν, σπουδάσωμεν τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

Γρηγορίου Νύσσης κανὼν γ' ὃ ζ' ἡ'.

Τῶν δὲ δι' ἐπιθυμίαν τε καὶ ἡδονὴν γινομένων ἁμαρτημάτων, τοιαύτη ἐστὶν ἡ διαίρεσις· τὸ μὲν γὰρ καλεῖται μοιχεία, τὸ δὲ πορνεία· τισὶ μὲν οὖν τῶν ἀκριβεστέρων ἤρεσε, καὶ τὸ κατὰ πορνείαν πλημμέλημα, μοιχείαν εἶναι νομίζειν, γ'

διότι μία ἐστὶν ἡ νόμιμος συζυγία, καὶ γυναικὶ πρὸς ἄνδρα, καὶ ἀνδρὶ πρὸς γυναῖκα· πᾶν οὖν τὸ μὴ νόμιμον, παράνομον πάντως· καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλαδὴ τὸ ἀλλότριον ἔχει· τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ Θεοῦ βοηθὸς, καὶ τῇ γυναικὶ μία ἐφήρμοσαι κεφαλή· οὐκοῦν εἰ μέν τις τὸ ἴδιον ἑαυτοῦ σκεῦος, καθὼς ὀνομάζει ὁ Θεῖος ἀπόστολος, ἑαυτῷ κτήσαιτο, συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν· εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσεται· ἀλλότριον δὲ ἑκάστῳ πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχῃ τὸν κυριεύοντα· οὐκοῦν οὐ πόρρω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία, τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λογισμὸν ἐδείχθη, λεγούσης καὶ τῆς Θείας γραφῆς, ὅτι μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν· πλὴν ἀλλ' ἐπειδὰν τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν πατέρων συμπεριφορὰ, διεκρίθη τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ· ὡς πορνείαν μὲν λέγεσθαι, τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τινὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν· μοιχείαν δὲ, τὴν ἐπιβουλήν τε καὶ ἀδικίαν τοῦ ἀλλοτρίου· ἐν ταύτῃ δὲ τὴν ζωοφθορίαν καὶ τὴν παιδεραστίαν εἶναι λογίζονται· διότι καὶ ταῦτα φύσεώς ἐστι μοιχεία, εἰς γὰρ τὸ ἀλλότριόν τε καὶ παρὰ φύσιν γίνεται ἡ ἀδικία· ταύτης τοίνυν τῆς διαιρέσεως, καὶ ἐν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας γεγενημένης, καθολικὴ μέν ἐστι θεραπεία τὸ τῆς ἐμπαθοῦς λύσσης, τῆς περὶ τὰς τοιαύτας ἡδονὰς, καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον· ἐπεὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων, ἀδικία τίς τῇ ἁμαρτίᾳ ταύτῃ οὐ καταμέμικται· διὰ τοῦτο διπλασίων ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσι, καὶ ἐν τοῖς ἀπηγορευμένοις κακοῖς, ζωοφθορίᾳ τε καὶ καὶ τῇ κατὰ τοῦ ἄρρενος λύσσῃ· διπλασιάζεται γὰρ ὡς εἰ-

πον ἐπὶ τῶν τοιούτων ἡ ἁμαρτία, μία μὲν ἡ κατὰ τὴν ἄθεσμον ἡδονὴν, ἑτέρα δὲ ἡ κατὰ τὴν τοῦ ἀλλοτρίου ἀδικίαν συνισταμένη· διαφορὰ δέ τις ἐςὶν ἐν τῷ λόγῳ τῆς μετανοίας καὶ ἐπὶ τῶν καθ' ἡδονὴν πλημμελούντων τοιαύτην· ὁ μὲν γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῆς ἁμαρτίας ὁρμήσας, αὐτῷ τῷ καταδέξασθαι δι' οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος, ὡς ἤδη τῆς θεραπείας τοῦ πάθους ἀρξάμενος, καὶ σημεῖον τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἐπιδειξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις· ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ, ἢ διά τινος ὑποψίας, ἢ κατηγορίας ἀκουσίως ἐλεγχθεὶς, ἐν ἐπιτεταγμένῃ γίνεται τῇ ἐπιστροφῇ· ὥστε καθαρισθέντα δι' ἀκριβείας αὐτὸν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων κοινωνίαν παραδεχθῆναι· ἔστι τοίνυν ὁ κανὼν τοιοῦτος, ὥστε τοὺς ἐν πορνείᾳ μολυνθέντας, ἐν τρισὶ μὲν, τῆς ἀκροάσεως μετέχειν μόνης· ἐν ἄλλοις δὲ τρισὶν ἔτεσι, μετὰ τῶν ἐν τῇ ἐπιστροφῇ ὑποπιπτόντων προσεύχεσθαι, καὶ τότε μετέχειν τῶν ἁγιασμάτων· ἐπὶ δὲ τῶν σπουδαιότερον κεχρημένων τῇ ἐπιστροφῇ, καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰκονομοῦντι πρὸς τὸ συμφέρον τῇ ἐκκλησιαστικῇ οἰκονομίᾳ συντεμεῖν τὸν χρόνον τῆς ἀκροάσεως, καὶ ταχίον εἰς ἐπιστροφὴν ἀγαγεῖν· καὶ πάλιν καὶ τοῦτον συντεμεῖν τὸν χρόνον, καὶ ταχίον ἀποδοῦναι τὴν κοινωνίαν, ὅπως ἂν τῇ ἑαυτοῦ δοκιμασίᾳ ἐγκρίνοι τὴν τοῦ θεραπευομένου κατάστασιν· ὥσπερ γὰρ τὸ τοῖς χοίροις ῥίπτειν τὸν μαργαρίτην ἀπείρηται, οὕτως τὸ ἀποστερεῖν τοῦ τιμίου μαργαρίτου τὸν ἤδη ἄνθρωπον διὰ τῆς καθαρότητός τε καὶ ἀπαθείας γενόμενον, τῶν ἀτόπων ἐστὶν· ἡ δὲ κατὰ μοιχείαν ἤτοι κατὰ τὰ λοιπὰ εἴδη τῆς ἀκαθαρσίας γενομένη παρανομία, καθὼς πρείρηται, κατὰ πάντα ἐν τῷ

αὐτῷ κρίματι θεραπευθήσεται, ἐν ᾧ καὶ τὸ τῆς πορνείας ἄγος· τῷ δὲ χρόνῳ μόνῳ διπλασιάζεται· παρατηρηθήσεται δὲ καὶ ἐπ' αὐτῷ ἡ τοῦ θεραπευομένου διάθεσις, ἓν τρόπον καὶ ἐπὶ τῶν τῷ μολυσμῷ τῆς πορνείας συνεχθέντων· ὥστε ἢ θᾶττον ἢ βραδύτερον γενέσθαι αὐτῆς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

δ Λείπεται πρὸς τούτοις τὸ θυμοειδὲς τῆς ψυχῆς προθεῖναι εἰς ἐξέτασιν, ὅταν παρασφαλεῖσα τῆς ἀγαθῆς τοῦ θυμοῦ χρήσεως, εἰς ἁμαρτίαν ἐκπέσῃ· πολλῶν δὲ ὄντων τῶν κατὰ θυμὸν εἰς ἁμαρτίαν ἐνεργουμένων, καὶ πάντων κακῶν, ἥρεσέ πως τοῖς πατράσιν ἡμῶν, ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι, μὴ δὲ πολλῆς ἄξιον ἡγεῖσθαι σπουδῆς, τὸ θεραπεύειν πάντα τὰ ἐκ τοῦ θυμοῦ παραπτώματα· καί τοι γε τῆς γραφῆς οὐ μόνον τὴν ψιλὴν ἀπαγορευούσης πληγήν, ἀλλὰ καὶ πᾶσαν λοιδορίαν ἢ βλασφημίαν, καὶ εἴ τι ἄλλο τοιοῦτον ὁ θυμὸς ἀπεργάζεται· μόνον δὲ τοῦ κατὰ τὸν φόνον ἄγους τὴν παραφυλακὴν ἐποιήσαντο διὰ τῶν ἐπιτιμίων· διήρηται δὲ τὸ τοιοῦτον κακὸν τῇ διαφορᾷ τοῦ ἑκουσίου τε καὶ ἀκουσίου· ἐν οἷς ἑκούσιος μέν ἐστι φόνος, πρῶτον μὲν ὁ ἐκ παρασκευῆς τετελεσμένος τοῦ εἰς αὐτὸ τοῦτο εὐτρεπισμένου, ὅπως ἂν τὸ ἄγος ἐργάσηται· ἔπειτα δὲ κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅτάν τις ἐν συμπλοκῇ καὶ μάχῃ τύπτων τε καὶ τυπτόμενος, ἐνέγκῃ κατά τινος καιρίου τὴν διὰ τῆς χειρὸς πληγήν· ὁ γὰρ ἅπαξ τῷ θυμῷ κρατηθείς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν παρὰ τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων, ἐπὶ νοῦν λάβοι· ὥστε καὶ τὸ ἐκ τῆς συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου, εἰς ἑκούσιον προαιρέσεως καὶ οὐκ εἰς ἀποτυχίαν ἀνάγεται· εἰ δὲ ἀκούσιοι φανερὰ ἔχουσι τὰ γνωρίσματα, ὅτάν τις πρὸς ἕτε-

ρόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τί τῶν ἀνηκέστων δράσῃ· ἐπὶ τούτων τοίνυν, ὁ μὲν φόνος εἰς τριπλασίονα χρόνον παρατείνειται τοῖς δι' ἐπιστροφῆς θεραπευομένοις τὸ ἑκούσιον ἄγος· τρὶς ἐννέα γάρ εἰσιν ἐνιαυτοὶ, καθ' ἕκαστον βαθμὸν τῆς ἐννάδος τῶν ἐτῶν ὁρισθείσης· ὥστε ἐν μὲν τῷ παντελεῖ ἀφορισμῷ, ἐνναετῆ χρόνον διαγενέσθαι ἀπειργόμενον τῆς ἐκκλησίας· ἀλλὰ δὲ τοσαῦτα ἔτη ἐν τῇ ἀκροάσει παραμεῖναι, μόνης τῶν διδασκάλων καὶ τῆς τῶν γραφῶν ἀκροάσεως, καὶ μετὰ τῆς τοῦ λαοῦ συστάσεως ἀξιούμενον· ἐν δὲ τῇ τρίτῃ ἐννάδι μετὰ τῶν ὑποπιπτόντων ἐν ἐπιστροφῇ προσευχόμενον, οὕτως ἐλθεῖν ἐπὶ τὴν μετουσίαν τοῦ ἁγιάσματος· δηλαδὴ καὶ ἐπὶ τοῦ τοιούτου ἡ αὐτὴ παρατήρησις ἔσται παρὰ τοῦ οἰκονομοῦντος τὴν ἐκκλησίαν· καὶ πρὸς λόγον τῆς ἐπιστροφῆς, συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις· ὥστε ἀντὶ ἐννέα ἐτῶν ἐφ' ἑκάστῳ βαθμῷ, ὀκτὼ ἢ ἑπτὰ, ἢ ἓξ, ἢ πέντε μόνα γενέσθαι, εἴπερ τὸ μεγέθος τῆς ἐπιστροφῆς νικήσῃ τὸν χρόνον, καὶ ὑπερβάλλοιτο τῇ σπουδῇ τῆς διορθώσεως τοὺς ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥᾳθυμότερον ἑαυτοὺς ἀπὸ τῆς κηλίδος καθαίροντας· τὸ δὲ ἀκούσιον, συγγνωστὸν μὲν, οὐ μὲν ἐπαινετὸν ἐκρίθη· τοῦτο δὲ εἶπον, ὥστε δῆλον γενέσθαι ὅτι κἂν ἀκουσίως τίς γένηται ἐν τῷ τοῦ φόνου μιάσματι, ὡς ἤδη βέβηλον αὐτὸν ἀπὸ τοῦ ἄγους γενόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο· ὅσος δέ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος, τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων ἐδοκιμάσθη καλῶς ἔχειν· δηλαδὴ καὶ ἐν τούτῳ τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης, ὥστε ἀξιόπιστος γένοιτο ἡ ἐπιστροφὴ, μὴ πάντως παραφυλαχθῆναι τὸν ἀριθμὸν τῶν ἐτῶν, ἀλλὰ διὰ συντομίας ἀγαγεῖν αὐτὸν εἰς

τὴν τῆς ἐκκλησίας ἀποκατάστασιν, καὶ εἰς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

ζ Ἡ δὲ τυμβωρυχία καὶ αὕτη διῄρηται εἰς τὸ συγγνωστόν τε καὶ ἀσύγγνωστον· εἰ μὲν γάρ τις τῆς ὁσίας φειδόμενος, καὶ ἄσυλον ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι ἡλίῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν τῷ τάφῳ προβεβλημένων συγχρήσαιτο, εἰς ἔργου τινὸς κατασκευὴν, ἐπαινετὸν μὲν οὐδὲ τοῦτο ἐστὶ, πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἰς προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γίνηται· τὸ δὲ διερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γεωθείσης σαρκὸς, καὶ ἀνακινεῖν τὰ ὀστᾶ, ἐλπίδι τοῦ κόσμον τινὰ τῶν συγκατορυχθέντων κερδάναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορνεία, καθὼς ἐν τῷ προλαβόντι διῄρηται λόγῳ· ἐπισκοποῦντος δηλαδὴ τοῦ οἰκονόμου, ἐξ αὐτοῦ τοῦ βίου τὴν ἰατρείαν τοῦ θεραπευομένου, ὥστε συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τοῦ ἐπιτιμίου προθεσμίαν.

η Ἡ δὲ ἱεροσυλία παρὰ μὲν τῇ ἀρχαίᾳ γραφῇ οὐδὲν ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα· ὁμοίως γὰρ ὅτε ἐπὶ φόνῳ ἁλοὺς, καὶ τὰ ἀνατεθέντα τῷ θεῷ ὑφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπεῖχον· ἐπὶ δὲ τῆς ἐκκλησιαστικῆς συνηθείας οὐκ οἶδ' ὅπως συγκατάβασίς τις ἐγένετο καὶ συμπεριφορὰ, ὥστε ἀνεκτότερον νομισθῆναι τὸ τῆς τοιαύτης νόσου καθάρσιον· ἐν ἐλάττονι γὰρ χρόνῳ παρὰ τὴν μοιχείαν, τοῖς τοιούτοις τὸ ἐπιτίμιον διετάξατο ἡ τῶν πατέρων παράδοσις· πανταχοῦ δὲ ἐν πλημμελήματος εἴδει τοῦτο καθορᾶν προσήκει πρὸ πάντων, οἷα ἐστὶν ἡ τοῦ θεραπευομένου διάθεσις, μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν ἀρκεῖν, τίς γὰρ ἂν ἐκ τοῦ χρόνου ἴασις γένοιτο; ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν διὰ τῆς ἐπιστροφῆς θεραπεύοντος.

Ταῦτα σοι ὦ ἄνθρωπε τοῦ θεοῦ κατὰ σπουδὴν πολλὴν ἐκ τῶν προχείρων συνθέντες, διὰ τὸ δεῖν τοῖς τῶν ἀδελφῶν ἐπιτάγμασι πείθεσθαι, κατὰ σπουδὴν ἀπεστείλαμεν· σὺ δὲ τὰς συνήθεις ὑπὲρ ἡμῶν εὐχὰς τῷ θεῷ προσάγων μὴ διαλείπῃς· χρεωστεῖς γὰρ, ὡς εὐγνώμων υἱὸς, τῷ κατὰ θεόν σε γεννήσαντι τὴν διὰ τῶν προσευχῶν γηρωκομίαν· κατὰ τὴν ἐντολὴν τὴν κελεύουσαν τιμᾷν τοὺς γονέας, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς· δῆλον δὲ ὅτι ὡς σύμβολον ἱερατικὸν δέξῃ τὸ γράμμα, καὶ οὐκ ἀτιμάσεις τὸ ξένιον κἂν σμικρότατον τῆς σῆς μεγαλοφυΐας ᾖ.

Ἡ γ' διάτ. τοῦ ζ' τίτ. τοῦ α' κώδ. ἀνεῖλε τὴν μετάνοιαν τῷ ἐξ ὀρθοδόξων εἰς αἱρετικοὺς ἀποστάντι· ἡ δὲ λζ' νεαρὰ, ἡ περὶ τῶν ἐκκλησιῶν Ἀφρικῆς διαλεγομένη, καὶ τοῖς τοιούτοις καιρὸν δέδωκε μετανοίας· ἡ δὲ λδ' διάτ. τοῦ δ' τίτ. τοῦ α' βιβλ. καὶ ἡ β' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν, ἄδειαν τῷ ἐπισκόπῳ δέδωκε, θεωροῦντι μετάνοιαν τοῦ κυβεύσαντος κληρικοῦ, ἢ θέαις παρεμβαλόντος, μειοῦν τὸ ἐπιτίμιον, καὶ πρὸ συμπληρώσεως τοῦ ὁρισθέντος χρόνου ἀποκαθιστᾷν αὐτὸν τῇ θείᾳ λειτουργίᾳ· τοῦτο δὲ περὶ ἐπισκόπων ἰδικόν ἐστιν· οἱ γὰρ πολιτικῶς δικάζοντες ἄδειαν ἔχουσι, τὴν ἀρχὴν ψηφιζόμενοι, αὔξειν καὶ μειοῦν τὴν ποινήν· ὥστε μέν τοι ἐπὶ ἑκατέρου μὴ παρεξιέναι τὴν συμμετρίαν, ὡς βιβλ. μή τίτ. θ', διάτ. ιβ' ιγ'· εἰ καὶ τὰ μάλιστα εἴρηται βιβλ. τῷ αὐτῷ τίτ. ς', διάτ. α', καὶ βιβλ. ν' τίτ. α', διάτ. ιε', ὅτι ἡ τοῦ φάκτου ζήτησις, ἐπιτέτραπται τῷ δικαστῇ, οὐ μὴν ἡ τοῦ νόμου ἐπεξέλευσις· ὅμως μέν τοι ψηφισάμενος, οὐκέτι δύναται τὴν ψῆφον ἀνατρέπειν· εἴρηται γὰρ βιβλ. ζ' τοῦ κώδ. τίτ. ν', διάτ. α', ὅτι οὔτε τὴν ἰδίαν ψῆφον, οὔτε τὴν τοῦ διαλεχθέντος δύναταί τις ἀνατρέπειν· καὶ βιβλ. θ' τίτ. μζ',

διάτ. ιέ, ὅτι ὁ ἄρχων τὴν παρ' αὐτοῦ ἀνατρέπειν οὐ δύναται ὁρισθεῖσαν ποινήν· ἐν δὲ τῷ μέ διατάγ. τοῦ α' τίτ. τοῦ μβ' βιβλ. φησὶν, ὅτι τὴν ψηφισθεῖσαν ποινὴν αὔξειν ἢ μειοῦν ὁ ἄρχων χωρὶς βασιλικῆς αὐθεντίας οὐ δύναται· καὶ βιβλ. μή τίτ. ιή, διάτ. α' φησὶν, ὅτι ἐὰν δοῦλος φοβούμενος πρὸς τὸν δεσπότην ὑποστρέψαι, εἴπῃ καθ' ἑαυτοῦ πλαστῶς, καὶ μετὰ καταδίκην ἐρωτωμένου αὐτοῦ περὶ τῶν συνιςόρων, φανῇ ἡ ἀλήθεια, ἐλευθεροῦται τῆς ποινῆς, καὶ διὰ τῆς τάξεως πιπράσκεται, ἐφ' ᾧ μὴ ὑποστρέψαι πρὸς τὸν δεσπότην, καὶ τὸ τίμημα τῷ δεσπότῃ δίδοται· αὐτὸς δὲ ὁ καταδικάσας ὡς αἴτιόν τινα, οὐ δύναται ἐλευθεροῦν ἀναίτιον εὑρισκόμενον· οὔτε γάρ τις τὴν οἰκεῖαν ψῆφον ἀνακαλεῖται, κἂν χρηματικὴ εἴη· δεῖ οὖν περὶ τούτου βασιλεῖ ἀναφέρειν ἐπὶ τῶν ἐγκλημάτων· καὶ διάτ. θ', καὶ κζ' τοῦ ιθ' τίτ. τοῦ αὐτοῦ βιβλ. ὅτι βουλευτὴς οὔτε εἰς μέταλλον, οὔτε εἰς ἔργον μετάλλου καταδικάζεται, οὔτε φυλακίζεται, οὔτε καίεται, ἀλλ' εἰ καί τι τοιοῦτον ψηφισθῇ, ἐλευθεροῦται οὐ διὰ τοῦ ἄρχοντος ἀλλὰ διὰ τοῦ βασιλέως διδασκομένου, τὴν τιμωρίαν ἐναλλάσσοντος ἢ ἐλευθεροῦντος· καὶ οἱ ἄρχοντες οὐκ ἀνατρέπουσι τὰς ἰδίας ψήφους· εἰ μέν τι τίς καθ' ἑαυτοῦ ψευσάμενος, ἢ ἀπορία συστάσεως καταδικασθῇ, καὶ ὕστερον εὑρεθῶσι βοηθοῦντα αὐτῷ δικαιώματα, ὁ βασιλεὺς ἢ ἐλευθεροῖ αὐτὸν ἢ μειοῖ τὴν ποινὴν· ταῦτα περὶ αὐτοτελῶν εἴρηται ψήφων· τὰ γὰρ κατὰ μέρος διαλαλούμενα, δύναται ὁ δικαστὴς καὶ τελείας ἀναιρεῖν καὶ ἐναλλάσσειν, ὡς βιβλ. μβ', τίτ. α', διάτ. ιθ', καὶ βιβλ. δ' τίτ. ή, διάτ. ιθ' κ'· ὁ μὲν γὰρ διαλαλήσας, μένει δικαστὴς· ὁ δὲ ψηφισάμενος, πέπαυται ἐπ' αὐτῷ τῷ πράγματι εἶναι δικαστὴς, ὡς βιβλ. μ' τίτ. ή, διάτ. κ', καὶ βιβλ. μβ', τίτ. α', διάτ. νέ.

ΤΙΤΛΟΣ Ι.

ΠΕΡΙ ΔΙΟΙΚΗΣΕΩΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΠΡΑΓΜΑΤΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΙΔΙΚΩΝ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ.

TITULUS X.

DE ADMINISTRATIONE PATRIMONII ECCLESIASTICI, ET DE RE PROPRIA EPISCOPI.

ΚΕΦ. Α.

Περὶ τοῦ χρῆναι τὸν οἰκονόμον ἐκ τοῦ κλήρου τῆς ἐκκλησίας εἶναι.

Συνόδου Χαλκηδόνος κανὼν κϛ'.

Ἐπειδὴ ἔν τισιν ἐκκλησίαις, ὡς περιηχήθημεν, δέχα. οἰκονόμων οἱ ἐπίσκοποι τὰ ἐκκλησιαστικὰ χειρίζουσι πράγματα, ἔδοξε πᾶσαν ἐκκλησίαν ἐπίσκοπον ἔχουσαν, καὶ οἰκονόμον ἔχειν ἐκ τοῦ ἰδίου κλήρου, οἰκονομοῦντα τὰ ἐκκλησιαστικὰ κατὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου· ὥστε μὴ ἀμάρτυρον εἶναι τὴν οἰκονομίαν τῆς ἐκκλησίας, καὶ ἐκ τούτου σκορπίζεσθαι τὰ τῆς αὐτῆς ἐκκλησίας πράγματα, καὶ λοιδορίαν τῇ ἱερωσύνῃ προσρίβεσθαι· εἰ δὲ μὴ τοῦτο πειῇ, ὑποκεῖσθαι αὐτὸν τοῖς θείοις κανόσιν. κϛ'

Συνόδου Νικαίας τὸ β', κανὼν ια'.

Ὅτι δεῖ οἰκονόμους εἶναι ἐν τοῖς ἐπισκοπείοις καὶ τοῖς μοναστηρίοις.

Ὑποχρεοῦντες ὄντες πάντας τοὺς θείους κανόνας φυλάττειν, καὶ τὸν λέγοντα οἰκονόμους εἶναι ἐν ἑκάστῃ ἐκκλησίᾳ, παντὶ τρόπῳ ἀπαράτρωτον διατηρεῖν ὀφείλομεν· καὶ εἰ μὲν ἕκαστος ια'

μητροπολίτης ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ καθιζᾷ οἰκονόμον, καλῶς ἂν ἔχοι· εἰ δὲ μή γε, ἐξ αὐθεντίας ἰδίας τῷ Κωνσταντινουπόλεως ἐπισκόπῳ ἄδειά ἐστι προχειρίζεσθαι οἰκονόμον ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ· ὡσαύτως καὶ τοῖς μητροπολίταις, εἰ οἱ ὑπ' αὐτοὺς ἐπίσκοποι οὐ προαιροῦνται οἰκονόμους ἐγκαταστῆσαι ἐν ταῖς ἑαυτῶν ἐκκλησίαις· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναστηρίων.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν Θ'.

9' Ὥστε γνώμῃ παντὸς τοῦ ἱερατείου, οἰκονόμον ἀποδειχθῆναι ἕτερον, ἐφ' ᾧ συντίθεται καὶ ὁ ἐπίσκοπος Ἀπόλλων, πρὸς τὸ τὰ τῆς ἐκκλησίας εἰς δέον ἀναλίσκεσθαι.

Ἡ λβ' διάτ. τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. λέγει τὸν οἰκονόμον χρῆναι παρὰ τοῦ ἐπισκόπου γίνεσθαι· καὶ ἡ μά διάτ. τοῦ αὐτοῦ τίτ. ὅτι κατὰ δοκιμασίαν γίνεται· ἡ δὲ κδ' τοῦ β' τίτ. ὅτι δεῖ τοὺς οἰκονόμους κατὰ μῆνα ἢ τὸ μήκιστον ὑπὲρ δύο, λογοποιεῖν πρὸς τοὺς ἀρχαρίους, ἐπεὶ κινδυνεύουσι· καὶ ὅτι ἕκαστος μὲν οἰκονόμος ζητεῖ τὰ τῆς ὑφ' ἑαυτὸν διοικήσεως, οἱ δὲ λοιποὶ κατὰ πρόσταξιν ἄγραφον τοῦ πατριάρχου τοῖς λογισμοῖς ὑπογράφουσι, τὸ ἀνέγνων· καὶ τὸ χωρὶς τῆς τοιαύτης παρατηρήσεως λογιζόμενον, οἴκοθεν οἱ οἰκονόμοι διδόασι· καὶ ἡ μά τοῦ γ' τίτ. ὅτι κατ' ἐνιαυτὸν ὁ οἰκονόμος παρατίθεται λόγον τῆς αὐτοῦ διοικήσεως τῷ ἐπισκόπῳ, καὶ ἀποδίδωσιν εἴ τι φανῇ βλάψας ἢ κερδήσας· εἰ δὲ τελευτήσει πρὸ τῶν λογισμῶν, ὑπόκεινται τούτοις οἱ κληρονόμοι αὐτοῦ· ὑπόκειται γὰρ καὶ ἀπὸ ῥαθυμίας, καὶ ἐὰν ἀπόροις ἐκδώσει· ἡ δὲ β' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν, ἀπαγορεύει τοῖς οἰκονόμοις, καὶ ὀρφανοτρόφοις, καὶ διοικηταῖς τῶν λειπῶν εὐαγῶν οἴκων, ἔτι μὴν καὶ τοῖς πάντων χαρτουλαρίοις, καὶ τοῖς τούτων γονεῦσι καὶ παισὶ, καὶ τοῖς κατὰ

γένος ἢ γάμον αὐτοῖς συναπτομένοις, ἐμφυτεύσεις, καὶ μισθώσεις, καὶ ὑποθήκας πραγμάτων τῶν εὐαγῶν οἴκων, ἢ δι' ἑαυτῶν, ἢ διὰ παρενθέτων προσώπων λαμβάνειν· ἐπεὶ καὶ τὸ συνάλλαγμα ἀκυροῦται, καὶ πᾶσα ἡ περιουσία τῶν οἰκονόμων καὶ χαρτουλαρίων καὶ διοικητῶν οἷς κατὰ τὸν εἰρημένον τρόπον συνάπτονται, εἰς τὸν εὐαγῆ οἶκον, ἐξ οὗ τὸ πρᾶγμα λαμβάνουσι, περιέρχεται μετὰ τὴν αὐτῶν τελευτήν.

ΚΕΦ. Β.

Περὶ διοικήσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων.

Ἀποστόλων κανὼν λή μ' μά'.

Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς τοῦ Θεοῦ ἐφορῶντος· μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἢ ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν· ἀλλὰ μὴ προφάσει τούτων, τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω. λή'

Ἔστω φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, εἴ γε καὶ ἴδια ἔχει· καὶ φανερὰ τὰ κυριακά, ἵν' ἐξουσίαν ἔχῃ τῶν ἰδίων τελευτῶν ὁ ἐπίσκοπος, οἷς βούλεται καὶ ὡς βούλεται καταλεῖψαι· καὶ μὴ προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων, διαπίπτειν τὰ τοῦ ἐπισκόπου, ἐσθ' ὅτε γυναῖκα καὶ παῖδας κεκτημένου, ἢ συγγενεῖς ἢ οἰκέτας· δίκαιον γὰρ τοῦτο παρὰ Θεῷ καὶ ἀνθρώποις, τὸ μήτε τὴν ἐκκλησίαν ζημίαν τινὰ ὑπομένειν, ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον ἢ τοὺς αὐτοῦ συγγενεῖς, προφάσει τῆς ἐκκλησίας, δημεύεσθαι· ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, καὶ τὸν αὐτοῦ θάνατον δυσφημίᾳ περιβάλλεσθαι. μ'

μα' Προστάσσομεν τὸν ἐπίσκοπον ἔχειν ἐξουσίαν τῶν τῆς ἐκκλησίας πραγμάτων· εἰ γὰρ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς αὐτῷ πιστευτέον, πολλῷ ἂν δέοι περὶ τῶν χρημάτων ἐντέλλεσθαι· ὥστε κατὰ τὴν αὐτοῦ ἐξουσίαν πάντα διοικεῖσθαι τοῖς δεομένοις διὰ τῶν πρεσβυτέρων καὶ διακόνων, καὶ ἐπιχορηγεῖσθαι μετὰ φόβου Θεοῦ καὶ πάσης εὐλαβείας· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων, εἴγε δέοιτο εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας, καὶ τῶν ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς ὑστερεῖσθαι· ὁ γὰρ νόμος τοῦ Θεοῦ διετάξατο, τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι· ἐπείπερ οὐδὲ στρατιώτης ποτὲ ἰδίοις ὀψωνίοις, ὅπλα κατὰ πολεμίων ἐπιφέρεται.

Συνόδου Ἀντιοχείας κανὼν κδ' κε'.

κδ' Τὰ τῆς ἐκκλησίας, τῇ ἐκκλησίᾳ καλῶς ἔχειν φυλάττεσθαι δεῖ, μετὰ πάσης ἐπιμελείας καὶ ἀγαθῆς συνειδήσεως καὶ πίστεως τῆς εἰς τὸν πάντων ἔφορον καὶ κριτὴν Θεόν· ἃ καὶ διοικεῖσθαι προσήκει μετὰ κρίσεως καὶ ἐξουσίας τοῦ ἐπισκόπου, τοῦ πεπιστευμένου πάντα τὸν λαὸν καὶ τὰς ψυχὰς τῶν συναγομένων· φανερὰ δὲ εἶναι τὰ διαφέροντα τῇ ἐκκλησίᾳ, μετὰ γνώσεως τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων· ὥστε τούτους εἰδέναι, καὶ μὴ ἀγνοεῖν τίνα ποτέ ἐστι τὰ ἴδια τῆς ἐκκλησίας, ὥστε μηδὲν αὐτοὺς λανθάνειν· ἵν' εἰ συμβαίη τὸν ἐπίσκοπον μεταλλάττειν τὸν βίον, φανερῶν ὄντων τῶν διαφερόντων τῇ ἐκκλησίᾳ πραγμάτων, μήτε αὐτὰ διαπίπτειν καὶ ἀπόλλυσθαι, μήτε τὰ ἴδια τοῦ ἐπισκόπου ἐνοχλεῖσθαι, προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων· δίκαιον γὰρ καὶ ἀρεστὸν παρά τε Θεῷ καὶ ἀνθρώποις, τὰ ἴδια τοῦ ἐπισκόπου, εἷς ἂν αὐτὸς βούληται καταλιμπάνεσθαι, τὰ μέν τοι τῆς ἐκκλησίας αὐτῇ φυλάττεσθαι· καὶ

μήτε τὴν ἐκκλησίαν ὑπομένειν τινὰ ζημίαν, μήτε τὸν ἐπίσκοπον προφάσει τῆς ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, μετὰ τοῦ καὶ αὐτὸν μετὰ θάνατον δυσφημίᾳ περιβάλλεσθαι.

Ἐπίσκοπον ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων ἐξου- κε'
σίαν, ὥστε διοικεῖν εἰς πάντας τοὺς δεομένους μετὰ πάσης εὐλαβείας, καὶ φόβου θεοῦ· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων, εἴ γε δέοιτο, εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας καὶ τῶν παρ' αὐτῷ ἐπιξενουμένων ἀδελφῶν· ὡς κατὰ μηδένα τρόπον αὐτοὺς ὑστερεῖσθαι, κατὰ τὸν θεῖον ἀπόστολον λέγοντα, ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· εἰ δὲ μὴ τούτοις ἀρκοῖτο, μεταβάλλοι δὲ τὰ πράγματα εἰς οἰκείας ἑαυτοῦ χρείας, καὶ τοὺς πόρους τῆς ἐκκλησίας, ἢ τοὺς τῶν ἀγρῶν καρποὺς, μὴ μετὰ γνώμης τῶν πρεσβυτέρων ἢ διακόνων χειρίζοι, ἀλλ' οἰκείοις αὐτοῦ, καὶ συγγενέσιν, ἢ ἀδελφοῖς, ἢ υἱοῖς παράσχοιτο τὴν ἐξουσίαν, εἰς τὸ διὰ τῶν τοιούτων λεληθότως βλάπτεσθαι τοὺς λόγους τῆς ἐκκλησίας, τοῦτον εὐθύνας παρέχειν τῇ συνόδῳ τῆς ἐπαρχίας· εἰ δὲ καὶ ἄλλως διαβάλλοιτο ὁ ἐπίσκοπος, ἢ οἱ σὺν αὐτῷ πρεσβύτεροι, ὡς τὰ τῇ ἐκκλησίᾳ διαφέροντα, ἤτοι ἐξ ἀγρῶν, ἢ ἐξ ἑτέρας προφάσεως ἐκκλησιαστικῆς, εἰς ἑαυτοὺς ἀποφερόμενοι, ὡς θλίβεσθαι μὲν τοὺς πένητας, διαβολὴν δὲ καὶ δυσφημίαν προστρίβεσθαι τῷ τε λόγῳ καὶ τοῖς οὕτω διοικοῦσι, καὶ τούτους διορθώσεως τυγχάνειν· τὸ πρέπον δοκιμαζούσης τῆς ἁγίας συνόδου.

Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. β'.

Τὰ δὲ ἀδίκως ληφθέντα παρ' αὐτοῦ χρήματα etc. ut β'
p. 120.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κεφ. ε'.

ε' Αἱ χῆραι καὶ οἱ πένητες καὶ οἱ παρεπιδημοῦντες ξένοι, πάσης ἀναπαύσεως ἀπολαυέτωσαν· καὶ μή τις τὰ τῆς ἐκκλησίας ἰδιοποιείσθω· ἀφιλάργυρον γὰρ εἶναι δεῖ τὸν λειτουργὸν τοῦ Θεοῦ.

Πολλὰ μὲν εἴρηται καὶ περὶ τῆς διοικήσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἐν τῷ β' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. καὶ ἐν διαφόροις τῶν νεαρῶν διάτ. καὶ ἀνάγνωθι τὸν β' τίτ. τῶν αὐτῶν νεαρῶν, καὶ μάλιστα τὴν β' αὐτοῦ καὶ γ' διατ. περιεχούσας πάντα τὰ περὶ ἐκκλησιαστικῶν διοικήσεων καὶ προνομίων.

ΚΕΦ. Γ.

Περὶ πραγμάτων καὶ προσόδων τῶν ἀνεπισκόπων ἐκκλησιῶν.

Συνόδου Ἀγκύρας κανὼν ιε'.

ιε' Περὶ τῶν διαφερόντων τῷ κυριακῷ, ὅσα ἐπισκόπου μὴ ὄντος πρεσβύτεροι ἐπώλησαν, ἀνακαλεῖσθαι τὸ κυριακόν· ἐν δὲ τῇ κρίσει τοῦ ἐπισκόπου εἶναι, εἴτε προσήκει ἀπολαβεῖν τὴν τιμὴν τοὺς κακῶς ὠνησαμένους, εἴτε καὶ μή, διὰ τὸ πολλάκις τὴν πρόσοδον τῶν πεπραμένων ἀπεδεδωκέναι αὐτοῖς τούτοις πλείονα τὴν τιμήν.

Συνόδου Χαλκηδόνος κανὼν κέ.

κέ' Ἐπειδήπερ τινὲς τῶν μητροπολιτῶν ὡς περιεχήθημεν etc. ut p. 48.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν λέ.

λέ' Μὴ ἐξέστω τινὶ τῶν πάντων μητροπολιτῶν, τελευτῶντος ἐπισκόπου, τελοῦντος ὑπὸ τὸν κατ' αὐτὸν θρόνον, τὰ αὐτοῦ πράγματα, ἢ τῆς κατ' αὐτὸν ἐκκλησίας ἀφαιρεῖσθαι ἢ σφετερίζεσθαι· ἀλλ' ὑπὸ παραφυλακὴν ἔχωσαν τοῦ κλήρου τῆς

ἐκκλησίας, ἧς ὁ τελευτήσας ἐτύγχανε πρόεδρος, μέχρι τῆς ἑτέρου ἐπισκόπου προαγωγῆς, ἐκτὸς εἰ μὴ κληρικοὶ ἐν τῇ αὐτῇ ἐκκλησίᾳ οὐχ' ὑπελείφθησαν· τηνικαῦτα γὰρ ὁ μητροπολίτης ταῦτα παραφυλάξει ἀμείωτα, τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ πάντα ἀποδούς.

ΚΕΦ. Δ.

Περὶ ἐκποιήσεως ἐκκλησιαστικῶν.

Ἀποστόλων κανὼν λή σγ'.

Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων etc. ut p. 337. λή

Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν etc. ut p. 118. σγ

Συνόδου Ἀγκύρας κανὼν ιε'.

Περὶ τῶν διαφερόντων τῷ κυριακῷ etc. ut p. 340. ιε

Συνόδου Νικαίας τὸ β', κανὼν ιβ'.

Ὅτι οὐ δεῖ ἐκποιεῖσθαι ἡγούμενον ἐκ τῶν προαστείων τῆς ἐκκλησίας.

Εἴ τις ἐπίσκοπος εὑρηθείη ἢ ἡγούμενος, ἐκ τῶν αὐτουργείων τοῦ ἐπισκοπείου ἢ τοῦ μοναστηρίου, ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα, ἢ ἑτέρῳ προσώπῳ ἐκδιδοὺς, ἄκυρον εἶναι τὴν ἔκδοσιν, κατὰ τὸν κανόνα τῶν ἁγίων ἀποστόλων τὸν λέγοντα, πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς θεοῦ ἐφορῶντος· μὴ ἐξεῖναι αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες εἶεν, ἐπιχερηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω· εἰ δὲ προφασίζοιντο, ζημίαν ἐμποιεῖν· καὶ μηδὲν πρὸς ὄνησιν τυγχάνειν τὸν ἀγρὸν, μὴ δ' αὖτω τοῖς κατὰ τόπον ἄρχουσιν ἐκδιδόναι τὸν τόπον, ἀλλὰ κληρικοῖς ἢ γεωργοῖς· εἰ δὲ πανουργίᾳ πονηρᾷ χρήσοιντο, καὶ ιβ'

ἐκ τοῦ γεωργοῦ ἢ τοῦ κληρικοῦ ὠνήσεται ἄρχων τὸν ἀγρὸν, καὶ οὕτως ἄκυρον εἶναι τὴν πρᾶσιν, καὶ ἀποκαθίστασθαι ἐν τῷ ἐπισκοπείῳ ἢ ἐν τῷ μοναστηρίῳ· καὶ ἐπίσκοπος δὲ ἢ ἡγούμενος τοῦτο ποιῶν ἐκδιωχθήτω, ὁ μὲν ἐπίσκοπος τοῦ ἐπισκοπείου, ὁ δὴ ἡγούμενος μοναστηρίου, ὡς διασκορπίζοντες κακῶς ἃ εὐ συνήγαγον.

Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. β'.

β' Τὰ δὲ ἀδίκως ληφθέντα etc. ut p. 120.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ β' κεφ. τοῦ παρόντος τίτ.

ΚΕΦ. Ε.

Περὶ τῶν μετὰ τὴν χειροτονίαν κτωμένων ἐπισκόποις ἢ κληρικοῖς.

Συνόδου Καρθαγέννης κανὼν λβ'.

Ἐάν τις τῶν κληρικῶν πενιχρὸς προκόψας εἴς τινα τάξιν κτήσηταί τι, ὑποκείσθω τῇ ἐξουσίᾳ τῶν ἐπισκόπων.

λβ' Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι, πρεσβύτεροι, διάκονοι, ἢ καὶ οἱοιδήποτε κληρικοὶ, οἱ μηδὲν ἔχοντες, ἐὰν προκόψαντες τῷ καιρῷ τῆς ἐπισκοπῆς, ἢ τῆς κληρώσεως αὐτῶν ἀγροὺς ἢ οἱαδήποτε χωρία ἐπ' ὀνόματι ἰδίῳ ἀγοράσωσιν, ἵνα ὡς κατὰ δεσποτικῶν πραγμάτων ἔφοδον πεποιηκότες ἐνέχωνται, εἰ μὴ ἄρα λοιπὸν ὑπομνησθέντες, τῇ ἐκκλησίᾳ ταῦτα εἰσκομίσουσιν· ἐὰν δὲ εἰς αὐτοὺς κυρίως, φιλοτιμίᾳ τινὸς ἢ διαδοχῇ συγγενείας περιέλθῃ, ἐξ αὐτοῦ παήσουσιν ὃ ἔχει ἡ πρόθεσις αὐτῶν· εἰ δὲ καὶ μετὰ τὸ προθέσθαι εἰς τοὐπίσω μετατραπῶσι, τῆς ἐκκλησιαστικῆς τιμῆς ἀνάξιοι ὡς ἀδόκιμοι κριθῶσιν.

Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν ζ'.

Πολλὰς τῶν ἐπισκοπῶν ὁρῶμεν καταπιπτούσας καὶ ἀφανισμῷ τελείῳ κινδυνευούσας παραδίδεσθαι, ὅτι περ οἱ τούτων προεστηκότες, τὴν περὶ αὐτῶν φροντίδων καὶ ἐπιμέλειαν εἰς νεουργίας μοναστηρίων καταναλίσκουσι, καὶ ταύτας διασπῶντες, καὶ τὸν σφετερισμὸν τῶν εἰσόδων ἐκμηχανώμενοι, τὴν ἐκείνων ἐπαύξησιν πραγματεύονται· ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδενὶ τῶν ἐπισκόπων ἐξεῖναι μοναστήριον ἴδιον ἐπὶ καταλύσει τῆς οἰκείας ἐπισκοπῆς νεουργεῖν· εἰ δέ τις φωραθείη τοῦτο τολμῶν, αὐτὸν μὲν τῷ προσήκοντι ἐπιτιμίῳ καθυποβάλλεσθαι, τὸ δὲ νεουργηθὲν ὑπ' αὐτοῦ, ὡς μὴ δὲ τὴν ἀρχὴν μοναστηρίου δίκαιον ἀπειληφὸς, ὡς ἰδιωτικὸν τῷ ἐπισκοτείῳ προσκυροῦσθαι· οὐδὲν γὰρ τῶν παρανόμως καὶ ἀτάκτως παρυφισταμένων, τὸ πρόκριμα τῶν κανονικῶς συνισταμένων ἀποφέρεσθαι δύναται. ζ'

Ἡ λγ' διάτ. τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι οἱ ὀρθόδοξοι ἐπίσκοποι καὶ κληρικοὶ, ὅπερ ἂν ἐν τῷ καιρῷ κτήσωνται, καὶ ὑπεξούσιοι ὄντες ἴδιον ἔχουσι, καὶ οὐ συνεισφέρουσιν αὐτὰ, ἀλλ' ἄθεσαν ἔχουσι καὶ ζῶντες ἐκποιεῖν, καὶ ἐπ' αὐτῶν εἰς ἐξωτικοὺς διατίθεσθαι, ἢ κατιοῦσιν αὐτὰ παραπέμπειν· καὶ ἡ μα' διάτ. τοῦ αὐτοῦ τίτ. ὅτι τὰ μετὰ τὴν ἐπισκοπὴν κτηθέντα ὁ ἐπίσκοπος οὐ δύναται ἐκποιεῖν, ἢ διατίθεσθαι ἐπ' αὐτοῖς, εἰ μὴ ἀπὸ γονέων ἢ θείων ἢ ἀδελφῶν εἰς αὐτὸν περιῆλθον· ἀλλὰ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ διαφέρουσι· καὶ μετὰ τὴν αὐτῶν τελευτὴν λογισμοὺς τῶν τοιούτων πραγμάτων οἱ οἰκονόμοι ἀπαιτοῦνται· τὰ δὲ πρὸ τῆς ἐπισκοπῆς κτηθέντα, καὶ ἐκποιοῦσι καὶ διατίθενται ἐπ' αὐτοῖς· καὶ ἡ μβ' ὅτι οἱ ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διά-

κνοι, quasi castrension ἔχουσι, καὶ διατίθενται νομίμως ἐπ' αὐτῷ· καὶ οὐχ' ὑπόκειται ἡ διαθήκη τῇ de inofficioso. ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι οἱ ἐπίσκοποι τὰ μετὰ τὴν ἐπισκοπὴν αὐτοῖς κτηθέντα κινητὰ ἢ αὐτοκίνητα εἰς ἰδίους συγγενεῖς ἢ ἄλλους οἱῳδήποτε τρόπῳ οὐ μεταφέρουσιν, ἀλλὰ δαπανάτωσαν αὐτὰ εἰς λύσιν αἰχμαλώτων καὶ πτωχῶν ἀποτροφὴν, ἢ εἰς συμφέρον τῆς ἰδίας ἐκκλησίας· τὰ δὲ μετὰ τὴν αὐτῶν τελευτὴν ἐκ τούτων περιττευόντα, ἡ κατ' αὐτοὺς ἐκκλησία εἰκειοῦται· ἄδειαν δὲ ἔχουσιν ἐκποιεῖν ἅ τινα πρὸ τῆς ἐπισκοπῆς ἐσχηκότες ἀποδειχθῶσι, καὶ ὅσα μετὰ τὴν ἐπισκοπὴν εἰς αὐτοὺς περιέλθοι ἀπὸ συγγενῶν, οὓς ἐξ ἀδιαθέτου μέχρι τετάρτου βαθμοῦ διαδέχεσθαι δύνανται· ταῦτα δὲ κρατεῖ ἐπὶ ὀρφανοτρόφων καὶ πτωχοτρόφων, καὶ νοσοκόμων, καὶ γεροντοτρόφων, καὶ ξενοδόχων, καὶ πάντων τῶν ἄλλων δικικητῶν τῶν σεβασμίων οἴκων ἐπὶ τοῖς εἰς αὐτοὺς ἐν τῷ καιρῷ τῆς αὐτῶν δικικήσεως κατὰ τὸν εἰρημένον τρόπον περιελθοῦσιν· ἡ δὲ β' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν, ἁπλούστερον φησὶν, ὅτι τὰ μετὰ τὴν χειροτονίαν κτηθέντα τοῖς ἐπισκόποις, ταῖς αὐτῶν ἐκκλησίαις διαφέρει, ἤ τις λέγει ὅτι πάντες οἱ κληρικοὶ, τουτέστι πρεσβύτεροι, διάκονοι, ἀναγνῶσται, καὶ ψάλται, τὰ ὁπωσοῦν αὐτοῖς κτηθέντα πράγματα, κἂν ὑπεξούσιοί εἰσιν, ἴδια ἔχουσι, καὶ δωρεῦνται, καὶ διατίθενται ἐπ' αὐτοῖς· οὕτω μέν τοι ὥστε τοὺς αὐτῶν παῖδας, ἢ τούτων οὐχ' ὑπόντων, τοὺς γονεῖς αὐτῶν κομίζεσθαι τὸ νόμιμον μέρος· ἡ δὲ γ' διάτ. τοῦ αὐτοῦ β' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐὰν ἐπίσκοπος ἢ κληρικὸς οἱουδήποτε βαθμοῦ, ἢ ἐκκλησίας διακόνισσα τελευτήσῃ ἄνευ διαθηκῶν ἢ νομίμων διαδοχῶν, ἡ τούτων διαδοχὴ προσκυροῦται τῇ ἐκκλησίᾳ ἐν ᾗ κεχειροτόνηνται.

ΚΕΦ. ς.

Περὶ τῶν ἰδικῶν τοῦ ἐπισκόπου πραγμάτων, καὶ ὅτι οὐκ ὤφειλεν ἀδιάθετος τελευτᾷν.

Ἀποστόλων κανὼν μ΄.

μ΄ Ἔστω φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα etc. ut p. 337.

Συνόδου Ἀντιοχείας κανὼν κδ΄.

κδ΄ Τὰ τῆς ἐκκλησίας τῇ ἐκκλησίᾳ καλῶς ἔχειν etc. ut p. 338.

Συνόδου Χαλκηδόνος κανὼν κβ΄.

κβ΄ Μὴ ἐξεῖναι κληρικοῖς μετὰ θάνατον τοῦ ἰδίου ἐπισκόπου διαρπάζειν τὰ διαφέροντα αὐτῷ πράγματα, καθὼς καὶ τοῖς πάλαι κανόσιν ἀπηγόρευται· ἢ τοὺς τοῦτο ποιοῦντας, κινδυνεύειν εἰς τοὺς ἰδίους βαθμούς.

Συνόδου Σαρδικῆς κανὼν ιβ΄.

ιβ΄ Ὅσιος ἐπίσκοπος εἶπεν· ἐπειδὴ οὐδέν ἐστι παραλειπτέον, καὶ τοῦτο ὁρισθήτω· τινὲς τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἐν ταῖς πόλεσιν ἐν αἷς ἐπίσκοποι καθίστανται etc. ut p. 194–195.

Συνόδου Καρθαγέννης κανὼν κβ΄ πα΄.

Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μηδὲν συνεισάγειν τῇς μὴ ὀρθοδόξοις χριστιανοῖς, εἰ καὶ συγγενεῖς ἔτι μὴν ὦσιν.

κβ΄ Μηδὲν διὰ δωρεᾶς τῶν οἰκείων πραγμάτων, ὡς εἴρηται, τοὺς ἐπισκόπους ἢ κληρικοὺς τούτοις συνεισάγειν.

Περὶ ἐπισκόπων τῶν αἱρετικοὺς ἢ Ἕλληνας κληρονόμους καταλιμπανόντων.

πα΄ Ὁμοίως ὡρίσθη ἵνα ἐάν τις ἐπίσκοπος κληρονόμους συγ-

γενεῖς, ἢ ἐκτὸς τῆς ἰδίας συγγενείας, αἱρετικοὺς ἢ Ἕλληνας προτιμήσῃ τῆς ἐκκλησίας, καὶ μετὰ θάνατον ἀναθέμα τῷ τοιούτῳ λεχθείη, καὶ τὸ ὄνομα αὐτοῦ μηδαμῶς παρὰ τοῖς τοῦ θεοῦ ἱερεῦσιν ἀνενεχθῇ· μὴ δὲ δυνηθῇ ἀπολογηθῆναι, ἐὰν ἀδιάθετος ἀπογένηται· ἐπειδὴ γενόμενος ἐπίσκοπος, εἰκότως ὀφείλει τῶν πραγμάτων αὐτοῦ τὴν διατύπωσιν ἁρμοδίαν τῷ ἑαυτοῦ ἐπαγγέλματι ποιήσασθαι.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ε' κεφ. τοῦ παρόντος τίτλου.

ΚΕΦ. Ζ.

Περὶ τοῦ τὰς ἐν τοῖς βαρβαρικοῖς ἔθνεσιν οὔσας τοῦ θεοῦ ἐκκλησίας, κατὰ τὴν κρατήσασαν διοικεῖσθαι συνήθειαν.

Συνόδου Κωνσταντινουπόλεως κανὼν β'.

β' Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους etc. ut p. 24.

Συνόδου Χαλκηδόνος κανὼν κή'.

Ψῆφος τῆς αὐτῆς ἁγίας συνόδου ἐκφωνηθεῖσα χάριν τῶν πρεσβείων τοῦ θρόνου τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως.

κή' Πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενοι etc. ut p. 24.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν λζ' λθ'.

λζ' Ἐπειδὴ κατὰ διαφόρους καιροὺς etc. ut p. 39. et 190.

λθ' Τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἰωάννου etc. ut p. 28.

Συνόδου Καρθαγέννης κανὼν νβ'.

Περὶ τοῦ τὰς ἐπαρχίας ἐπισκέπτεσθαι.

Ὀνωράτος καὶ Οὐρβανὸς ἐπίσκοποι εἶπον.

νβ' Κἀκεῖνο ἡμῖν διὰ λόγου ἐντέταλται, ὥστε καὶ ὑμᾶς κατ-

ἀξιῶσαι τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Ἱππῶνι συνόδου, ὀφείλειν ἑκάστην ἐπαρχίαν ἐν τῷ καιρῷ τῆς συνόδου ἐπισκέπτεσθαι· καὶ ὅτι ἐν τούτῳ καὶ τῷ ἄλλῳ ἐνιαυτῷ ὑπερέθεσθε κατὰ τάξιν ἐπισκέψασθαι τὴν Μαυριτανίαν.

Αὐρήλιος ἐπίσκοπος εἶπεν.

Τότε περὶ τῆς τῶν Μαυριτανῶν χώρας οὐδὲν ὡρίσαμεν, διὰ τὸ εἰς τὰ τέλη τῆς Ἀφρικῆς κεῖσθαι αὐτὴν, καὶ ὅτι τῷ βαρβαρικῷ παράκειται· ὁ δὲ Θεὸς παράσχοι ἐκ περιουσίας δύνασθαι ἡμᾶς, καὶ μὴ ἐπαγγειλαμένους τοῦτο ποιεῖν, καὶ παραγενέσθαι εἰς τὴν χώραν ὑμῶν· ὀφείλετε γὰρ ἐννοεῖν, ἀδελφοὶ, ὅτι ἐὰν λογισμὸς ἀπαιτῇ τοῦτο περὶ ἑαυτῶν διεξελθεῖν, ἠδύναντο καὶ οἱ Τριπολιτανοὶ καὶ οἱ Ἀρζευιτανοὶ ἀδελφοί.

Συνόδου Χαλκηδόνος ἐκ τῆς τετάρτης πράξεως, ἔνθα σκοπεῖται τὸ κεφάλαιον τὸ κατὰ τοὺς ἐπισκόπους τοὺς ἀπ' Αἰγύπτου.

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν.

Ἐπειδὴ οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς Αἰγυπτίων etc. ut p. 225.

Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος, τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης εἶπεν.

Εἰ προστάττει ἡ ὑμετέρα ἐξουσία, καὶ κελεύετε τί ποτε αὐτοῖς παρασχεθῆναι φιλανθρωπίας ἐχόμενον, ἐγγύας δότωσαν, ὅτι οὐκ ἐξέρχονται ταύτης τῆς πόλεως, ἕως οὗ ἡ Ἀλεξανδρέων, ἐπίσκοπον δέξηται. β'

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν.

Ἡ τοῦ ὁσιωτάτου ἐπισκόπου Πασκασίνου ψῆφος, βεβαία γ'

ἔστω· ὅθεν μένοντες ἐπὶ τοῦ οἰκείου σχήματος οἱ εὐλαβέστατοι ἐπίσκοποι τῶν Αἰγυπτίων, ἢ ἐγγύας παρέξουσιν, εἰ τοῦτο αὐτοῖς δυνατὸν, ἢ ἐξωμοσίᾳ κατατιστευθήσονται, ἀναμένοντες τὴν χειροτονίαν τοῦ ἐσομένου ἐπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως.

ΚΕΦ. Η.

Περὶ τοῦ μήτε ἐπίσκοπον μήτε κληρικὸν διδόναι, διὰ δωρεᾶς ἢ διαθήκης, αἱρετικῷ κἂν εἴη συγγενὴς αὐτοῦ.

Συνόδου Καρθαγέννης κανὼν κβ΄ πα΄.

Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς, μηδὲν συνεισάγειν τοῖς μὴ ὀρθοδόξοις χριστιανοῖς, εἰ καὶ συγγενεῖς ἔτι μὴν ὦσιν.

κβ΄ Μηδὲν διὰ δωρεᾶς τῶν οἰκείων πραγμάτων, ὡς εἴρηται, τοὺς ἐπισκόπους ἢ κληρικοὺς, τούτοις συνεισάγειν. (ut p. 345.)

Περὶ ἐπισκόπων τῶν αἱρετικοὺς ἢ Ἕλληνας κληρονόμους καταλιμπανόντων.

πα΄ Ὁμοίως ὡρίσθη, ἵνα ἐάν τις ἐπίσκοπος κληρονόμους συγγενεῖς etc. ut p. 345.

Οὐ μόνον ἀπὸ ἐπισκόπων καὶ κληρικῶν κωλύονται λαμβάνειν οἱ αἱρετικοὶ, ἀλλὰ καὶ ἐκ τῶν ἑτέρων· εἴρηται γὰρ βιβλ. α΄ τίτ. ε΄, διάτ. ι΄, ὅτι οὔτε ὀρθόδοξος δύναται καθ' οἱονδήποτε τρόπον μεταφέρειν εἰς αἱρετικὸν ἀκίνητον πρᾶγμα, ἔχων ὀρθόδοξον ἐκκλησίαν, ἐπεὶ φισκοῦται· ἢ μέν τοι γ΄ διάτ. τοῦ β΄ τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐὰν ὀρθόδοξος ἔχων κτῆσιν, ἐν ᾗ ἁγία ἐστὶν ἐκκλησία, ἐκποιήσῃ ἢ καταλίπῃ, ἢ ἐμφυτεύσῃ, ἢ μισθώσῃ, ἢ καθ' οἱανδήποτε διοίκησιν παράσχῃ ἰουδαίῳ, ἢ σαμαρείτῃ, ἢ Ἕλληνι, ἢ μον-

τανιστῇ, ἢ ἀρειανῷ, ἢ ἁπλῶς ἄλλῳ αἱρετικῷ, ἢ ἐκκλησία τῆς αὐτῆς κώμης τὴν αὐτοῦ δεσποτείαν ἐκδικείτω· βιβλ. α' τίτ. ε', διάτ. ιή, ἐὰν αἱρετικὸς ὑπὲρ τοῦ τυχεῖν ἀξίας ἢ στρατείας, ἢ δημόσιον πρᾶξαι φρόντισμα, ἢ παιδεῦσαι, ἢ συνηγορῆσαι προαποισήσηται τὸν ὀρθόδοξον, καὶ φανῇ γαμετὴν ἢ παῖδας ἔχων αἱρετικούς, ἐκβάλλεται· εἰ δὲ καὶ λάθῃ, οὐ δύναταί τι τῶν αὐτοῦ δωρεῖσθαι, ἢ ἄλλως ἐκποιεῖν αἱρετικῷ, ἀλλὰ ταῦτα καὶ τὴν αἱρετικῷ καταφερομένην αὐτοῦ κληρονομίαν ἐκδικεῖ τὸ δημόσιον· καθόλου γὰρ οἱ μετασχόντες στρατείας, ἢ ἀξίας συνηγορίας, ἢ δημοσίας φιλοτιμίας, ἢ συγκροτήσεως, παρὰ μόνων ὀρθοδόξων κληρονομοῦνται· καὶ τὰ ἐξ αὐτῶν ὁπωσοῦν εἰς αἱρετικὸν ἐρχόμενα, τὸ δημόσιον ἐκδικεῖ· ἡ δὲ αὐτὴ διάτ. φησὶν, ὅτι ἐὰν τῶν παίδων, οἱ μέν εἰσιν αἱρετικοὶ, οἱ δὲ ὀρθόδοξοι, μόνοι οἱ ὀρθόδοξοι κληρονομοῦσιν· εἰ δὲ πάντες εἰσὶν αἱρετικοὶ, συγγενεῖς ὀρθόδοξοι κληρονομοῦσιν· ἢ μὴ ὄντων, ὁ φίσκος διαδέχεται· διάτ. ιθ', οἱ αἱρετικοὶ τοῦ αἱρετικοῦ παῖδες, οὔτε δωρεὰν οὔτε κλῆρον αὐτοῦ λαμβάνουσι· διάτ. κβ', οὔτε ἀπὸ στρατιωτικῆς διαθήκης αἱρετικὸς κληρονομεῖ ἢ ληγάτον λαμβάνει.

Ἡ δὲ τὰς αἰτίας τῶν ἐξερευδατιόνων τάττουσα ρβ' νεαρὰ φησὶν, ὅτι ἐὰν γονεὺς ὀρθόδοξος ὢν, αἴσθηται τοὺς ἰδίους παῖδας μὴ ὄντας ὀρθοδόξους, ἄδειαν ἔχει ποιεῖν αὐτοὺς ἀποκληρονόμους· εἰ δὲ τοὐναντίον ὁ γονεύς ἐστιν αἱρετικὸς, μὴ ἐχέτω ἄδειαν ἄλλους γράφειν κληρονόμους, εἰ μὴ τοὺς ὀρθοδόξους παῖδας· ἢ μὴ ὄντων αὐτῶν, συγγενεῖς ὀρθοδόξους· εἰ δέ τινες τῶν παίδων εἰσὶν ὀρθόδοξοι, τινὲς δὲ οὔ, ἡ οὐσία εἰς τοὺς ὀρθοδόξους ἔρχεται, κἂν ὁ πατὴρ ἄλλους ἔγραψε κληρονόμους· εἰ δὲ μετὰ ταῦτα οἱ αἱρετικοὶ ἀδελφοὶ ὀρθόδοξοι γένωνται, δίδοται τὸ αἱροῦν αὐτοῖς μέρος, οὐ μὴν

καὶ οἱ προλαβόντες καρποὶ, οὔτε λόγους ἀπαιτοῦσι τῆς διοικήσεως· τέως δὲ τὰ πράγματα οἱ ὀρθόδοξοι ἐκποιεῖν οὐ δύνανται· εἰ μέν τοι μέχρι τελευτῆς ἐπιμείνωσι τῇ πλάνῃ, πλήρη τὴν δεσποτείαν κτῶνται οἱ ὀρθόδοξοι καὶ οἱ κληρονόμοι· εἰ δὲ πάντες οἱ παῖδες αἱρετικοί εἰσιν, ὀρθόδοξοι συγγενεῖς κληρονομοῦσιν· εἰ δὲ μὴ εἰσὶ, τότε, εἰ μὲν κληρικοὶ εἰσὶν οἱ γονεῖς, ἡ ἐκκλησία τῆς πόλεως ἐν ᾗ τὴν οἴκησιν εἶχον, λαμβάνει τὰ πράγματα· εἰ δὲ οἱ ἐκκλησιαστικοὶ δι' ἐνιαυτοῦ ἀμελήσουσι διεκδικῆσαι τὰ πράγματα, ὁ φίσκος αὐτὰ λαμβάνει· εἰ δὲ λαϊκοί εἰσιν, ὁ φίσκος αὐτὰ λαμβάνει, εἴτε διέθεντο εἴτε μὴ· τὰ αὐτὰ κρατεῖ, ἐὰν ὁ παῖς ὀρθόδοξος ὢν, αἴσθηται τοὺς γονεῖς αἱρητικοὺς, ὅταν αὐτὸς ὁ παῖς διατίθηται ἢ κληρονομῆται.

Ἡ α' περὶ τῶν σαμαρειτῶν, δευτέρα οὖσα τοῦ τίτ. τοῦ γ' τῶν νεαρῶν, συνεχώρησε τοὺς σαμαρείτας λαμβάνειν δωρεὰς καὶ ἐκ διαθηκῶν, καὶ διδόναι καὶ παραπέμπειν σαμαρείταις αὐτῶν παισὶ καὶ γονεῦσι καὶ συγγενέσιν· ἡ μέν τοι τελευταία περὶ σαμαρειτῶν, γ' οὖσα τοῦ γ' τίτ. τῶν νεαρῶν, φησὶν, ὅτι οἱ σαμαρεῖται οὐ κληρονομοῦσιν ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου, οὔτε ληγάτα ἢ δωρεὰς λαμβάνουσιν· ἀλλ' οὔτε διαδόχους ἔξουσιν ἐξ ἀδιαδόχου σαμαρείτας, ἢ σχηματιζομένους μὲν τοὺς ὀρθοδόξους, οὐχ οὕτω δὲ φρονοῦντας· οὔτε δὲ διατίθεσθαι ἢ δωρεῖσθαι, εἰ μὴ τοῖς ὀρθοδόξοις καὶ πίστει καὶ ἔργοις· τούτων δὲ μὴ ὄντων, αἱ οὐσίαι μετὰ θάνατον εἰς τὸν φίσκον ἔρχονται· οἱ δὲ γῆν διαγεωργοῦντες σαμαρεῖται, δύνανται γράφειν κληρονόμους ἀνιόντας καὶ κατιόντας αὐτῶν, καὶ ληγατεύειν αὐτοῖς καὶ τοῖς ἐκ πλαγίου, κἂν ὦσι σαμαρεῖται· τούτων δὲ μὴ ὄντων, ὁ τοῦ χωρίου δεσπότης, ἐν ᾧ ἐγεώργει ὁ τελευ-

τήσας, τὴν οὐσίαν λαμβάνει, τὸν τόπον ἐν τούτῳ τοῦ φίσκου ἐπέχων.

Ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν λέγει, μηδεὶς αἱρετικὸς μὴ κατὰ μίσθωσιν ἢ ἐμφύτευσιν, ἢ ἀγερασίαν ἢ ἑτέρῳ τρόπῳ σκίνητα πράγματα λαμβανέτω ἀπὸ ἐκκλησίας, ἢ ἄλλου σεβασμίου τόπου· ἐπεὶ ὁ μὲν αἱρετικὸς τὰ παρ' αὐτοῦ δοθέντα ἐπὶ τῇ τοιαύτῃ αἰτίᾳ ἀπολλύτω, τὸ δὲ πρᾶγμα ἐπανατρεχέτω εἰς τὸν τόπον ἐξ οὗ ἐδόθη· ὁ δὲ δεδωκὼς δικαιοῦται εἴργεται τοῦ λοιποῦ πάσης τῆς διεκήσεως, καὶ μοναστηρίῳ ἐμβάλλεται, καὶ ἐπὶ ἐνιαυτὸν τῆς ἁγίας κοινωνίας χωρίζεται· ἡ αὐτὴ δὲ διάτ. φησὶν, ὅτι ἐάν τις τῶν αἱρετικῶν, οἷς συναριθμοῦνται Νεστοριανοὶ καὶ Εὐτυχιανισταὶ καὶ Ἀκέφαλοι, τολμήσει καταγώγιον τῆς ἰδίας θρησκείας ποιῆσαι, ἢ Ἰουδαίοις νέαν συναγωγὴν, ἐκδικείτω αὐτὰ ἡ ἐκκλησία· εἰ δὲ ἐνεφύτευσεν, ἢ ἐμίσθωσεν, ἢ ὁπωσοῦν εἰς διοίκησιν δέδωκε τοιούτῳ προσώπῳ, εἰ μὲν εἰδὼς ὁ δεσπότης αἱρετικὸς ἔπραξει τοῦτο, πάσας τὰς προσόδου τοῦ χρόνου τοῦ συναλλαγμάτος ἡ ἐκκλησία τῆς πόλεως, ὑφ' ἣν ἡ κτῆσις διάκειται, ἐκδικεῖ· ἀγνοοῦντι δὲ τῷ δεσπότῃ, σύδεμία προσγίνεται ζημία· ὁ δὲ αἱρετικὸς ἐφ' ἑκατέρου θέματος, καὶ τῆς κτήσεως ἀπελαύνεται καὶ δημεύεται.

ΤΙΤΛΟΣ ΙΑ.

ΠΕΡΙ ΜΟΝΑΣΤΗΡΙΩΝ ΚΑΙ ΜΟΝΑΧΩΝ.

TITULUS XI.

DE MONASTERIIS ET MONACHIS.

ΚΕΦ. Α.

Περὶ ποιήσεως μοναστηρίων· καὶ τοῦ μὴ γίνεσθαι αὐτὰ ἰδιωτικὰ· καὶ περὶ πραγμάτων τῶν μοναζόντων.

Συνόδου Χαλκηδόνος κανὼν γ' κθ'.

γ' Οἱ ἀληθῶς καὶ εἰλικρικῶς etc. ut p. 260.

κθ' Τὰ ἅπαξ καθιερωθέντα μοναστήρια κατὰ γνώμην ἐπισκόπου, μένειν εἰς τὸ διηνεκὲς μοναστήρια· καὶ τὰ ἀνήκοντα αὐτοῖς πράγματα φυλάττεσθαι τῷ μοναστηρίῳ, καὶ μηκέτι δύνασθαι γενέσθαι ταῦτα κοσμικὰ καταγώγια· τοὺς δὲ συγχωροῦντας τοῦτο γίνεσθαι, ὑποκεῖσθαι τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν μθ'.

μθ' Ἀνανεούμενοι καὶ τοῦτον τὸν ἱερὸν κανόνα ὁρίζομεν, ὥστε τὰ ἅπαξ καθιερωθέντα μοναστήρια κατὰ γνώμην ἐπισκόπου, μένειν εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ τὰ ἀνήκοντα αὐτοῖς πράγματα φυλάττεσθαι τῷ μοναστηρίῳ, καὶ μηκέτι δύνασθαι αὐτὰ κοσμικὰ καταγώγια, μήτε δὲ ὑπό τινος τῶν ἁπάντων κοσμικοῖς ἀνδράσι ταῦτα ἐκδίδοσθαι· ἀλλ' εἰ καὶ μέχρι νῦν γέγονε τοῦτο, μηδαμῶς κρατεῖσθαι ὁρίζομεν· τοὺς δὲ ἀπὸ τοῦ παρόντος πρόττειν τοῦτο ἐπιχειροῦντας, ὑποκεῖσθαι τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις.

Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν α' καὶ ς'.

Πρᾶγμα σεμνὸν οὕτω καὶ τίμιον etc. ut p. 118. α'

Οἱ μοναχοὶ οὐδὲν ἴδιον ὀφείλουσιν ἔχειν, πάντα δὲ τὰ ς' αὐτῶν προσκληροῦσθαι τῷ μοναστηρίῳ· φησὶ γὰρ ὁ μακάριος Λουκᾶς περὶ τῶν εἰς Χριστὸν πιστευόντων, καὶ τὴν τῶν μοναστῶν πολιτείαν διατυπούντων, ὡς οὐδεὶς τί τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά· διὸ τοῖς ἐθέλουσι μονάζειν ἄδεια δίδοται περὶ τῶν ὑπαρχόντων αὐτοῖς διατίθεσθαι πρότερον, καὶ οἷς ἂν βούλοιντο προσώποις, μὴ κεκωλυμένοις δηλονότι παρὰ τοῦ νόμου τὰ αὐτῶν παραπέμπεσθαι· μετὰ γάρ τοι τὸ μονάσαι, τῶν προσόντων αὐτοῖς ἁπάντων τὸ μοναστήριον ἔχει τὴν κυριότητα, καὶ οὐδὲν περὶ τῶν οἰκείων φροντίζειν ἢ διατάσσεσθαι τούτοις παρακεχώρηται· εἰ δέ τις φωραθείη κτῆσιν τινὰ, ἤ τις οὐκ ἀπεκληρώθη τῷ μοναστηρίῳ ἰδιοποιούμενος, καὶ φιλοκτησίας πάθει δουλούμενος, ταύτην μὲν παρὰ τοῦ ἡγουμένου ἢ τοῦ ἐπισκόπου ἀναλαμβάνεσθαι, καὶ πολλῶν παρουσίᾳ πιπράσκεσθαι, καὶ πτωχοῖς ἀπόρρις διανέμεσθαι· τὸν δέ γε τὴν τοιαύτην κτῆσιν, κατὰ τὸν πάλαι Ἀνανίαν ὑποσυλᾷν μελετήσαντα, τῷ προσήκοντι ἐπιτιμίῳ ἡ ἁγία σύνοδος ὥρισε σωφρονίζεσθαι· δῆλον δὲ, ὡς ἅ τινα περὶ μοναζόντων ἀνδρῶν ἡ ἁγία σύνοδος ἐκανόνισε, τὰ αὐτὰ καὶ περὶ μοναζουσῶν γυναικῶν κρατεῖσθαι ἐδικαίωσεν.

Συνόδου Νικαίας τὸ β', κανὼν ιγ'.

Ὅτι μεγάλης κατακρίσεως ἄξιοι εἰσὶν οἱ τὰ μοναστήρια κοινοῦντες.

Ἐπειδὴ διὰ τὴν γενομένην κατὰ τὰς ἁμαρτίας ἡμῶν ιγ' συμφορὰν ἐν ταῖς ἐκκλησίαις καθηρπάγησάν τινες εὐαγεῖς

εἶκοι ὑπό τινων ἀνδρῶν, ἐπισκοπεῖα τὲ καὶ μοναςτήρια, καὶ ἐγένοντο κοινὰ καταγώγια, εἰ μὲν οἱ διακρατοῦντες ταῦτα προαιρεῖνται ἀποδιδόναι, ἵνα κατὰ τὸ ἀρχαῖον ἀποκαταςαθῶσιν, εὖ ἂν ἔχοι· εἰ δὲ μή γε, εἰ μὲν τοῦ καταλόγου τοῦ ἱερατικοῦ εἰσὶ, τούτους καθαιρεῖσθαι προστάσσομεν· εἰ δὲ μοναχοὶ ἢ λαϊκοὶ, ἀφορίζεσθαι, ὡς ὄντας κατακρίτους ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ τετάχθωσαν ὅπου ὁ σκώληξ οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται, ὅτι τῇ τοῦ κυρίου φωνῇ ἐναντιοῦνται τῇ λεγούσῃ· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου, οἶκον ἐμπορίου.

Ἡ ιγ' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν λέγει, ὅτι ὁ βουλόμενος οἰκοδομῆσαι μοναστήριον, πρότερον προσδιαλεγέσθω τῷ ἐπισκόπῳ τῶν τόπων, ὅπως ἂν ἐκεῖ γενόμενος, εὐχὴν ποιήσοιτο καὶ ςαυρὸν πήξοι, καὶ τότε τοῦ κτίσματος ἡ ἀρχὴ γινέσθω· καὶ ἡ γ' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ὁ θέλων κτίσαι μοναστήριον, μὴ ἄλλως ἀρχέσθω τοῦ οἰκοδομήματος, εἰ μὴ ὁ τῶν τόπων ἐπίσκοπος εὐχὴν ἐκεῖσε ποιήσει, καὶ τὸν τίμιον πήξει ςαυρὸν· ὁ δὲ ἀρξάμενος νέον κτίζειν ἢ παλαιὸν ἀνανεοῦν, ἀναγκάζεται πληρῶσαι· ἀνάγνωθι καὶ τὰ προγραφέντα ἐν τῷ α' κεφ. τοῦ β' τίτ. κεφ. τὲ τεσσαρεσκαιδεκάτῳ τοῦ γ' τίτ. τοῦ παρόντος συντάγματος· ἡ δὲ α' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν λέγει, μηδεὶς μοναστήριον πωλείτω, ἢ ἀμειβέτω, ἢ δωρείσθω, ἔνθα θυσιαστήριον καθιδρύθη καὶ ἱερὰ γέγονε λειτουργία καὶ μοναχικὴ ἄσκησις· ἐπεί τι γε τὸ γενόμενον ἄκυρον ἔσται, καὶ τῶν τιμημάτων ὁ λαβὼν ἐκπεσεῖται, καὶ ὁ πιπράσκων ζημιωθήσεται τῇ τε τοῦ πράγματος ἐκπτώσει καὶ τῇ τοῦ τιμήματος ἀπωλείᾳ, τῇ κατὰ τόπον ἁγιωτάτῃ ἐκκλησίᾳ, καὶ τοῖς κατὰ τόπων εὐαγέσι μοναστηρίοις, τούτων προσνεμομέ-

νων· ὥστε αὐτοὺς προνοεῖν τοῦ τὸ κακῶς ἐκποιηθὲν, αὖθις ἐπαναγαγεῖν εἰς μοναχικὸν σχῆμα· μήτε ὑποθήκη ἐπὶ τούτοις ἐρρώσθω, ἀλλὰ ἀκυρούσθω, καὶ τὸ μοναστήριον τῇ ἱερᾷ λειτουργίᾳ προσκυρούσθω· καὶ ἡ β' διάτ. τοῦ β' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι ἐκποίησις μοναστηρίων μὴ γινέσθω ἐπὶ τῷ τὸ ἱερατικὸν σχῆμα, εἰς ἰδιωτικὴν διαγωγὴν μεταschηματίζεσθαι, ἐπεὶ ἄδειαν ἔχουσιν οἱ ἐπίσκοποι τὸ τοιοῦτον μοναστήριον ἐκδικεῖν, καὶ εἰς τὸ πρότερον ἐπανάγειν σχῆμα· βιβλ. α', τίτ. α', διάτ. λη' φησὶν, ὅτι οἱ τὰ ἴδια μοναστήρια καταλιμπάνοντες, οὐ λαμβάνουσιν ἅπερ αὐτοῖς προσήγαγον, νικητὰ ὁσησθήποτε ποσότητος ὄντα, κἂν μὴ σύνεστι πρᾶξις ὑπομνημάτων ἐπ' αὐτοῖς· περὶ δὲ τῶν ἀκινήτων δεῖ τὰ νόμιμα φυλάττεσθαι, ἐπεὶ οὐκ ἀναιρεῖται τῷ δωρησαμένῳ ἡ ἐκνίκησις αὐτῶν.

Καὶ ἡ ιγ' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν λέγει, ὅτι εἴ τις μονάσας ἀναχωρῆσαι βουληθῇ, τὰ πράγματα ὅσα παρεῖχεν ἡνίκα εἰσήει, τῆς δεσποτείας ἔσται τοῦ μοναστηρίου· καὶ ὅτι δεῖ τὸν θέλοντα μονάσαι, διατυποῦν περὶ τῶν ἰδίων πραγμάτων· εἰσελθόντι γὰρ αὐτῷ συνακολουθοῦσι, κἂν μὴ τοῦτο ῥητῶς εἴπῃ· εἰ μέν τι παῖδας ἔχων, ἔτυχέ τινα πράγματα δωρησάμενος, ἢ δωρησαμένη αὐτοῖς, ἢ ὑπὲρ προικὸς, ἢ πρὸ γάμου δωρεᾶς, καὶ ποιεῖ ταῦτα τὸ νόμιμον μέρος τῆς αὐτοῦ περιουσίας, μὴ ἐχέτωσαν οἱ παῖδες πρὸς τὰ λοιπὰ μετουσίαν· εἰ δὲ μηδὲν αὐτοῖς, ἢ ἔλαττον τοῦ νομίμου ἐδωρήσατο, καὶ μετὰ τὸ μονάσαι αὐτὸν ὀφείλεται τοῖς παισὶ τὸ νόμιμον· εἰ δὲ ἀνὴρ ἢ γυνὴ μονάσει, τὸν ἀπὸ τελευτῆς κάσον ὁ ἕτερος κερδαίνει· καὶ ὅτι ἐὰν μοναχὸς εἰς στρατείαν ἔλθῃ, ἢ ἕτερον βίου σχῆμα, ἡ μὲν οὐσία μένει παρὰ τῷ μοναστηρίῳ, αὐτὸς δὲ ταξεώτης ἐπιχώριος γίνεται·

εἰ δὲ καί τις εἰς μοναστήριον ἀπὸ μοναστηρίου μετέλθοι, ἡ οὐσία αὐτοῦ τῷ πρώτῳ μοναστηρίῳ διαφέρει· οἱ μέν τοι ἡγούμενοι μὴ δεχέσθωσαν αὐτὸν· κωλυέτωσαν δὲ τοῦτο καὶ οἱ ἐπίσκοποι καὶ οἱ ἀρχιμανδρῖται.

Λέγει δὲ καὶ διάτ. νβ' τοῦ γ' τίτ. τοῦ α' βιβλ. ὅτι ἐάν τις βαρηθῇ ὑποκαταστάσει ἢ ἀποκαταστάσει ἐξ ἀπαίδου, καὶ μὴ βουληθῇ γαμῆσαι δι' ἄσκησιν, μένει ἔχων τὰ πράγματα· καὶ περιὼν αὐτὰ δαπανᾷ, ἢ καταλιμπάνει ὡς θέλει εὐσεβῶς μέν τοι· εἰ δὲ καὶ ὑπὸ αἵρεσιν παιδοποιΐας αὐτῷ καταλειφθῇ, ἔχει αὐτὰ καὶ μὴ παιδοποιῶν· τὸ αὐτὸ καὶ ἐπὶ παρθενευούσαις· ἡ αὐτὴ διάτ. φησὶν, ὅτι ἐάν τις τῶν συνοικούντων μονάσῃ, πέμπει ῥεπούδιον ὁ ἄλλος, καὶ χώρα τοῖς ἀπὸ τελευτῆς συμφώνοις· καὶ τὸ ἐντεῦθεν κέρδος φυλάττεται τοῖς ὡς εἰκὸς οὖσιν ἐκ τοῦ αὐτοῦ γάμου παισίν· ἢ τὸ κερδάναν πρόσωπον μὴ ἐλθὸν εἰς δεύτερον γάμον· καὶ τοῦ ἀνδρὸς μονάζοντος ἡ γυνὴ ἑτέρῳ οὐ γαμεῖται ἐπὶ ἕνα ἐνιαυτόν· εἰ μέν τοι τίς τῶν μνηστήρων μονάσει, οἱ ἀρραβῶνες ἁπλοῖ ἀποδίδονται, καὶ οὐδὲν ζημιοῦνται, ὡς ἡ νδ' διάτ. τοῦ αὐτοῦ τίτ. καὶ ἡ περὶ ῥεπουδίων διαλαμβάνουσα ριζ' κεφ. φησὶν, ὅτι ἐὰν παρὰ τὰς εἰρημένας αὐτῇ αἰτίας γυνὴ πέμψῃ ῥεπούδιον, ἡ μὲν πρὶξ τῷ ἀνδρὶ δίδοται, ἢ κατὰ δεσποτείαν, ἢ παίδων ὑπόντων κατὰ χρῆσιν· ἡ δὲ γυνὴ διὰ τοῦ δικάσαντος παραδίδοται τῷ ἐπισκόπῳ τῆς πόλεως ἐν ᾗ οἰκεῖ, καὶ δι' αὐτοῦ μοναστηρίῳ ἐμβάλλεται πᾶσαν τὴν ζωὴν αὐτῆς· καὶ εἰ μὲν ἔχει παῖδας, τὸ δίμοιρον μέρος τῆς οὐσίας αὐτῆς λαμβάνουσι· τὸ δὲ τρίτον, τὸ μοναστήριον· εἰ δὲ παῖδας οὐκ ἔχει ἀλλὰ γονεῖς, τὸ δίμοιρον δίδοται τῷ μοναστηρίῳ· καὶ τῷ τρίτον, τοῖς γονεῦσιν· εἰ μὴ ὑπ' ἐξουσίαν αὐτὴν ἔχοντες τῷ ἀλόγῳ ῥεπουδίῳ συνήνεσαν,

τότε γὰρ πάντα τῷ μοναστηρίῳ προσκυροῦται· ὥσπερ καὶ ὅτε μήτε γονεῖς ἡ γυνὴ ἔχει.

Καὶ ἡ β΄ διάτ. τοῦ α΄ τίτ. τῶν νεαρῶν φησὶν, ὅτι δούλου, ἢ ἐναπογράφου κατὰ τὴν διάστιξιν αὐτῆς μονάζοντος, τὰ πράγματα ἅπερ εἰς τὸ μοναστήριον ἤγαγε, λαμβάνει ὁ δεσπότης· οὐ μένουσι δὲ ἅμα μοναχοὶ καὶ μονάστριαι, ἀλλ' οἱ ἄνδρες εἰς ἑτέρους μεθίστανται τόπους, καὶ διαιροῦνται εἰς αὐτοὺς τὰ πράγματα πρὸς τὸ ἁρμόζον αὐτοῖς δίκαιον· ὁ δὲ βεβαρημένος ληγάτῳ ἢ ἀποκαταστάσει, ὑπὸ αἵρεσιν γάμου ἢ ἀπαιδίας, ἢ ἐὰν οὕτω δωρηθῇ ἢ ἔλθῃ τινὶ, καὶ γένηται μοναχὸς ἢ ἀσκήτρια, σβέννυται ἡ ἀποκατάστασις· κἂν γὰρ τῶν μοναστηρίων ἐξέλθωσιν, ὅμως τὰ τοιαῦτα πράγματα μετὰ τῶν ἄλλων αὐτῶν τοῖς μοναστηρίοις διαφέρει· εἰ δὲ ἐπὶ ἀναῤῥύσει αἰχμαλώτων, ἢ ἀποτροφῇ πτωχῶν, ἡ τοιαύτη ὑπόστασις γένηται, ἐξ οὐδενὸς τῶν εἰρημένων τρόπων ἀποκλείεται· τοῦ εἰσιόντος εἰς τὸ μοναστήριον, εἴπερ οὐκ ἔχει παῖδας, τὰ πράγματα τῷ μοναστηρίῳ διαφέρουσιν· εἰ δὲ παῖδας ἔχει, καὶ οὐ διετύπωσε περὶ τῶν αὐτοῦ πραγμάτων πρὶν εἰσέλθῃ, ἄδειαν ἔχει καὶ μετὰ ταῦτα διατυποῦν· καὶ οὐ δύναται τὸ νόμιμον μέρος μειοῦν, καὶ ἑαυτῷ δὲ φυλάττει παιδὸς ἑνὸς ἀναλογίαν, ὀφείλουσαν τῷ μοναστηρίῳ προσκυρωθῆναι· εἰ δὲ τελευτήσει ἐν τῷ μοναστηρίῳ πρὶν ποιήσῃ τὴν διατύπωσιν, τὸ μὲν νόμιμον οἱ παῖδες λαμβάνουσι, τὰ δὲ λοιπὰ τὸ μοναστήριον· οὐδεὶς τῶν μνηστήρων προφάσει τῶν ἀῤῥαβώνων ζημιοῦται μονάζων· καὶ ὁ γάμος ἐκ τοῦ λαβεῖν ἕνα τῶν συνοικούντων τὸ μοναχικὸν σχῆμα, λύεται χωρὶς ῥεπουδίου, καὶ ἀναλαμβάνει ἡ γυνὴ τὴν προῖκα καὶ τὰ ἄλλα αὐτῆς πράγματα· τῷ δὲ μὴ μονάσαντι τὸ ἀπὸ τελευτῆς συμφωνηθὲν κέρδος ἁρμόζει· εἰ δὲ ἅμα οἱ δύο ἀποτά-

ξονται, οὐδεὶς αὐτῶν ἐκ τοῦ ἑτέρου κερδαίνει, εἰ μὴ ἐκών τις τῷ ἑτέρῳ δωρήσεται.

Ἡ δὲ περὶ τοποτηρητῶν διαλεγομένη ρλδ' νεαρὰ φησὶν, ὅτι ἐὰν γυνὴ ἐπὶ μοιχείᾳ καταδικασθῇ, ταῖς προσηκούσαις πληγαῖς ὑποβαλλομένη, μοναστηρίῳ ἐμβάλλεται, καὶ ἄδειαν ἔχει ὁ ἀνὴρ εἴσω διετίας αὐτὴν ἀναλαβεῖν, μὴ βλαπτομένου τοῦ γάμου ἐκ τῶν ἐν τῷ μέσῳ· εἰ δὲ παρέλθοι ὁ χρόνος, ἢ τελευτήσει μὴ ἀναλαβὼν αὐτὴν, τὸ σχῆμα λαμβάνει· καὶ εἰ μὲν ἔχει παῖδας, λαμβάνουσι τὰς ὀκτὼ ὀγγίας, καὶ τὸ μοναστήριον τὰς δ'· εἰ δὲ μόνους ὀνιόντας ἔχει μὴ συνεργήσαντας τῷ ἀτοπήματι, λαμβάνουσι τὰς δ' ὀγγίας, καὶ τὸ μοναστήριον τὰς η'· εἰ δὲ συνήργησαν ἢ μὴ δὲ ὅλως εἰσὶν ἀνιόντες ἢ κατιόντες, λαμβάνει πάντα τὸ μοναστήριον, τῶν ἐν τοῖς προικῴοις συμφώνων ἐπὶ πάντων τῶν θεμάτων τῷ ἀνδρὶ φυλαττομένων· ἐὰν δέ τις ἐπὶ μοιχείᾳ κατηγορηθεὶς, καὶ κατὰ προδοσίαν τοῦ δικαστοῦ, ἢ ἑτέραν αἰτίαν ἀποφύγοι τὰς ποινὰς, καὶ μετὰ ταῦτα ζῶντος ἢ τελευτήσαντος τοῦ ἀνδρὸς αὐτῆς, αἰσχρῶς αὐτῇ συναναστρέφηται, ἢ πρὸς γάμον αὐτὴν λάβῃ, οὔτε ὁ γάμος ἔρρωται, ἀλλ' ὁ μὲν ἀνὴρ ὡς μοιχὸς ὑπὸ παντὸς ἄρχοντος κολάζεται, ἡ δὲ γυνὴ σωφρονιζομένη ἐμβάλλεται μοναστηρίῳ ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτῆς· καὶ τὰ πράγματα ὡς εἴρηται διαιροῦνται κινδύνῳ τοῦ κόμητος τῶν πριβάτων, καὶ τῶν κατὰ τόπον ἀρχόντων.

ΚΕΦ. Β.

Περὶ τῶν ἐξ ἑτέρων μοναστηρίων γινομένων ἡγουμένων ἢ κληρικῶν.

Συνόδου Καρθαγέννης κανὼν π'.

Ὥστε τοὺς ἀπὸ ἀλλοτρίου μοναστηρίου ὑποδεχθέντας, μὴ δὲ ἡγουμένους τοῦ μοναστηρίου μὴ δὲ κληρικοὺς, ἐξεῖναι χειροτονεῖν.

Ὁμοίως ἤρεσεν, ἵνα ἐάν τις ἀπὸ ἀλλοτρίου μοναστηρίου π'
ὑποδέξηταί τινα, καὶ πρὸς κλήρωσιν προαγαγεῖν ἐθελήσοι, ἢ τοῦ ἰδίου μοναστηρίου ἡγούμενον καταστήσει, ὁ τοῦτο ποιῶν ἐπίσκοπος, ἀπὸ τῆς τῶν λοιπῶν κοινωνίας χωριζόμενος, τῇ τοῦ ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεσθῇ μόνῃ· ἐκεῖνος δὲ μὴ δὲ κληρικὸς μὴ δὲ ἡγούμενος ἐπιμείνῃ.

Συνόδου Νικαίας τὸ β', κανὼν κα'.

Ὅτι οὐ δεῖ τοὺς μοναχοὺς καταλιμπάνειν τὰ οἰκεῖα μοναστήρια καὶ ἑτέροις μεταβαίνειν.

Μὴ δεῖν μοναχὸν ἢ μονάστριαν καταλιμπάνειν τὴν οἰ- κα'
κείαν μονὴν καὶ ἐν ἑτέρᾳ ἀπέρχεσθαι· εἰ δὲ συμβῇ τοῦτο, ξενοδοχεῖσθαι αὐτὸν ἀναγκαῖον· προσλαμβάνεσθαι δὲ ἄνευ γνώμης τοῦ ἡγουμένου αὐτοῦ, οὐ προσήκει.

ΚΕΦ. Γ.

Περὶ δούλων μοναζόντων, ἢ προφάσει εὐλαβείας καταφρονούντων, καὶ μὴ δουλευόντων τοῖς δεσπόταις.

Συνόδου Γαγγρῶν κανὼν γ'.

Εἴ τις δοῦλον προφάσει θεοσεβείας, διδάσκοι καταφρο- γ'
νεῖν δεσπότου, καὶ ἀναχωρεῖν τῆς ὑπηρεσίας, καὶ μὴ μετ'

εὐνοίας καὶ πάσης τιμῆς τῷ αὐτοῦ δεσπότῃ ἐξυπηρετεῖσθαι, ἀνάθεμα ἔστω.

Συνόδου Χαλκηδόνος κανὼν ὅ.

ε' Οἱ ἀληθῶς καὶ εἰλικρινῶς etc. ut p. 260.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν μγ' πέ.

μγ' Ἔξὸν ὑπάρχει παντὶ χριστιανῷ τὸν ἀσκητικὸν ἑλέσθαι βίον, καὶ τὴν πολυτάραχον ζάλην τῶν βιωτικῶν πραγμάτων ἀποθέμενον, ἐν μοναστηρίῳ εἰσιέναι, καὶ κατὰ τὸ μοναχικὸν σχῆμα ἀπασκαρῆναι, κἂν ἐν οἱῳδήποτε πταίσματι ἁλῷ· ὁ γὰρ σωτὴρ ἡμῶν Θεὸς ἔφη, τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω· ὡς οὖν τῆς μοναχικῆς πολιτείας, τὴν ἐν μετανοίᾳ ζωὴν στηλογραφούσης ἡμῖν, τῷ γνησίως ταύτῃ προστιθεμένῳ συνευδοκοῦμεν, καὶ οὐδεὶς αὐτὸν παρεμποδίσοι τρόπος πρὸς τὴν τοῦ εἰκείου σκοποῦ ἀποπλήρωσιν.

πέ' Ἐπὶ δύο καὶ τριῶν μαρτύρων βεβαιοῦσθαι πᾶν ῥῆμα γραφικῶς παρελάβομεν· τοὺς οὖν ὑπὸ τῶν εἰκείων δεσποτῶν ἐλευθερουμένους δούλους ἐπὶ τρισὶ μάρτυσι, τῆς τοιαύτης τιμῆς ἀπολαύειν διοριζόμεθα, οἳ τὸ κῦρος παρόντες τῇ ἐλευθερίᾳ προσοίσουσι, καὶ τὸ πιστὸν ἐξ ἑαυτῶν τοῖς γινομένοις παρέξουσιν.

Ἡ λς' διάτ. τοῦ γ' τίτ. τοῦ κώδ. φησὶν, ὅτι οἱ ἐναπόγραφοι, χωρὶς συναινέσεως τῶν δεσποτῶν μενάζοντες, οὕτως αὐτοῖς ὑπόκεινται, ὡς μὴ τοῦτο γενόμενοι· διάτ. λζ', δοῦλοι γνώμῃ τῶν δεσποτῶν μονάσαντες ἐλευθεροῦνται· εἰ δὲ τὴν ἄσκησιν καταλιπόντες, εἰς ἑτέραν μετέλθωσι κατάστασιν, ἀναδουλοῦνται· ἡ δὲ ιγ' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν φησὶν, ὅτι οἱ παραγενόμενοι εἰς μονήρη βίον, εἴτε ἐλεύθεροι εἴτε δοῦλοι, πρότερον τριετίαν προσκαρτερείτωσαν, κουρᾷ τε καὶ ἐσθῆτι χρώμενοι τῶν λαϊκῶν, καὶ τὰς γραφὰς μανθά-

νοντες, καὶ τὴν τύχην αὐτῶν ὁμολογοῦντες, καὶ τὴν αἰτίαν τοῦ θέλειν μονάσαι, μή ποτε πονηρά ἐστι· καὶ νουθετείσθωσαν· καὶ εἰ προσκαρτερήσουσι τὴν τριετίαν καὶ ἄξιοι φανῶσι τοῦ μονάσαι, τότε κειρέσθωσαν, καὶ δουλείας ἐλευθεροῦνται· εἰ δέ τις εἴσω τριετίας αὐτὸν δουλαγωγεῖ, λέγων αὐτὸν ὑφελόμενόν τινα προσδραμεῖν τῷ μοναστηρίῳ, μὴ προχείρως αὐτὸν ἀφελκέτω, ἀλλὰ δεικνύτω πρότερον, ὅτι καὶ δοῦλος ἐστὶ, καὶ ἐπὶ κλοπῇ ἢ πταίσμασιν ἀτόποις ἀπέδρα· καὶ τότε αὐτὸν λαμβανέτω μεθ' ὧν ὡς εἰκὸς εἰς τὸ μοναστήριον εἰσήγαγε· διδότω δὲ αὐτῷ πίστιν, ὡς οὐδὲν ἐπὶ τούτῳ κακὸν αὐτῷ δράσει· εἰ δὲ μὴ ταῦτα διδαχθείη, κἀκεῖνος ἐκ τῆς ἀσκήσεως φανῇ σεμνὸς, κἂν μήπω παρῆλθεν ἡ τριετία, μενέτω ἐν τῷ μοναστηρίῳ, καὶ μετὰ τὴν τριετίαν ἄξιος φαινόμενος, προσκαρτερείτω τῇ ἀσκήσει· εἴτε δοῦλος ἦν εἴτε ἐλεύθερος, ὑπ' οὐδενὸς τὸ λοιπὸν περὶ τούτου πολυπραγμονούμενος, κἂν προημαρτηκὼς εἴη· τὰ μέν τοι ὡς εἰκὸς κλαπέντα ὁπουδήποτε ὄντα, τῷ πάλαι δεσπότῃ ἀποδίδονται.

Καὶ ἡ β' διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι τῷ βουλομένῳ σχῆμα μοναχικὸν λαβεῖν, εἰ μὲν γινώσκεται ὡς οὐχ ὑπόκειται τύχῃ, ὁ ἡγούμενος ὅτε νομίσει, διδότω αὐτῷ τὸ σχῆμα· εἰ δ' ἀγνοεῖται, ἐπεχέτω· καὶ ἐάν τις εἴσω τριετίας, ἀποδείξῃ αὐτὸν δοῦλον, ἢ ἐναπόγραφον, ἢ κολωνὸν, λαμβάνει αὐτὸν μεθ' ὧν ὡς εἰκὸς ὑφείλετο πραγμάτων, διδοὺς αὐτῷ λόγον· μηδενὸς δὲ εἴσω τῆς τριετίας ἐνάγοντος, εἴπερ ἄξιον αὐτὸν κρίνῃ, διδότω τὸ σχῆμα αὐτῷ καὶ οὐκ ὀχλεῖται· τὰ δὲ πράγματα ἅπερ εἰς τὰ μοναστήριον ἤγαγε, λαμβάνει ὁ δεσπότης· ἡ δὲ αὐτὴ διάτ. φησὶν, ὅτι ὁ ἐπίσκοπος τὸν ἀββᾶν ἢ τὸν ἀρχιμανδρίτην ἑκάστου μοναστη-

ρίου, μὴ πάντως κατὰ τὸν βαθμὸν προβαλλέσθω, ἀλλ' ὃν οἱ μοναχοὶ πάντες εὐϋπόληπτοι ἐπιλέξονται, ἐπὶ τῶν εὐαγγελίων λέγοντες, ὡς οὐ διὰ φιλίαν ἢ χάριν αὐτὸν ἐπελέξαντο, ἀλλὰ γινώσκοντες αὐτὸν ὀρθόδοξον καὶ σώφρονα καὶ τῆς διεικήσεως ἄξιον, καὶ δυνάμενον φυλάξαι τὴν ἐπιστήμην τῶν μοναχῶν καὶ τὴν τοῦ μοναστηρίου κατάςασιν· τὰ αὐτὰ καὶ περὶ τῶν γυναικείων μοναστηρίων καὶ ἀσκητηρίων· τὰ αὐτὰ φησὶ καὶ ἡ ιγ' διάτ. τοῦ αὐτοῦ τίτ. προστιθεῖσα ὅτι δεῖ τὴν ἐπιλογὴν τοῦ ἀξίου ποιεῖσθαι ἀπὸ τοῦ πρώτου, καὶ οὕτω κατὰ βαθμὸν διὰ τῶν ἑξῆς· οἱ γὰρ πρῶτοι ἄξιοι φαινόμενοι, προτιμῶνται τῶν μετ' αὐτοὺς, ὡς ἡ μς' διάτ. τοῦ γ' τοῦ α' βιβλ. ἡ δὲ λθ' διάτ. τοῦ αὐτοῦ τίτ. διορίζει, ὅτι τοὺς μὲν ἡγουμένους ἐπιβλέπουσιν οἱ ἐπίσκοποι, τοὺς δὲ μοναχοὺς οἱ ἡγούμενοι, καὶ ὅτι δύο μοναστηρίων οὐ γίνεται ὁ αὐτὸς ἡγούμενος.

ΚΕΦ. Δ.

Περὶ τοῦ μὴ ὡς ἔτυχε μοναχὸν ἐξιέναι τοῦ μοναστηρίου, ἢ πράγματα πράττειν, καὶ ὅτι ὑπὸ τὸν ἐπίσκοπον εἰσίν.

Συνόδου Χαλκηδόνος κανὼν γ' ὃ ἡ κγ'.

γ' Ἦλθεν εἰς τὴν ἁγίαν σύνοδον, ὅτι τῶν ἐν κλήρῳ κατειλεγμένων τινὲς etc. ut p. 216.

ε' Οἱ ἀληθῶς καὶ εἰλικρινῶς etc. ut p. 260.

η' Οἱ κληρικοὶ τῶν πτωχείων etc. ut p. 102.

κγ' Ἦλθεν εἰς ἀκοὰς τῆς ἁγίας συνόδου etc. ut p. 194.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν μα' μβ' μς'.

μα' Τοὺς ἐν πόλεσιν ἢ χωρίοις ἐν ἐγκλείστραις βουλομένους ἀναχωρεῖν, καὶ ἑαυτοῖς καταμόνας προσέχειν, πρότερον ἐν

μοναστηρίῳ εἰσιέναι δεῖ, καὶ τὴν ἀναχωρητικὴν παιδοτριβεῖσθαι διαγωγήν, καὶ ἐπὶ τριετῆ χρόνον τῷ τῆς μονῆς ἐξάρχοντι ἐν φόβῳ Θεοῦ ὑποτάττεσθαι, καὶ τὴν κατὰ πάντα ὡς προσῆκεν ὑπακοὴν ἐκπληρεῖν, καὶ οὕτως ὁμολογοῦντας περὶ τῆς ἐν τῷ τοιούτῳ βίῳ προαιρέσεως, καὶ ὡς ἐξ ὅλης καρδίας ἑκουσίως τοῦτον ἀσπάζονται, ὑπὸ τοῦ κατὰ τὸν τόπον δοκιμάζεσθαι πρεέδρου· εἶθ' οὕτως ἐφ' ἕτερον ἐνιαυτὸν, ἔξωθεν τῆς ἐγκλείστρας προσκαρτερεῖν, ὡς ἂν ὁ σκοπὸς αὐτῶν πλειόνως φανερωθείη· τηνικαῦτα γὰρ πληροφορίαν παρέξουσιν· ὡς οὐ κενὴν θηρώμενοι δόξαν, ἀλλὰ δι' αὐτὸ τὸ ὄντως καλὸν, τὴν ἡσυχίαν ταύτην μεταδιώκουσι· μετὰ δὲ τὴν τοῦ τοσούτου χρόνου συμπλήρωσιν, εἰ τῇ αὐτῇ προαιρέσει ἐμμένοιεν, ἐγκεκλεῖσθαι αὐτοὺς, καὶ μηκέτι τούτους ἐξεῖναι ὅτε βούλονται τῆς τοιαύτης καταμονῆς ἀφίστασθαι, ἐκτὸς εἰ μὴ διὰ κοινὴν λυσιτέλειαν καὶ ὠφέλειαν, ἢ ἑτέραν. ἀνάγκην πρὸς θάνατον αὐτοὺς βιαζομένην πρὸς τοῦτο ἕλκοιντο· καὶ οὕτω μετ' εὐλογίας τοῦ κατὰ τὸν τόπον ἐπισκόπου· τῶν δὲ εἰρημένων προφάσεων δίχα, ἐγχειροῦντας ἐκ τῶν καταγωγίων αὐτῶν ἐξιέναι, πρωτοτύπως μὲν ἄκοντας καθειργνύειν ἐν τῇ εἰρημένῃ ἐγκλείστρᾳ, ἔπειτα δὲ νηστείαις καὶ ἑτέραις σκληραγωγίαις αὐτοὺς θεραπεύειν, εἰδότας κατὰ τὸ γεγραμμένον, ὡς οὐδεὶς βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον, καὶ γραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Τοὺς λεγομένους ἐρημίτας, οἵ τινες μελανειμονοῦντες, μβ'
καὶ τὰς κεφαλὰς κομῶντες περιάγουσι τὰς πόλεις, μεταξὺ ἀνδρῶν λαϊκῶν καὶ γυναικῶν ἀναστρεφόμενοι, καὶ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζοντες, ὁρίζομεν, εἰ μὲν αἱροῦνται τὰς κόμας ἀποκειράμενοι, τὸ τῶν λοιπῶν μοναχῶν ἀναδέξασθαι σχῆμα, τούτους ἐν μοναστηρίῳ ἐγκαθίστασθαι, καὶ τοῖς

ἀδελφοῖς ἐγκαταλέγεσθαι· εἰ δὲ μὴ τοῦτο προέλοιντο, παντάπασιν αὐτοὺς τῶν πόλεων ἀπελαύνεσθαι, καὶ τὰς ἐρήμους οἰκεῖν, ἐξ ὧν καὶ τὴν ἐπωνυμίαν ἑαυτοῖς ἀνεπλάσαντο.

μς' Αἱ τὸν ἀσκητικὸν αἱρούμεναι βίον, καὶ ἐν μοναστηρίῳ καταττόμεναι, καθόλου μὴ προϊέτωσαν· εἰ δέ τις ἀπαραίτητος αὐτὰς ἀνάγκη πρὸς τοῦτο ἕλκοι, μετ' εὐλογίας καὶ ἐπιτροπῆς τῆς προεστώσης τοῦτο πραττέτωσαν· καὶ τότε μὴ μόναι καθ' ἑαυτὰς, ἀλλὰ μετά τινων πρεσβυτίδων καὶ πρωτευουσῶν ἐν τῷ μοναστηρίῳ, μετ' ἐντολῆς τῆς καθηγουμένης· παντελῶς δὲ αὐτὰς ἔξω κοιτεῖν οὐκ ἔξεστιν· ἀλλὰ καὶ ἄνδρες εἰ τὸν μονήρη βίον μετερχόμενοι, χρείας ἐπειγούσης, καὶ αὐτοὶ μετ' εὐλογίας τοῦ τὴν ἡγουμενείαν ἐμπεπιστευμένου προϊέτωσαν· ὥςε εἰ παραβαίνοντες τὸν νῦν ὁρισθέντα παρ' ἡμῶν ὅρον, εἴτε ἄνδρες εἶεν εἴτε γυναῖκες, προσφόροις ἐπιτιμίοις ὑποβληθήτωσαν.

Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν β' γ' δ' ε'.

β' Ἐπειδή τινες τὸν μονήρη βίον ὑποδύεσθαι σχηματίζονται, οὐχ' ἵνα θεῷ καθαρῶς δουλεύωσιν, ἀλλ' ἵνα τῇ σεμνότητι τοῦ σχήματος δόξαν εὐλαβείας προσλάβωσι, καὶ τῶν οἰκείων ἐντεῦθεν ἡδονῶν ἄφθονον εὑρήσουσι τὴν ἀπόλαυσιν· τῶν τριχῶν γὰρ μόνων τὴν ἀποβολὴν ποιούμενοι, ἐν τοῖς οἰκείοις οἴκοις παρεδρεύουσι, μηδεμίαν τῶν μοναχῶν ἀποπληροῦντες ἀκολουθίαν ἢ κατάστασιν, ὥρισεν ἡ ἁγία σύνοδος, μηδένα τῶν ἁπάντων τοῦ μοναχικοῦ σχήματος ἀξιοῦν, ἄνευ παρουσίας τοῦ ὀφείλοντος αὐτὸν εἰς ὑποταγὴν ἀναδέχεσθαι, καὶ τὴν ἐπ' αὐτῷ ἡγεμονίαν καὶ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας τὴν πρόνοιαν ἐπαγγέλλεσθαι, ἀνδρὸς δηλονότι θεοφιλοῦς ὄντος, καὶ μονῆς προεστηκότος, καὶ ἱκανοῦ σώ-

ζειν ψυχὴν ἀρτίως τῷ Χριστῷ προσαγομένην· εἰ δέ τις φωραθείη ἀποκουρεύων τινὰ χωρὶς παρουσίας τοῦ εἰς ὑποταγὴν αὐτὸν ὀφείλοντος ἀναλαμβάνειν ἡγουμένου, τοῦτον μὲν καθαιρέσει καθυποβάλλεσθαι, ὡς ἀπειθοῦντα τοῖς κανόσι, καὶ τὴν μοναχικὴν εὐταξίαν διαλύοντα· τὸν δὲ παραλόγως καὶ ἀτάκτως ἀποκουρευθέντα, ἐν ὑποταγῇ καὶ μοναστηρίῳ, ἐν ᾧ ἂν ὁ κατὰ τὸν τόπον ἐπίσκοπος δοκιμάσῃ, παραδίδοσθαι· αἱ γὰρ ἄκριτοι καὶ ἐπισφαλεῖς ἀποκουραὶ, καὶ τὸ μοναχικὸν σχῆμα ἠτίμωσαν, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα βλασφημεῖσθαι πεποιήκασιν.

Καὶ τοῦτο κακῶς πραττόμενον, κατὰ πολὺ δὲ χεῖρον γ' παροράσει καὶ ἀμελείᾳ παραπεμπόμενον, τυχεῖν ἐκρίθη διορθώσεως· ἵνα εἴ τις μονῆς προϊστάμενος, τοὺς ὑπ' αὐτῷ τεταγμένους μοναχοὺς ἀποδιδράσκοντας, οὐ μετὰ πολλῆς τῆς ἐπιμελείας ἀναζητοίη, ἢ ἐφευρίσκων οὐκ ἀναλαμβάνειτο, καὶ τῇ προσηκούσῃ καὶ καταλλήλῳ τοῦ πταίσματος ἰατρείᾳ τὸ νενοσηκὸς ἀνακτᾶσθαι καὶ ἐπιρωννύειν ἀγωνίζοιτο, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος, ἀφορισμῷ ὑποκεῖσθαι· εἰ γὰρ ὁ ζώων ἀλόγων τὴν προστασίαν ἐγχειριζόμενος, καὶ τοῦ ποιμνίου καταμελῶν, οὐκ ἀτιμώρητος καταλιμπάνεται, ὁ τῶν Χριστοῦ θρεμμάτων τὴν ποιμαντικὴν ἀρχὴν καταπιστευθεὶς, καὶ ῥαστώνῃ καὶ ῥᾳθυμίᾳ τὴν αὐτῶν σωτηρίαν ἀπεμπολῶν, πῶς οὐ δίκας τοῦ τολμήματος εἰσπραχθήσεται;

Πολυτρόπως ὁ πονηρὸς τοῦ μοναχικοῦ σχήματος τὸ σε- δ' βάσμιον, ἐπονείδιστον θεῖναι κατηγωνίσατο· καὶ πολλὴν εὗρεν εἰς τοῦτο συνδρομὴν, τῆς προκατασχούσης αἱρέσεως τὸν καιρὸν· τὰς γὰρ ἰδίας μονὰς τῇ ἀνάγκῃ τῆς αἱρέσεως οἱ μονάζοντες καταλιμπάνοντες, οἱ μὲν εἰς ἑτέρας, οἱ δὲ καὶ εἰς κοσμικῶν ἀνδρῶν μετέπιπτον καταγώγια· ἀλλὰ γὰρ ὅπερ

αὐτοῖς δὲ εὐσέβειαν τότε πραττόμενον, μακαριστοὺς ἀπέφαινεν, εἰς ἦθος ἄλογον μεταπεσὸν, καταγελάσους παρίστησι· πανταχοῦ γὰρ νῦν τῆς εὐσεβείας ἐξηπλωμένης, καὶ σκανδάλων τῆς ἐκκλησίας ἀπηλλαγμένης, ἔτι τινὲς τῶν οἰκείων μοναστηρίων ἀποφοιτῶντες, καὶ καθάπέρ τι ῥεῦμα δυσκάθεκτον, ὧδε κἀκεῖσε μεταγγιζόμενοί τε καὶ μεταῤῥέοντες, πολλῆς μὲν τῆς ἀκοσμίας πληροῦσι τὰ μοναστήρια, πολλὴν δὲ τὴν ἀταξίαν ἑαυτοῖς συνεισκωμάζουσι, καὶ τῆς ὑποταγῆς τὸ σεμνὸν διασπῶσι τὲ καὶ καταλυμαίνονται· ἀλλὰ τούτων τὸ ἄσατον τῆς ὁρμῆς καὶ ἀνυπότακτον ἡ ἁγία σύνοδος ἀνακόπτουσα, ὥρισεν ἵνα εἴ τις μοναχὸς τῆς ἰδίας ἀποδράσας μονῆς, ἢ εἰς ἕτερον μεταπέσῃ μοναστήριον, ἢ εἰς κοσμικὸν εἰσκωμάσῃ καταγώγιον, αὐτός τὲ καὶ ὁ τοῦτον ὑποδεξάμενος ἀφωρισμένος εἴη, ἕως ἂν ὁ ἀποφυγὼν ἐπανέλθῃ, ἐξ ἧς κακῶς ἐξέπεσε μονῆς· εἰ μέν τοι γε ὁ ἐπίσκοπος τινὰς τῶν μοναχῶν ἐπὶ εὐλαβείᾳ καὶ βίου σεμνότητι μαρτυρουμένους, εἰς ἕτερον μοναστήριον ἐπὶ καταστάσει τῆς μονῆς θελήσει μετακομίσαι, ἢ καὶ εἰς κοσμικὴν οἰκίαν ἐπὶ σωτηρίᾳ τῶν ἐνοικούντων δοκιμάσοι καταζῆσαι, ἢ ἀλλαχόσε εὐδοκήσοι ἐπιστῆσαι, τοῦτο οὔτε τοὺς ὑποδεχομένους, οὔτε τοὺς μοναχοὺς, ὑπόδικους ποιήσει.

ε' Τὰς ἀκρίτους καὶ ἀδοκιμάστους ἀποταγὰς, ἐπὶ πολὺ τὴν μοναχικὴν εὐταξίαν λυμαινομένας εὑρίσκομεν· πρεπετῶς γὰρ εἰς τὸν μονήρη βίον ἑαυτοὺς ἐπιῤῥίπτοντες, καὶ πρὸς τὸ τραχὺ καὶ ἐπίπονον κατολιγωροῦντες τῆς ἀσκήσεως, ἐπὶ τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον ἀθλίως πάλιν ἐπαναστρέφουσιν· ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, πρὶν ἂν ὁ τῆς τριετίας χρόνος εἰς πεῖραν αὐτοῖς ἀφεθεὶς, δοκίμους αὐτοὺς καὶ ἀξίους

τῆς τηλικαύτης βιοτῆς παραστήσῃ· καὶ τοῦτο κρατεῖν παντὶ τρόπῳ παρεκελεύσατο, πλὴν εἰ μήπω τίς βαρεῖα προσπεσοῦσα νόσος τὸν χρόνον ἀναγκάσει συσταλῆναι τῆς δοκιμασίας· ἢ εἰ μήπω τίς εἴη ἀνὴρ εὐλαβὴς, καὶ τὸν μοναχικὸν βίον ἐν τῷ κοσμικῷ διανύων σχήματι· ἐπὶ γὰρ τοῦ τοιούτου ἀνδρὸς, εἰς ἀπόπειραν παντελῆ καὶ ὁ ἑξαμηνιαῖος ἐξαρκέσει χρόνος· εἰ δέ τις παρὰ ταῦτα διαπράξεται, τὸν μὲν ἡγούμενον τῆς ἡγουμενείας ἐκπίπτοντα, παιδείαν τῆς ἀταξίας, τὴν ἐν ὑποταγῇ διαγωγὴν ἐφευρίσκειν· τὸν δὲ μονάσαντα, ἐν ἑτέρᾳ μονῇ τὴν μοναχικὴν ἀκρίβειαν φυλαττούσῃ παραδίδοσθαι.

Ἡ κϑ' διάτ. τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὡς οἱ ἀποκρισιάριοι μόνοι δύνανται τῶν μοναστηρίων ἐξιέναι, καὶ ἐν ταῖς πόλεσιν εἰσιέναι· εἰ δὲ φανῶσι διὰ δογμάτων ἢ συμβουλῆς τοὺς ἁπλουστέρους ταράσσοντες, νεμίμως σωφρονίζονται· καὶ διάτ. λή τοῦ αὐτοῦ τίτ. ὅτι οἱ τὰ ἴδια μοναστήρια καταλιμπάνοντες, οὐ λαμβάνουσιν ἅπερ αὐτοῖς προσήγαγον κινητὰ, ὁσησδήποτε ποσότητος ὄντα, κἂν μὴ συνέστη πρᾶξις ὑπομνημάτων ἐπ' αὐτοῖς· ἐπὶ δὲ ταῖς δωρεαῖς τῶν ἀκινήτων, δεῖ τὰ νόμιμα φυλάττεσθαι· ἐπεὶ οὐκ ἀναιρεῖ τῷ δωρησαμένῳ ἡ ἐκνίκησις· λέγει δὲ καὶ ἡ β' διάτ. τοῦ α' τίτ. τῶν νεαρῶν, ὅτι προνοίᾳ τοῦ ἐπισκόπου μήτε μοναχοὶ μήτε μονάστριαι, ἐν ταῖς πόλεσι περιερχέσθωσαν, ἀλλὰ διὰ τῶν ἀποκρισιαρίων τὰς ἀποκρίσεις αὐτῶν ποιείτωσαν, ἐν τοῖς μοναστηρίοις μένοντες· μεθισαμένου δὲ μοναχοῦ εἰς μοναστήριον ἕτερον, ἅπερ ἔχει πράγματα ἐν τῷ ἐξιέναι, τῷ πρώτῳ μοναστηρίῳ διαφέρει· ἀνάγνωϑι δὲ καὶ τὰ παραγεγραμμένα ἐν τῷ α' κεφ. τοῦ αὐτοῦ τίτ. καὶ ἐν τῷ λβ' κεφ. τοῦ ϑ' τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. Ε.

Περὶ τοῦ μὴ γαμεῖν μοναχοὺς, ἢ τισὶν ὡς ἀδελφαῖς συνεῖναι, μήτε τὰς ἐπαγγελλομένας παρθενίαν ἑτέροις συνοικεῖν.

Συνόδου Ἀγκύρας κανὼν ιθ'.

ιθ' Ὅσοι παρθενείαν ἐπαγγελλόμενοι ἀθετοῦσι τὴν ἐπαγγελίαν, τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν· τὰς μέν τοι συνερχομένας παρθένους τισὶν ὡς ἀδελφὰς ἐκωλύσαμεν.

Συνόδου Χαλκηδόνος κανὼν ις'.

ις' Παρθένον ἑαυτὴν ἀναθεῖσαν τῷ δεσπότῃ θεῷ etc. ut p. 261.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν μδ' μζ'.

μδ' Μοναχὸς ἐπὶ πορνείᾳ ἁλοὺς, ἢ πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν γυναῖκα ἀγόμενος, τοῖς τῶν πορνευόντων ἐπιτιμίοις κατὰ τοὺς κανόνας ὑπεβληθήσεται.

μζ' Μήτε ἐν ἀνδρώῳ μοναστηρίῳ γυνὴ, μήτε ἐν γυναικείῳ ἀνὴρ καθευδέτω· παντὸς γὰρ προσκόμματος καὶ σκανδάλου ἔξω εἶναι δεῖ τοὺς πιστοὺς, καὶ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ κυρίῳ τὸν ἑαυτῶν εὐθετίζειν βίον· εἰ δέ τις τοῦτο πράξοι, εἴτε κληρικὸς εἴη εἴτε λαϊκὸς, ἀφοριζέσθω.

Βασιλείου κανὼν ιθ' κ' ξ'.

ιθ' Ἀνδρῶν δὲ ὁμολογίας οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μεναζόντων ἐγκατηρίθμησαν, οἳ κατὰ τὸ σιωπώμενον, δοκοῦσι παραδέχεσθαι τὴν ἀγαμίαν· πλὴν καὶ ἐπ' ἐκείνων, ἐκεῖνο ἡγοῦμαι πρσηγεῖσθαι πρσήκειν, ἐρωτᾶσθαι αὐτοὺς καὶ λαμβάνεσθαι τὴν παρ' αὐτῶν ὁμολογίαν ἐναργῆ· ὥστε ἐπειδὰν μετατίθενται πρὸς τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον, ὑπάγειν αὐτοὺς τῷ τῶν πορνευόντων ἐπιτιμίῳ.

Ὅσαι γυναῖκες ἐν αἱρέσει οὖσαι παρθενίαν ὡμολόγησαν κ' etc. ut p. 158.

Ἡ παρθενίαν ὁμολογήσασα, καὶ ἐκπεσοῦσα τῆς ἐπαγ- ξ' γελίας, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ἐν τῇ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς πληρώσει· τὸ αὐτὸ καὶ ἐπὶ τῶν βίον μοναζόντων ἐπαγγειλαμένων καὶ ἐκπιπτόντων.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ τοῦ ἡ' τίτ. ιδ' κεφ. τοῦ παρόντος συντάγματος, καὶ τῷ κθ' κεφ. τοῦ θ' τίτ.

ΚΕΦ. ς.

Περὶ μοναχῶν ποιούντων φατρίας ἢ συνωμοσίας.

Συνόδου Χαλκηδόνος κανὼν ιή'.

Τὸ τῆς συνωμοσίας ἢ φατρίας ἔγκλημα etc. ut p. 275. ιη'

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν λδ'.

Καὶ τοῦτο δὲ τοῦ ἱερατικοῦ κανόνος etc. ut p. 319. λδ'

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λζ' κεφ. τοῦ θ' τίτ. τούτου τοῦ συντάγματος.

ΚΕΦ. Ζ.

Περὶ τοῦ μὴ συλλούεσθαι ἀσκητὴν γυναικί.

Συνόδου Λαοδικείας κανὼν λ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἢ ἀσκητὰς etc. ut p. 312. λ'

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν οζ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἢ ἀσκητὰς etc. ut p. 312. οζ'

ΚΕΦ. Η.

Περὶ φυλακῆς ἱερῶν παρθένων.

Συνόδου Καρθαγέννης κανὼν μδ'.

Περὶ παρθένων.

μδ' Ὥστε τὰς ἱερὰς παρθένους, ὅτε τῶν πατέρων χωρίζονται ἐξ ὧν ἐφυλάττοντο, τῇ τοῦ ἐπισκόπου, ἢ αὐτοῦ ἀπόντος τῇ τοῦ πρεσβυτέρου προνοίᾳ, ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι· ἢ ἅμα κατοικούσας ἀλλήλας φυλάττειν, ἵνα μὴ πανταχοῦ πλαζόμεναι, τὴν ὑπόληψιν βλάψωσι τῆς ἐκκλησίας.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν μς' μζ' μή.

μς' Αἱ τὸν ἀσκητικὸν αἱρούμεναι βίον, καὶ ἐν μοναστηρίῳ καταταττόμεναι, καθόλου μὴ προϊέτωσαν· εἰ δέ τις ἀπαραίτητος αὐτὰς ἀνάγκη πρὸς τοῦτο ἕλκει, μετ' εὐλογίας καὶ ἐπιτροπῆς τῆς προεστώσης τοῦτο πραττέτωσαν· καὶ τότε μὴ μόναι καθ' ἑαυτὰς, ἀλλὰ μετά τινων πρεσβυτίδων καὶ πρωτευουσῶν ἐν τῷ μοναστηρίῳ, μετ' ἐντολῆς τῆς καθηγουμένης· παντελῶς δὲ αὐτὰς ἐξω κοιτεῖν οὐκ ἔξεστιν· ἀλλὰ καὶ ἄνδρες οἱ τὸν μονήρη βίον μετερχόμενοι, χρείας ἐπειγούσης καὶ αὐτοὶ μετ' εὐλογίας τοῦ τὴν ἡγουμενείαν ἐμπεπιστευμένου προϊέτωσαν· ὥστε οἱ παραβαίνοντες τὸν νῦν ὁρισθέντα παρ' ἡμῶν ὅρον, εἴτε ἄνδρες εἶεν εἴτε γυναῖκες, προσφόροις ἐπιτιμίοις ὑποβληθήτωσαν.

μζ' Μήτε ἐν ἀνδρῶῳ μοναστηρίῳ γυνὴ etc. ut p. 368.

μη' Ἡ τοῦ πρὸς ἐπισκοπῆς πρεσβρίαν ἀναγομένου γυνὴ etc. ut p. 304.

Συνόδου Νικαίας τὸ β', κανὼν ιή' κ' κβ'.

Ὅτι οὐ δεῖ γυναῖκα ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις, ἢ ἐν ἀνδρώοις μοναστηρίοις.

Ἀπρόσκοποι γίνεσθε, φησὶν ὁ θεῖος ἀπόστολος etc. ut p. 219. ιή'

Ὅτι οὐ δεῖ ἀπὸ τοῦ παρόντος γίνεσθαι διπλοῦν μοναστήριον, καὶ περὶ τῶν διπλῶν μοναστηρίων.

Ἀπὸ τοῦ παρόντος ὁρίζομεν, μὴ γίνεσθαι διπλοῦν μο- κ' ναστήριον, ὅτι σκάνδαλον καὶ πρόσκομμα τοῖς πολλοῖς τοῦτο γίνεται· εἰ δέ τινες μετὰ συγγενῶν προαιροῦνται ἀποτάξασθαι, καὶ τῷ μονήρει βίῳ κατακολουθεῖν, τοὺς μὲν ἄνδρας δεῖον ἀωιέναι εἰς ἀνδρῶον μοναστήριον, καὶ τὰς γυναῖκας εἰσιέναι ἐν γυναικείῳ μοναστηρίῳ· ἐπὶ τούτῳ γὰρ εὐαρεστεῖται ὁ θεὸς· τὰ δὲ ὄντα ἕως τοῦ νῦν διπλᾶ, κρατείτωσαν κατὰ τὸν κανόνα τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, καὶ κατὰ τὴν διαταγὴν αὐτοῦ, οὕτω διατυπούσθωσαν· μὴ διαιτάσθωσαν δὲ ἐν ἑνὶ μοναστηρίῳ μοναχοὶ καὶ μονάστριαι· μοιχεία γὰρ μεσολαβεῖ τὴν συνδιαίτησιν· μὴ ἐχέτω μοναχὸς παῤῥησίαν πρὸς μονάστριαν, ἢ μονάστρια πρὸς μοναχὸν ἰδίᾳ προσομιλείτω· μὴ κοιταζέσθω μοναχὸς ἐν γυναικείῳ μοναστηρίῳ, μὴ δὲ συνεσθιέτω μοναστρία κατὰ μόνας· καὶ ὅτε τὰ ἀναγκαῖα τοῦ βίου παρὰ τοῦ ἀνδρώου μέρους πρὸς τὰς κανονικὰς ἀπακομίζονται, ἔξωθεν τῆς πύλης ταῦτα λαμβανέτω ἡ ἡγουμένη τοῦ γυναικείου μοναστηρίου, μετὰ γραός τινος μοναστρίας· εἰ δὲ συμβῇ καὶ συγγενῆ τινα θέλει θεάσασθαι ὁ μοναχὸς, ἐπὶ παρουσίᾳ τῆς ἡγουμένης ταύτῃ προσομιλείτω διὰ μικρῶν καὶ βραχέων λόγων, καὶ συντόμως ἐξ αὐτῆς ἀπαναχωρείτω.

Ὅτι δεῖ μετ' εὐχαριστίας καὶ πάσης φειδοῦς καὶ εὐλαβείας μοναχοὺς εἰ συμβῇ μετὰ γυναικῶν ἐσθίειν.

κβ' Θεῷ μὲν τὸ πᾶν ἀνατίθεσθαι etc. ut p. 223.

ΚΕΦ. Θ.

Περὶ φθορᾶς ἱερῶν παρθένων.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ὅ.

ε' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, ἢ θυρωρὸς, γυναικὶ ἀφιερωμένῃ etc. ut p. 304.

Βασιλείου κανὼν ιή' κ' ξ'.

ιη' Περὶ τῶν ἐκπεσουσῶν παρθένων, τῶν καθομολογησαμένων τὸν ἐν σεμνότητι βίον τῷ κυρίῳ, εἶτα διὰ τὸ ὑποπεσεῖν τοῖς πάθεσι τῆς σαρκὸς, ἀθετουσῶν τὰς ἑαυτῶν συνθήκας, οἱ μὲν πατέρες ἡμῶν ἁπλῶς καὶ πράως συμπεριφερόμενοι ταῖς ἀσθενείαις τῶν κατολισθαινόντων, ἐνομοθέτησαν δεκτὰς εἶναι μετὰ τὸν ἐνιαυτὸν, καθ' ὁμοιότητα τῶν διγαμιῶν διαταξάμενοι· ἐμοὶ δὲ δοκεῖ, ἐπειδὴ τῇ τοῦ Χριστοῦ χάριτι προϊοῦσα ἡ ἐκκλησία κραταιοτέρα γίνεται, καὶ πληθύνεται νῦν τὸ τάγμα τῶν παρθένων, προσέχειν ἀκριβῶς τῷ κατ' ἔννοιαν φαινομένῳ πράγματι, καὶ τῇ τῆς γραφῆς διανοίᾳ, ἣν δυνατὸν ἐξευρεῖν ἀπὸ τοῦ ἀκολούθου· χηρεία γὰρ παρθενίας ἐλάττων· οὐκοῦν καὶ τὸ τῶν χηρῶν ἁμάρτημα, πολλῷ δεύτερόν ἐστι τοῦ τῶν παρθένων· ἴδωμεν τοίνυν τί γέγραπται Τιμοθέῳ παρὰ τοῦ Παύλου· « νεωτέρας δὲ χήρας » παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γα» μεῖν θέλουσιν, ἔχουσαι κρίμα ὅτι τὴν πρώτην πίστιν ἠθέ» τησαν· » εἰ τοίνυν ἡ χήρα κρίματι ὑπόκειται βαρυτάτῳ ὡς τὴν εἰς Χριστὸν ἀθετήσασα πίστιν, τί χρὴ λογίζεσθαι

ἡμᾶς περὶ τῆς παρθένου, ἢ τις νύμφη ἐστὶ τοῦ Χριστοῦ, καὶ σκεῦος ἱερὸν ἀνατεθὲν τῷ δεσπότῃ; μέγα μὲν ἁμάρτημα καὶ δούλην λαθραίοις γάμοις ἑαυτὴν ἐπιδιδοῦσαν, φθορᾶς ἀναπλῆσαι τὸν οἶκον, καὶ καθυβρίζειν διὰ τοῦ πονηροῦ βίου τὸν κεκτημένον· πολλῷ δὲ δήπου χαλεπώτερον, τὴν νύμφην μοιχαλίδα γενέσθαι, καὶ τὴν πρὸς τὸν νυμφίον ἕνωσιν ἀτιμάσασαν, ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐπιδοῦναι· οὐκοῦν ἡ μὲν χήρα ὡς δούλη διεφθαρμένη καταδικάζεται, ἡ δὲ παρθένος τῷ κρίματι τῆς μοιχαλίδος ὑπόκειται· ὥσπερ οὖν τὸν ἀλλοτρίᾳ γυναικὶ συνιόντα μοιχὸν ὀνομάζομεν, οὐ πρότερον παραδεξόμενοι εἰς κοινωνίαν πρὶν ἢ παύσασθαι τῆς ἁμαρτίας, οὕτω δηλονότι καὶ ἐπὶ τοῦ τὴν παρθένον ἔχοντος διατεθησόμεθα· ἐκεῖνο δὲ νῦν προδιωμολογῆσθαι ἡμῖν ἀναγκαῖον, ὅτι παρθένος ὀνομάζεται ἡ ἑκουσίως ἑαυτὴν προσαγαγοῦσα τῷ κυρίῳ, καὶ ἀποταξαμένη τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ βίον προτιμήσασα· τὰς δὲ ὁμολογίας τότε ἐγκρίνομεν, ἀφ' οὗπερ ἂν ἡ ἡλικία τὴν τοῦ λόγου συμπλήρωσιν ἔχῃ· οὐ γὰρ τὰς παιδικὰς φωνὰς, πάντως κυρίας ἐπὶ τῶν τοιούτων ἡγεῖσθαι πρσήκει, ἀλλὰ τὴν ὑπὲρ τὰ δεκαὲξ ἢ καὶ δέκα καὶ ἑπτὰ γενομένην ἔτη, κυρίαν οὖσαν τῶν λογισμῶν, ἀνακριθεῖσαν ἐπὶ πλεῖον, εἶτα παραμείνασαν καὶ λιπαροῦσαν διὰ ἱκεσιῶν πρὸς τὸ παραδεχθῆναι, τότε ἐγκαταλέγεσθαι χρὴ ταῖς παρθένοις, καὶ τὴν ὁμολογίαν τῆς τοιαύτης κυρσῦν, καὶ τὴν ἀθέτησιν αὐτῆς ἀπαραιτήτως κολάζειν· πολλὰς γὰρ γονεῖς πρσάγουσι καὶ ἀδελφοὶ, καὶ τῶν προσηκόντων τινὲς πρὸ τῆς ἡλικίας, οὐκ εἰκοθεν ὁρμηθείσας πρὸς ἀγαμίαν, ἀλλά τι βιωτικὸν ἑαυτοῖς διοικούμενοι· ἃς οὐ ῥᾳδίως προσδέχεσθαι δεῖ, ἕως ἂν φανερῶς τὴν ἰδίαν αὐτῶν ἐρευνήσωμεν γνώμην.

κ' Ὅσαι γυναῖκες ἐν αἱρέσει οὖσαι etc. ut p. 158.

ξ' Ἡ παρθενίαν ὁμολογήσασα etc. ut p. 369.

Ἀνάγνωθι τὰς παραγραφὰς τοῦ λ' κεφ. τοῦ Θ' τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. Ι.

Περὶ χρόνου τῆς ἡλικίας τῶν λαμβανουσῶν τὸ σχῆμα· καὶ ποία λέγεται παρθένος.

Συνόδου Καρθαγέννης κανὼν ρκς'.

Περὶ παρθένων μικρῶν, ὅτι μὴν καλυπτέον.

ρκς' Ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε τῶν ἐπισκόπων, διὰ ἀνάγκην τῆς παρθενικῆς σωφροσύνης κινδυνευούσης, ὅτε ἡ ἐραστὴς δυνατὸς, ἢ ἅρπαξ τίς ἐστιν ἐν ὑποψίᾳ, ἢ ἔτι μὴν ὑπό τινος θανατηφόρου κινδύνου αὕτη ἔσηται νυχθεῖσα, παρακαλούντων ἢ τῶν γονέων αὐτῆς, ἢ ὧν τῇ φροντίδι ἀνάκειται, διὰ τὸ μὴ χωρὶς τοῦ σχήματος τελειωθῆναι, καλύψῃ παρθένον ἢ ἐκάλυψεν ἐντὸς κείρας ἐνιαυτῶν κέ, μηδὲν τὸν τοιοῦτον βλάψῃ περὶ τούτου τοῦ ἀριθμοῦ τῶν ἐνιαυτῶν κατασταθεῖσα σύνοδος.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν μ' μέ.

Περὶ μοναχῶν καὶ μοναστριῶν.

μ' Ἐπειδὴ τῷ θεῷ κολλᾶσθαι, διὰ τῆς ἐκ τῶν τοῦ βίου θορύβων ἀναχωρήσεως, λίαν ἔστι σωτήριον, χρὴ μὴ ἀνεξετάστως ἡμᾶς, ἢ παρὰ τὸν καιρὸν τοὺς τὸν μονήρη βίον αἱρουμένους προσίεσθαι, ἀλλὰ τὸν παραδοθέντα ἡμῖν παρὰ τῶν πατέρων, καὶ ἐν αὐτοῖς φυλάττειν ὅρον· ὥστε τὴν ὁμολογίαν τοῦ κατὰ θεὸν βίου τότε προσίεσθαι δεῖ, ὡς ἤδη βεβαίαν καὶ ἀπὸ γνώμης οἰκείας καὶ κρίσεως γινομένην, μετὰ τὴν τοῦ λόγου συμπλήρωσιν· ἔστω τοίνυν ὁ μέλλων

τὸν μοναχικὸν ὑπέρχεσθαι ζυγὸν, οὐχ ἧττον ἢ δεκαετὴς· ἐν τῷ πρεσβυτερίῳ κειμένης καὶ τῆς ἐπὶ τούτῳ δοκιμασίας, εἰ τὸν χρόνον αὐτῷ αὐξηθῆναι λυσιτελέστερον ἡγεῖται, πρὸς τὴν ἐν τῷ μονήρει βίῳ εἰσαγωγὴν καὶ κατάστασιν· εἰ γὰρ καὶ ὁ μέγας Βασίλειος ἐν τοῖς ἱεροῖς αὐτοῦ κανόσι τὴν ἑκουσίως ἑαυτὴν προσάγουσαν τῷ Θεῷ καὶ τὴν παρθενίαν ἀσπαζομένην, τὸν ἑπτακαιδέκατον διανύσασαν χρόνον, τῷ τῶν παρθένων τάγματι ἀριθμεῖσθαι νομοθετεῖ, ἀλλ' οὖν τῷ περὶ τῶν χηρῶν τὲ καὶ διακονισσῶν παραδείγματι κατακολουθήσαντες, εἰς τὸν εἰρημένον χρόνον ἀναλόγως τοὺς τὸν μονήρη βίον ἑλομένους περιεστήσαμεν· ἐν γὰρ τῷ Θείῳ ἀποστόλῳ γέγραπται « ἑξήκοντα ἐτῶν τὴν ἐν τῇ ἐκκλησίᾳ καταλέγεσθαι χήραν· » εἰ δὲ ἱεροὶ κανόνες μ' ἐτῶν τὴν διακόνισσαν χειροτονεῖσθαι παραδεδώκασι, τὴν ἐκκλησίαν χάριτι Θείᾳ κραταιοτέραν γενομένην, καὶ ἐπὶ τὰ πρόσω βαίνουσαν ἐωρακότες, καὶ τὸ τῶν πιστῶν πρὸς τὴν τῶν Θείων ἐντολῶν τήρησιν πάγιόν τε καὶ ἀσφαλὲς· ὅπερ καὶ ἡμεῖς ἄριστα κατανοήσαντες, ἀρτίως διωρισάμεθα τὴν εὐλογίαν τῆς χάριτος, τῷ μέλλοντι τῶν κατὰ Θεὸν ἀγώνων ἐνάρχεσθαι, ὥσπερ τινα σφραγῖδα ταχέως ἐνσημαινόμενοι, ἐντεῦθεν αὐτὸν πρὸς τὸ ἐπὶ μήκιστον μὴ ἐκνεῖν καὶ ἀναδύεσθαι προσβιάζοντες, μᾶλλον μὲν οὖν καὶ πρὸς τὴν τοῦ ἀγαθοῦ παρορμῶντες ἐκλογὴν καὶ κατάστασιν.

Ἐπειδὴ μεμαθήκαμεν, ἔν τισι γυναικείοις μοναστηρίοις μὲ τὰς μελλούσας τοῦ ἱεροῦ ἐκείνου καταξιοῦσθαι σχήματος, πρότερον σηρικαῖς καὶ παντοίαις στολαῖς, ἔτι μὴν καὶ κοσμίοις χρυσῷ καὶ λίθῳ πεποικιλμένοις ὑπὸ τῶν προσαγόντων αὐτὰς περιστέλλεσθαι, καὶ οὕτω τῷ θυσιαστηρίῳ προσιούσας, ἐκδιδύσκεσθαι τὴν τοσαύτην τῆς ὕλης ἀμφίασιν,

παραχρῆμα τὲ γίνεσθαι ἐπ' αὐταῖς τὴν τοῦ σχήματος εὐλογίαν, καὶ τὸ μέλαν αὐτὰς ἔνδυμα ἀμφιέννυσθαι, ὁρίζομεν ὥστε μηκέτι ἀπὸ τοῦ νῦν τοῦτο γίνεσθαι· οὐδὲ γὰρ εὐαγὲς ὑπάρχει τὴν ἤδη διὰ τῆς οἰκείας προαιρέσεως ἀποθεμένην πᾶσαν τὴν τοῦ βίου φροντίδα τὲ καὶ τερπνότητα, καὶ ἀσπασαμένην τὴν κατὰ θεὸν πολιτείαν, καὶ βεβαιώσασαν ταύτην λογισμοῖς ἀκλινέσι, καὶ οὕτω τῷ μοναστηρίῳ προσελθοῦσαν, αὖθις εἰς ἀνάμνησιν διὰ τοῦ τοιούτου φθαρτοῦ τὲ καὶ ῥέοντος κόσμου ἐλθεῖν, ὧν ἤδη ἐποιήσατο λήθην· ἐκ τούτου τὲ ἀμφίβολον καταστῆναι καὶ τὴν ψυχὴν ἐκταραχθῆναι, δίκην κυμάτων ἐπικλυζόντων, καὶ τῇδε κἀκεῖσε περισρεφόντων· ὡς μήτε δάκρυον ἔξιν ὅτε λοιπὸν ἀφιεῖσαν τὴν ἐν τῇ καρδίᾳ διὰ τοῦ σώματος κατάνυξιν ἐπιδείξασθαι· ἀλλ' εἰ καὶ βραχύ τι ὡς εἰκὸς ἐκπηδήσειε δάκρυον, μὴ μᾶλλον τῆς διὰ τὸν ἀσκητικὸν ἀγῶνα διαθέσεως χάριν, ἢ διὰ τὸ τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ καταλιπεῖν, παρὰ τοῖς ὁρῶσι τοῦτο προελθὸν λογισθῆναι.

Βασιλείου κανὼν ιη'.

ιη' Περὶ τῶν ἐκπεσουσῶν παρθένων etc. ut p. 372.

ΚΕΦ. ΙΑ.

Περὶ μοναχῶν γενομένων κληρικῶν, ἢ λαϊκῶν ἀξιωματικῶν, ἢ στρατευομένων.

Συνόδου Νικαίας κανὼν ιβ'.

ιβ' Οἱ δὲ προσκληθέντες μὲν ὑπὸ τῆς χάριτος etc. ut p. 259.

Συνόδου Χαλκηδόνος κανὼν ζ'.

ζ' Τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους etc. ut p. 278.

Κυρίλλου ἐκ τῆς πρὸς τοὺς Λιβύης καὶ Πενταπόλεως ἐπισκόπους ἐπιστολῆς.

Ἕτεροι δέ τινες ἐξ αὐτῶν τῶν μοναστηρίων ὡς ἄτακτοι ἐκβαλλόμενοι, πάλιν ὑποτρέχουσι τὰς χειροτονίας· καὶ γενόμενοι κληρικοὶ, εἰσέρχονται καὶ ἐν αὐτοῖς μοναστηρίοις ὅθεν ἐκβέβληνται, καὶ βούλονται προσφέρειν, καὶ ὅσα κληρικοῖς ἔθος πληροῦν, καὶ ταῦτα ὁρᾶν· ὡς καί τινας τῶν εἰδότων αὐτοὺς, παραιτεῖσθαι καὶ τὰς συνάξεις, καὶ μὴ ἀνέχεσθαι κοινωνεῖν λειτουργούντων ἐκείνων.

Ἀναγνωθι τὰς παραγραφὰς τοῦ λβ΄ κεφ. τοῦ θ΄ τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. ΙΒ.

Περὶ τῶν χρωμένων σχήματι μοναχικῷ, καὶ καταψηφιζόμενων τῶν κοινῇ χρωμένων ἐσθῆτι.

Συνόδου Γάγγρας κανὼν ιβ΄.

Εἴ τις ἀδρῷ διὰ νομιζομένην ἄσκησιν περιβολαίῳ χρῆται, καὶ ὡς ἂν ἐκ τούτου τὴν δικαιοσύνην ἔχων καταψηφίζοιτο τῶν μετὰ εὐλαβείας τοὺς βήρους φορούντων, καὶ τῇ ἄλλῃ κοινῇ καὶ ἐν συνηθείᾳ οὔσῃ ἐσθῆτι κεχρημένων, ἀνάθεμα ἔστω. ιβ΄

Εἴρηται βιβλ. α΄ τίτ. δ΄ διάτ. δ΄ ὅτι οἱ μῖμοι καὶ αἱ πόρνη ἐκ τοῦ σώματος δημοσίᾳ ποιούμεναι, τῷ σχήματι τῶν ἱερῶν παρθένων μὴ κεχρήσθωσαν· καὶ ἡ β΄ διάτ. τοῦ α΄ τίτ. τῶν νεαρῶν φησὶν· μηδεὶς λαϊκὸς καὶ μάλιστα οἱ σκηνικοὶ καὶ αἱ πόρναι, κεχρήσθω τῷ μοναχικῷ σχήματι, ἐπεὶ καὶ σωματικῶς τιμωρεῖται καὶ ἐξορίζεται.

ΚΕΦ. ΙΓ.

Περὶ γυναικὸς δι' ἄσκησιν φερούσης ἀνδρῶα.

Συνόδου Γάγγρας κανὼν ιγ'.

ιγ' Εἴ τις γυνὴ διὰ νομιζομένην ἄσκησιν, μεταβάλοι τὸ ἀμφίασμα, καὶ ἀντὶ τοῦ εἰωθότος γυναικείου ἀμφιάσματος, ἀνδρῶων ἀναλάβοι, ἀνάθεμα ἔστω.

ΚΕΦ. ΙΔ.

Περὶ τοῦ μὴ χρῆναι γυναῖκας ἀποκείρεσθαι δι' ἄσκησιν.

Συνόδου Γάγγρας κανὼν ιζ'.

ιζ Εἴ τις γυναικῶν διὰ νομιζομένην θεοσέβειαν ἀποκείροιτο τὰς κόμας ἃς ἔδωκεν ὁ Θεὸς εἰς ὑπόμνησιν τῆς ὑποταγῆς, ὡς ἂν παραλύουσα τὸ πρόσταγμα τῆς ὑποταγῆς, ἀνάθεμα ἔστω.

ΚΕΦ. ΙΕ.

Περὶ τοῦ προφάσει ἀσκήσεως μὴ τεκνοτροφοῦντος ἢ πατροτροφοῦντος.

Συνόδου Γάγγρας κανὼν ιε' ις'.

ιε' Εἴ τις καταλιμπάνει τὰ ἑαυτοῦ τέκνα, καὶ μὴ τεκνοτροφεῖ, καὶ τὸ ὅσον ἐπ' αὐτῷ πρὸς θεοσέβειαν τὴν προσήκουσαν ἀναγάγοι, ἀλλὰ προφάσει τῆς ἀσκήσεως ἀμελεῖ, ἀνάθεμα ἔστω.

ις' Εἴ τινα τέκνα γονέων, μάλιστα πιστῶν, ἀναχωροῖη προφάσει θεοσεβείας, καὶ μὴ τὴν καθήκουσαν τιμὴν τοῖς γονεῦσιν ἀπονέμει, προτιμωμένης παρ' αὐτοῖς δηλονότι τῆς θεοσεβείας, ἀνάθεμα ἔστω.

ΚΕΦ. Ιϛ.

Πῶια πολιτικὰ πράγματα ἢ κηδεμονίας οἱ μοναχοὶ δύνανται μετιέναι.

Συνόδου Χαλκηδόνος κανὼν γ'.

Ἦλθεν εἰς τὴν ἁγίαν σύνοδον, ὅτι τῶν ἐν κλήρῳ κατει- γ'
λεγμένων τινὲς etc. ut p. 216.

Ἀνάγνωθι τὰς παραγραφὰς τοῦ γ' κεφ. τοῦ ἡ τίτ. τοῦ παρόντος συντάγματος.

ΤΙΤΛΟΣ ΙΒ.

ΠΕΡΙ ΑΙΡΕΤΙΚΩΝ, ΙΟΥΔΑΙΩΝ, ΚΑΙ ΕΛΛΗΝΩΝ.

TITULUS XII.

DE HAERETICIS, IUDAEIS, ATQUE ETHNICIS.

ΚΕΦ. Α.

Τί ἐστιν αἵρεσις, καὶ τί σχίσμα, καὶ τί παρασυναγωγή.

Βασιλείου κανὼν α'.

Τὸ μὲν οὖν περὶ τοὺς Καθαροὺς ζήτημα, καὶ εἴρηται α'
πρότερον, καὶ καλῶς ἀπεμνημόνευσας· ὅτι δεῖ τῷ ἔθει τῶν καθ' ἑκάστην χώραν ἕπεσθαι, διὰ τὸ διαφόρως ἐνεχθῆναι περὶ τοῦ βαπτίσματος αὐτῶν, τοὺς τότε περὶ τούτων διαλαβόντας· τὸ δὲ τῶν Πεπουζηνῶν οὐδένα λόγον ἔχειν δοκεῖ· καὶ ἐθαύμασα πῶς κανονικὸν ὄντα τὸν Διονύσιον παρῆλθεν· ἐκεῖνο γὰρ ἔκριναν οἱ παλαιοὶ δέχεσθαι βάπτισμα, τὸ μηδὲν τῆς πίστεως παρεκβαῖνον· ὅθεν τὰ μὲν, αἱρέσεις ὠνόμασαν· τὰ δὲ, σχίσματα· τὰ δὲ, παρασυναγωγὰς· αἱρέσεις μὲν,

τοὺς παντελῶς ἀπερρηγμένους, καὶ κατ' αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένους· σχίσματα δὲ, τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα, πρὸς ἀλλήλους διενεχθέντας· παρασυναγωγὰς δὲ, τὰς συνάξεις τὰς παρὰ τῶν ἀνυποτάκτων πρεσβυτέρων ἢ ἐπισκόπων, παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας, οἷον· εἴ τις ἐν πταίσματι ἐξετασθεὶς, ἐπεσχέθη τῆς λειτουργίας, καὶ μὴ ὑπέκυψε τοῖς κανόσιν, ἀλλ' ἑαυτῷ ἐξεδίκησε τὴν προεδρίαν, καὶ τὴν λειτουργίαν, καὶ συναπῆλθον τούτῳ τινὲς, καταλιπόντες τὴν καθολικὴν ἐκκλησίαν, παρασυναγωγὴ τὸ τοιοῦτο· σχίσμα δὲ, τὸ περὶ τῆς μετανοίας διαφόρως ἔχειν πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας· αἵρεσις δὲ, οἷον ἡ τῶν Μανιχαίων καὶ Οὐαλεντίνων καὶ Μαρκιωνιστῶν, καὶ αὐτῶν τούτων τῶν Πεπουζηνῶν· εὐθὺς γὰρ περὶ αὐτῆς τῆς εἰς Θεὸν πίστεως ἐστὶν ἡ διαφορά· ἔδοξε τοίνυν τοῖς ἐξ ἀρχῆς, τὸ μὲν τῶν αἱρετικῶν, παντελῶς ἀθετῆσαι· τὸ δὲ τῶν ἀποσχισάντων, ὡς ἔτι ἐκ τῆς ἐκκλησίας ὄντων, παραδέξασθαι· τοὺς δὲ ἐν ταῖς παρασυναγωγαῖς μετανοίᾳ ἀξιολόγῳ καὶ ἐπιστροφῇ βελτιωθέντας, συνάπτεσθαι πάλιν τῇ ἐκκλησίᾳ· ὥστε πολλάκις, καὶ τοὺς ἐν βαθμῷ συναπελθόντας τοῖς ἀνυποτάκτοις, ἐπειδὰν μεταμεληθῶσιν, εἰς τὴν αὐτῶν παραδέχεσθαι τάξιν.

Οἱ τοίνυν Πεπουζηνοὶ προδήλως εἰσὶν αἱρετικοὶ· εἰς γὰρ τὸ πνεῦμα τὸ ἅγιον ἐβλασφήμουν, Μοντανῷ καὶ Πρισκίλλῃ τὴν τοῦ Παρακλήτου προσηγορίαν ἀθεμίτως καὶ ἀναισχύντως ἐπιφημίσαντες· εἴτε οὖν ὡς ἀνθρώπους θεοποιοῦντες κατάκριτοι, εἴτε ὡς τὸ πνεῦμα τὸ ἅγιον τῇ πρὸς ἀνθρώπους συγκρίσει καθυβρίζοντες· καὶ οὕτω τῇ αἰωνίᾳ καταδίκῃ ὑπεύθυνοι, διὰ τὸ ἀσυγχώρητον εἶναι τὴν εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημίαν· τίνα οὖν λόγον ἔχει τὸ τούτων βάπτισμα

ἐγκριθῆναι, τῶν βαπτιζόντων εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα Μοντανὸν καὶ Πρίσκιλλαν; οὐ γὰρ ἐβαπτίσθησαν οἱ εἰς τὰ μὴ παραδεδομένα ἡμῖν βαπτισθέντες· ὥστε εἰ καὶ τὸν μέγαν τοῦτο παρῆλθε Διονύσιον, ἀλλ' ἡμῖν οὐ φυλακτέον τὴν μίμησιν τοῦ σφάλματος· τὸ γὰρ ἄτοπον αὐτόθι πρόδηλον, καὶ πᾶσιν ἐναργὲς ὅς τι καὶ μικρὸν τοῦ λογίζεσθαι μέτεστιν.

Οἱ δὲ Καθαροὶ καὶ αὐτοὶ τῶν ἀπεσχισμένων εἰσὶ· πλὴν ἔδοξε τοῖς ἀρχαίοις, τοῖς περὶ Κυπριανὸν λέγω καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον, τούτους πάντας μιᾷ ψήφῳ ὑποβάλλειν, Καθαροὺς καὶ Ἐγκρατίτας καὶ Ὑδροπαραστάτας· διότι ἡ μὲν ἀρχὴ τοῦ χωρισμοῦ, διὰ σχίσματος γέγονεν· οἱ δὲ τῆς ἐκκλησίας ἀποστάντες, οὐκ ἔτι ἔσχεν τὴν χάριν τοῦ ἁγίου πνεύματος ἐφ' ἑαυτοῖς· ἐπέλιπε γὰρ ἡ μετάδοσις τῷ διακοπῆναι τὴν ἀκολουθείαν· οἱ μὲν γὰρ πρῶτοι ἀναχωρήσαντες, παρὰ τῶν πατέρων ἔσχον τὰς χειροτονίας, καὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτῶν, εἶχον τὸ χάρισμα τὸ πνευματικόν· οἱ δὲ ἀπορραγέντες λαϊκοὶ γενόμενοι, οὔτε τοῦ βαπτίζειν οὔτε τοῦ χειροτονεῖν, εἶχον τὴν ἐξουσίαν· οὐκέτι δυνάμενοι χάριν πνεύματος ἁγίου ἑτέροις παρέχειν, ἧς αὐτοὶ ἐκπεπτώκασι· διὸ ὡς παρὰ λαϊκῶν βαπτιζομένους τοὺς παρ' αὐτῶν ἐκέλευσαν ἐρχομένους ἐπὶ τὴν ἐκκλησίαν, τῷ ἀληθινῷ βαπτίσματι τῷ τῆς ἐκκλησίας ἀνακαθαίρεσθαι· ἐπειδὴ δὲ ὅλως ἔδοξέ τισι τῶν κατὰ τὴν Ἀσίαν, οἰκονομίας ἕνεκα, τῶν πολλῶν δεχθῆναι αὐτῶν τὸ βάπτισμα, ἔστω δεκτόν· τὸ δὲ τῶν Ἐγκρατιτῶν κακούργημα νοῆσαι ἡμᾶς δεῖ, ὅτι ἵνα ἀπροσδέκτους αὐτοὺς ποιήσωσι τῇ ἐκκλησίᾳ, ἐπεχείρησαν λοιπὸν ἰδίῳ προκαταλαμβάνειν βαπτίσματι, ὅθεν καὶ τὴν συνήθειαν τὴν ἑαυτῶν παρεχάραξαν· νομίζω τοίνυν, ὅτι ἐπει-

δὴ οὐδέν ἐςι περὶ αὐτῶν φανερῶς δηγορευμένον, ἡμᾶς προσῆκεν ἀθετεῖν αὐτῶν τὸ βάπτισμα, κἄν τις ἢ παρ' αὐτῶν εἰληφὼς, προσιόντα τῇ ἐκκλησίᾳ τοῦτον ἀναβαπτίζειν· ἐὰν μέν τοι μέλλοι τῇ καθόλου οἰκονομίᾳ τοῦτο ἐμπόδιον ἔσεσθαι, πάλιν τῷ ἔθει χρηστέον, καὶ τοῖς οἰκονομήμασι τὰ καθ' ἡμᾶς πατράσιν ἀκολουθητέον· ὑφορῶμαι γὰρ μή ποτε ὡς βουλόμεθα ὀκνηροὺς αὐτοὺς περὶ τὸ βαπτίζειν πείσαι, ἐμποδίσωμεν τοῖς σωζομένοις διὰ τὸ τῆς προτάσεως αὐστηρὸν· εἰ δὲ ἐκεῖνοι φυλάσσουσι τὸ ἡμέτερον βάπτισμα, τοῦτο ἡμᾶς δυσωπείτω· οὐ γὰρ ἀντιδιδόναι αὐτῆς ὑπεύθυνοι χάριν ἐσμὲν, ἀλλὰ δουλεύειν ἀκριβείᾳ κανόνων· παντὶ δὲ λόγῳ τυπωθήτω, τοὺς ἀπὸ τοῦ βαπτισμοῦ ἐκείνων προσερχομένους, χρίεσθαι ἐπὶ τῶν πιςῶν δηλονότι, καὶ οὕτως προσιέναι τοῖς μυςηρίοις· Οἶδα δὲ, ὅτι τοὺς ἀδελφοὺς τοὺς περὶ Ἰζόην καὶ Σατορνῖνον, ἀπ' ἐκείνης ὄντας τῆς τάξεως, προσεδεξάμεθα εἰς τὴν τάξιν καὶ καθέδραν τῶν ἐπισκόπων· ὥστε τοὺς τῷ τάγματι ἐκείνων συνημμένους, οὐκέτι δυνάμεθα διακρίνειν ἀπὸ τῆς ἐκκλησίας, οἷον κανόνά τινα τῆς πρὸς αὐτοὺς κοινωνίας ἐκθέμενοι, διὰ τῆς τῶν ἐπισκόπων παραδοχῆς.

ΚΕΦ. Β.

Τί ἐστιν αἱρετικός.

Συνόδου Κωνσταντινουπόλεως κανὼν ς'.

ς' Ἐπειδὴ πολλοὶ τὴν ἐκκλησιαστικὴν ἐυταξίαν etc. ut p. 230.

Ἡ α' διάτ. τοῦ α' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὡς ὁ μὴ δεξάζων τὴν ἁγίαν τριάδα ἐν μιᾷ θεότητι ἰσοδύναμον, οὔτε χριστιανὸς λέγεται, ἀλλ' ἄφρων ἐστὶ καὶ αἱρετικὸς ἄτιμος καὶ τιμωρεῖται· καὶ τίτ. ε' τοῦ αὐτοῦ βιβλ.

ὅτι αἱρετικός ἐστι καὶ τοῖς κατὰ αἱρετικῶν ὑπόκειται νόμοις, ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως· καὶ διάτ. β' τοῦ αὐτοῦ τίτ. ὅτι αἱρετικός ἐστιν, ὁ μὴ ὢν ὀρθόδοξος· ἡ δὲ α' διάτ. τοῦ γ' τίτ. τῶν νεαρῶν, αἱρετικοὺς λέγει πάντας τοὺς μὴ ὄντας κοινωνικοὺς· ἐν πλάτει δὲ τὰ περὶ τῶν αἱρετικῶν ἀνήνεκται ἐν τῷ ε' τίτ. τοῦ κώδ. ἐν ᾧ κωλύονται ἔχειν προνόμια, ἢ διδάσκειν, ἢ ποιεῖν κληρικοὺς, ἢ λιτανεύειν δημοσίᾳ ἢ ἐν οἴκῳ· ἐπεὶ τινὸς τοιούτου γενομένου, ἡ τάξις τοῦ ἐπάρχου λίτρας δίδωσιν ρ'· αἱ δὲ ἐπιχώριοι ν'· καὶ ὅτι τὰ συνακτήρια αὐτῶν, ἡ ὀρθόδοξος ἐκκλησία λαμβάνει· καὶ ὅτι οἱ Μανιχαῖοι καὶ οἱ Δοναtισταὶ ἐσχάτως τιμωροῦνται καὶ δημεύονται, καὶ οὔτε διατίθενται, ἢ ὁπωσοῦν συναλλάσσουσι, καὶ οὔτε ὑπὸ παίδων μὴ ὄντων ὀρθοδόξων κληρονομοῦνται, καὶ μετὰ θάνατον κατηγοροῦνται καὶ ἀκυροῦνται αἱ διαθῆκαι αὐτῶν· καὶ ὅτι τῶν πόλεων ἐκβάλλονται, καὶ ὅτι ταῖς ἐκκλησίαις προσκυροῦνται οἱ οἶκοι ἐν οἷς αἱρετικοὶ γνώμῃ τῶν δεσποτῶν συνάγονται· καὶ ὅτι τῶν βουλευτικῶν ἢ ταξεωτικῶν λειτουργιῶν οὐκ ἀπολύονται· καὶ ὅτι οὐ ποιοῦσι μοναστήρια οὔτε στρατεύονται· καὶ πῶς τιμωροῦνται οἱ κατὰ τῶν ἁγίων συνόδων γράφοντες, ἢ ἔχοντες, ἢ ἀναγινώσκοντες αὐτὰ· καὶ ὅτι οὐ θάπτονται νομίμως· καὶ ὅτι οὐ γίνονται ἀξιωματικοὶ, ἢ συνήγοροι, ἢ ἔκδικοι, ἢ πατέρες πόλεων, γίνονται δὲ κορτελῖνοι· καὶ πῶς ἀναγκάζονται τοὺς παῖδας ὀρθοδόξους ὄντας τρέφειν, καὶ γράφειν κληρονόμους, καὶ διδόναι αὐτοῖς προῖκα, καὶ πρὸ γάμου δωρεὰς· καὶ ὅτι τῶν γονέων ἀμφισβητούντων, ἐπικρατέστερός ἐστιν ὁ θέλων τῇ ὀρθοδοξίᾳ τοὺς παῖδας προσαγαγεῖν, καὶ ὅτι οἱ ὀρθόδοξοι παῖδες πλημμελοῦντες εἰς αἱρετικοὺς γονεῖς τιμωροῦνται· καὶ ὅτι οὔτε βαπτίζουσιν οἱ αἱρετικοὶ, οὔτε φρον-

τίζουσιν ἢ διοικοῦσι χωρία δι' ἑαυτῶν ἢ παρενθέτων, οὔτε παιδεύουσιν, οὔτε κληρονομοῦσιν, οὔτε πραγματεύονται ἐντὸς ἱερῶν περιβόλων· καὶ ὅτι ἐν δικαστηρίῳ οὐ καταμαρτυροῦσιν ὀρθοδόξου, εἰ μὴ εἰς βουλευτήριον ὀρθόδοξος ἕλκειτο· ὡς διάτ. β' τοῦ ἡ τίτ. τῶν νεαρῶν, ἔστι δὲ τοῦ ἀριθμοῦ τῶν ὅλων μβ'· ἐν δὲ τελευταίαις βουλήσεσι καὶ συμβουλίαις μαρτυροῦσιν· ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ἡ κεφ. τοῦ ε' τίτ. τοῦ παρόντος συντάγματος· περὶ δὲ ἰουδαίων διαλαμβάνει ὁ θ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. ἐν ᾧ καὶ τὰς συναγωγὰς αὐτῶν λέγει μὴ μιτατεύεσθαι, μήτε αὐτοὺς ἐν τοῖς σάββασιν, ἢ ἐν ταῖς ἑορταῖς αὐτῶν σωματικῶς λειτουργεῖν· οὔτε ἐνάγονται, οὔτε παρὰ τῶν χριστιανῶν ἐπηρεάζονται, οὔτε γαμοῦσι χριστιανὰς, καὶ ὅτι αὐτοὶ τὰ ἴδια ἀγορανομοῦσι, καὶ ὅτι ἐπὶ τῶν γάμων οὐ φυλάττουσι τὸν νόμον αὐτῶν, καὶ ὅτι ἐπὶ μόνοις χρηματικοῖς δικαστὰς ἰουδαίους αἱρεῖσθαι δύνανται· καὶ ὅτι τὸν στεφανητικὸν κανόνα οἱ ἔξαρχοι αὐτῶν ἰδιοκινδύνως εἰσάγουσι ταῖς λαργιτιόσι, καὶ ὅτι οὐδὲν αὐτοὺς δεῖ τολμᾶν κατὰ χριστιανῶν.

ΚΕΦ. Γ.

Περὶ βιβλίων αἱρετικῶν.

Ἀποστόλων κανὼν ξ'.

ξ' Εἴ τις τὰ ψευδεπίγραφα etc. ut p. 129.

Συνόδου Νικαίας τὸ β', κανὼν θ'.

Περὶ τοῦ μὴ κρύπτειν τινὰ τῆς χριστιανοκατηγορικῆς αἱρέσεως βιβλίον.

θ' Πάντα τὰ μειρακιώδη ἀθύρματα, καὶ μανιώδη βακχεύματα τὰ ψευδοσυγγράμματα τὰ κατὰ τῶν σεπτῶν εἰκόνων γενόμενα, δέον δοθῆναι ἐν τῷ ἐπισκεπείῳ Κωνσταντινουπό-

λεως, ἵνα ἀποτεθῶσι μετὰ τῶν λοιπῶν αἱρετικῶν βιβλίων· εἰ δέ τις εὑρεθείη ταῦτα κρύπτων, εἰ μὲν ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφοριζέσθω.

Ἡ γ' διάτ. τοῦ α' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, τὰ κατὰ χριστιανῶν Πορφυρίου καὶ ἄλλων συγγράμματα καιέσθωσαν, καὶ τὰ Νεστορίου, καὶ ὅσα μὴ συμφωνεῖ ταῖς ἐν Νικαίᾳ καὶ Ἐφέσῳ συνόδοις, καὶ Κυρίλλῳ τῷ Ἀλεξανδρείας, ὧν οὐκ ἔξεστι παρεξιέναι τὴν πίστιν· οἱ δὲ τὰ λεχθέντα βιβλία ἔχοντες καὶ ἀναγινώσκοντες, ἐσχάτως τιμωροῦνται· τίτ. δ' διάτ. ι', οἱ μαθηματικοὶ μὴ καίοντες ἐπὶ τῶν ἐπισκόπων τὰς βίβλους αὐτῶν, καὶ τῇ ὀρθοδοξίᾳ προσιόντες, πάσης ἀπωθοῦνται πόλεως· εὑρισκόμενοι δὲ ἐν πόλεσι δεπορτατεύονται· τίτ. ε' διάτ. ς', τὰ γραφέντα Νεστορίῳ κατὰ τῆς ἐν Ἐφέσῳ συνόδου οὐκ ἔξεστιν ἔχειν, ἢ ἀναγινώσκειν, ἢ μεταγράφεσθαι, ἀλλὰ καίονται· ἐν τῷ ζητεῖν αὐτῶν περὶ πίστεως, οὐ δεῖ αὐτῶν μεμνῆσθαι· οὔτε δεῖ αὐτοὺς ἐν οἱῳδήποτε ἰδίῳ τόπῳ δέχεσθαι· ὁ δὲ παραβαίνων τὸν νόμον, δημεύεται· οὐ λέγονται δὲ οἱ Νεστοριανοὶ, χριστιανοὶ, ἀλλὰ Συμωνιανοὶ· ὥσπερ οἱ Ἀρειανοὶ, Πορφυριανοί· διάτ. η', οὐδενὶ ἔξεστι κατὰ τῆς ἐν Χαλκηδόνι συνόδου γράφειν ἢ ἀναγινώσκειν ἢ ὑπαγορεύειν ἢ ἔχειν γράμματα, ἐπεὶ δεινεκῶς δεπορτατεύεται· καὶ ὁ προσελθὼν ἐπὶ τῷ μαθεῖν, ι' λίτρας δίδωσι τῷ φίσκῳ· καὶ ὁ διδάσκων τὰ κεκωλυμένα, ἐσχάτως τιμωρεῖται· πάντα δὲ τὰ συγγράμματα Εὐτυχοῦς καὶ Ἀπολιναρίου, καιέσθωσαν· εἰ δὲ ταῦτα παρίδωσιν οἱ ἄρχοντες, ἢ αἱ τάξεις αὐτῶν, ἢ οἱ ἔκδικοι, ἀπὸ δέκα λιτρῶν τῷ φίσκῳ προσιμῶνται· διάτ. ις', ὁ ἔχων βιβλία μανιχαϊκὰ, καὶ μὴ φανερῶν αὐτὰ ἐπὶ τῷ καυθῆναι, τιμωρεῖ-

ται· καὶ ἡ ε΄ διάτ. τοῦ α΄ τίτ. τῶν νεαρῶν κελεύει τοὺς ἔχοντας τὰ Σεβήρου συγγράμματα καὶ μὴ καίοντας αὐτὰ, χειροκοπεῖσθαι· λέγει δὲ καὶ βιβλ. ι΄ τίτ. β΄, διάτ. δ΄· ὅτι οὐ διαιροῦνται μεταξὺ τῶν κληρονόμων τὰ ἐν τῇ κληρονομίᾳ εὑρεθέντα μαγικὰ βιβλία, ἀλλὰ δοκιμασίᾳ τοῦ δικαζοῦ φθείρονται· ἡ δὲ ε΄ διάτ. τοῦ γ΄ τίτ. τῶν νεαρῶν ἐπιτρέπει τοῖς ἰουδαίοις ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ ἑλληνιστὶ καὶ ταῖς ἄλλαις διαλέκτοις πρὸς τοὺς τόπους τὰς γραφὰς ἀναγινώσκειν, κατὰ τὴν τῶν ο΄ καὶ τὴν Ἀκύλα παράδοσιν· ὁ δὲ τὴν τοιαύτην κωλύων ἀνάγνωσιν, ζημιεύεται καὶ ἐξορίζεται.

ΚΕΦ. Δ.

Περὶ καθαιρέσεως ξοάνων.

Συνόδου Καρθαγέννης κανὼν νή΄ πδ΄.

Περὶ τῶν ἐγκαταλειμμάτων τῶν εἰδώλων, καὶ ναῶν τῶν ὀφειλόντων ἐξαλειφθῆναι, ὧν χάριν αἰτῆσαι δεῖ τοὺς θρησκευτικωτάτους βασιλεῖς.

νή΄ Ὥστε τὰ ἐγκαταλείμματα τῶν εἰδώλων τὰ κατὰ πᾶσαν τὴν Ἀφρικὴν, κελεῦσαι παντελῶς ἀνακοπῆναι· καὶ γὰρ ἐν πολλοῖς τόποις παραθαλασσίοις καὶ διαφόροις κτήσεσιν, ἁμαρτάνει ἔτι τῆς πλάνης ταύτης ἡ ἀθικία· ἵνα παραγγελθῶσι καὶ αὐτὰ ἀπαλειφθῆναι, καὶ οἱ ναοὶ αὐτῶν οἱ ἐν τοῖς ἀγροῖς καὶ ἐν ἀποκεκρυμμένοις τόποις, χωρίς τινος εἰκοσμίας παθεστῶτες, παντὶ τρόπῳ κελευσθῶσι καταστραφῆναι.

Περὶ τοῦ τὰ λείψανα τῶν εἰδώλων ἐκριζωθῆναι.

πδ΄ Ὁμοίως ἤρεσεν αἰτηθῆναι ἀπὸ τῶν ἐνδοξοτάτων βασιλέων, ἵνα τὰ λείψανα τῆς εἰδωλολατρίας μὴ μόνον τὰ ἐν ξοάνοις, ἀλλὰ καὶ ἐν οἱοισδήποτε τόποις, ἢ ἄλσεσιν, ἢ δένδροις, παντὶ τρόπῳ ἐξαλειφθῶσιν.

Ἡ α΄ διάτ. τοῦ ια΄ τίτ. τοῦ α΄ βιβλ. τοῦ κώδ. κελύει τὰ ἱερὰ κλείεσθαι.

ΚΕΦ. Ε.

Περὶ Νεστορίου, Μουσαίου, Εὐτυχιανοῦ, Μαξίμου, Πορφυρίου, καὶ τῶν ὑπ' αὐτῶν καταστάντων αἱρετικῶν, ἢ ὀρθοδόξων ἐκβληθέντων.

Συνόδου Κωνσταντινουπόλεως κανὼν δ΄.

Περὶ Μαξίμου τοῦ κυνικοῦ καὶ τῆς κατ' αὐτὸν ἀταξίας, τῆς ἐν Κωνσταντινουπόλεως γενομένης· ὥστε μήτε Μάξιμον ἐπίσκοπον ἢ γενέσθαι ἢ εἶναι, μὴ δὲ τοὺς παρ' αὐτοῦ χειροτονηθέντας ἐν οἱῳδήποτε βαθμῷ κλήρου, πάντων καὶ τῶν περὶ αὐτὸν καὶ τῶν παρ' αὐτοῦ γενομένων ἀκυρωθέντων. δ΄.

Συνόδου Ἐφέσου κανὼν α΄ β΄ γ΄ δ΄ ε΄.

Ἐπειδὴ δὲ ἐχρῆν καὶ τοὺς ἀπολειφθέντας τῆς ἁγίου συνόδου, καὶ μείναντας κατὰ χώραν ἢ πόλιν, διά τινα αἰτίαν ἐκκλησιαστικὴν ἢ σωματικὴν, μὴ ἀγνοῆσαι τὰ περὶ αὐτῶν τετυπωμένα, γνωρίζομεν τῇ ὑμετέρᾳ ἁγιότητί τε καὶ ἀγάπῃ, ὅτι περ εἴτε ὁ μητροπολίτης τῆς ἐπαρχίας ἀποστατήσας τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, προσέθετο τῷ τῆς ἀποστασίας συνεδρίῳ, ἢ μετὰ τοῦτο προστεθείη, ἢ τὰ Κελεστίνου ἐφρόνησεν ἢ φρονῇ, οὗτος κατὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων διαπράττεσθαί τι οὐδαμῶς δύναται, πάσης ἐκκλησιαστικῆς κοινωνίας ἐντεῦθεν ἤδη ὑπὸ τῆς συνόδου ἐκβεβλημένος, καὶ ἀνενέργητος ὑπάρχων· ἀλλὰ καὶ αὐτοῖς τοῖς τῆς ἐπαρχίας ἐπισκόποις, καὶ τοῖς περιξ μητροπολίταις, τοῖς τὰ τῆς ὀρθοδοξίας φρονοῦσιν, ὑποκείσεται εἰς τὸ πάντη καὶ τοῦ βαθμοῦ τῆς ἐπισκοπῆς ἐκβληθῆναι. α΄

Εἰ δέ τινες ἐπαρχιῶται ἐπίσκοποι, ἀπελείφθησαν τῆς β΄

ἁγίας συνόδου, καὶ τῇ ἀποστασίᾳ προσετέθησαν, ἢ προστεθῆναι πειραθεῖεν, ἢ καὶ ὑπογράψαντες τῇ Νεςορίου καθαιρέσει, ἐπαλινδρόμησαν πρὸς τὸ τῆς ἀποςασίας συνέδριον, τούτους πάντη κατὰ τὸ δόξαν τῇ ἁγίᾳ συνόδῳ, ἀλλοτρίους εἶναι τῆς ἱερωσύνης καὶ τοῦ βαθμοῦ ἐκπίπτοντας.

γ' Εἰ δέ τινες καὶ τῶν ἐν ἑκάστῃ πόλει ἢ χώρᾳ κληρικῶν, ὑπὸ Νεςορίου καὶ τῶν σὺν αὐτῷ ὄντων τῆς ἱερωσύνης ἐκωλύθησαν διὰ τὸ ὀρθῶς φρονεῖν, ἐδικαιώσαμεν καὶ τούτους τὸν ἴδιον ἀπολαβεῖν βαθμὸν· κοινῶς δὲ τῇ ὀρθοδόξῳ καὶ οἰκουμενικῇ συνόδῳ συμφρονοῦντας κληρικοὺς κελεύομεν τοῖς ἀποστατήσασιν ἢ ἀφιστάμενοις ἐπισκόποις μηδόλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον.

δ' Εἰ δέ τινες ἀποστατήσαιεν τῶν κληρικῶν, καὶ τολμήσαιεν, ἢ κατ' ἰδίαν ἢ δημοσίᾳ, τὰ Νεςορίου ἢ τὰ Κελεστίνου φρονῆσαι, καὶ τούτους εἶναι καθῃρημένους, ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται.

ε' Ὅσοι δὲ ἐπὶ ἀτόποις πράξεσι κατεκρίθησαν ὑπὸ τῆς ἁγίας συνόδου, ἢ ὑπὸ τῶν οἰκείων ἐπισκόπων, καὶ τούτοις ἀκανονίςως κατὰ τὴν ἐν ἅπασιν ἀδιαφορίαν αὐτοῦ ὁ Νεςόριος, ἢ οἱ τὰ αὐτοῦ φρονοῦντες, ἀποδεῦναι ἢ ἐπειράθησαν ἢ πειραθεῖεν κοινωνίαν ἢ βαθμὸν, ἀνωφελήτους μένειν καὶ τούτους, καὶ εἶναι οὐδὲν ἧττον καθῃρημένους ἐδικαιώσαμεν.

Συνόδου Σαρδικῆς κανὼν ιθ'.

ιθ' Ὅσιος ἐπίσκοπος εἶπε· τῆς ἐμῆς μετριότητος ἡ ἀπόφασίς ἐστιν αὕτη· ἐπειδὴ ἥσυχοι καὶ ὑπομονητικοὶ ὀφείλομεν εἶναι, καὶ διαρκῆ τὸν πρὸς πάντας ἔχειν εἴκτον, ἅπαξ τούτους τοὺς εἰς κλῆρον ἐκκλησιαστικὸν προαχθέντας ὑπό τινων ἀδελφῶν ἡμῶν, ἐὰν μὴ βούλοιντο ἐπανέρχεσθαι εἰς ἃς κατωνομάσθησαν ἐκκλησίας, τοῦ λοιποῦ μὴ ὑποδέχεσθαι· Εὐτυχιανὸν

δὲ, μήτε ἐπισκόπου ἑαυτῷ διεκδικεῖν ὄνομα· ἀλλ' οὐδὲ Μουσαῖον ὡς ἐτοίσκοτσον ὀνομάζεσθαι· εἰ δὲ λαϊκὴν κοινωνίαν ἀπαιτοῖεν, μὴ χρῆναι αὐτοὺς ἀρνεῖσθαι.

Πάντες εἶπον. – Ἀρέσκει.

ΚΕΦ. ς.

Περὶ τοῦ μὴ ὀφείλειν ἀναφορὰν γίνεσθαι παρόντος αἱρετικοῦ.

Τιμοθέου κανὼν θ'. – Ἐρώτησις.

Εἰ ὀφείλει κληρικὸς εὔχεσθαι παρόντων ἀρειανῶν etc. ut p. 151. θ'

ΚΕΦ. Ζ.

Περὶ κληρικῶν αἱρετικῶν τῇ ὀρθοδόξῳ προσιόντων ἐκκλησίᾳ.

Συνόδου Καρθαγέννης κανὼν νζ ξή'.

Ὥστε τοὺς μικροὺς παρὰ τοῖς Δονατιςαῖς βαπτιζομένους, ἐν τῇ καθολικῇ κληρικοὺς χειροτονεῖσθαι.

Διὸ ἐπειδὴ ἐν τῇ ἀνωτέρω συνόδῳ ὁρισθὲν μέμνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα ὁμοψυχία, ὥστε τοὺς παρὰ τοῖς Δονασιςαῖς μικροὺς βαπτιζομένους, καὶ μηδέπω δυναμένους γινώσκειν τῆς πλάνης αὐτῶν τὸν ὄλεθρον, μετὰ τὸ εἰς κεῖραν λογισμοῦ δεκτικὴν παραγενέσθαι, ἐπιγνωσθείσης τῆς ἀληθείας, τὴν φαυλότητα ἐκείνων βδελυττομένους, πρὸς τὴν καθολικὴν τοῦ Θεοῦ ἐκκλησίαν, τὴν ἀνὰ πάντα τὸν κόσμον διακεχυμένην, τάξει ἀρχαίᾳ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἀναδεχθῆναι τοὺς τοιούτους, καὶ ἐκ τοῦ τῆς πλάνης ὀνόματος μὴ ὀφείλειν ἐμποδίζεσθαι εἰς τάξιν κληρώσεως, ὁπόταν τὴν ἀληθινὴν ἐκκλησίαν ἰδίαν ἑαυτῶν ἐλογίσαντο πίστει προσερχόμενοι, καὶ ἐν αὐτῇ τῷ Χριστῷ πιςεύσαντες, τῆς τριάδος τὰ ἁγιάσματα ὑπεδέξαντο· ἅ τινα πάντα εὐσεβῆ καὶ ἅγια καὶ θεῖα νζ

εἶναι δῆλόν ἐστι, καὶ ἐν τούτοις πᾶσαν τὴν τῆς ψυχῆς ἐλπίδα ὑπάρχειν· κἂν εἰ τὰ μάλιστα οὖν καὶ ἡ τῶν αἱρετικῶν προληφθεῖσα τόλμα, τῷ ὀνόματι τῆς ἀληθείας ἐναντιούμενά τινα παραδιδόναι προπετεύεται, ταῦτα ἐπειδὴ ἁπλᾶ εἰσιν, ὡς διδάσκει ὁ ἁγίος ἀπόστολος λέγων, εἷς Θεὸς, μία πίστις, ἓν βάπτισμα, καὶ ὀφεῖλον προσάπαξ δίδοσθαι, ἐπαναληφθῆναι οὐκ ἔξεστιν, ἀναθεματιζομένου τοῦ τῆς πλάνης ὀνόματος, διὰ τῆς ἐπιθέσεως τῆς χειρὸς ἀναδεχθῶσιν εἰς τὴν μίαν ἐκκλησίαν, τὴν ὡς εἴρηται περιστερὰν καὶ μόνην μητέρα τῶν χριστιανῶν· ἐν ᾗ πάντα τὰ ἁγιάσματα σωτηριωδῶς αἰώνια καὶ ζωτικὰ παραλαμβάνονται, ἅ τινα τοῖς ἐπιμένουσιν ἐν τῇ αἱρέσει, μεγάλην τῆς καταδίκης τὴν τιμωρίαν περίζουσιν· ἵνα ὅπερ ἦν αὐτοῖς ἐν τῇ ἀληθείᾳ πρὸς τὴν αἰωνίαν ζωὴν ἀκολουθητέον φωτεινότερον, τοῦτο γένηται αὐτοῖς ἐν τῇ πλάνῃ σκοτεινότερον, καὶ πλέον καταδεδικασμένον· ὅπερ τινὲς ἔφυγον, καὶ τῆς ἐκκλησίας τῆς καθολικῆς μητρὸς τὰ εὐθύτατα ἐπιγνόντες, πάντα ἐκεῖνα τὰ ἅγια μυστήρια, φίλτρῳ τῆς ἀληθείας ἐπίστευσαν καὶ ὑπεδέξαντο· τοῖς οὖν τοιούτοις, ὅταν δοκιμὴ χρησοῦ βίου προσέλθοι, ἀναμφιβόλως καὶ κλῆρος πρὸς ὑπουργίαν τῶν ἁγίων προσκυρωθήσεται· καὶ μάλιστα ἐν τῇ τοσαύτῃ τῶν πραγμάτων ἀνάγκῃ, οὐδείς ἐστιν ὁ μὴ τοῦτο παραχωρῶν· εἰ δέ τινες τοῦ αὐτοῦ δόγματος κληρικοὶ, μετὰ τοῦ πλήθους καὶ τῶν τιμῶν αὐτῶν πρὸς ἡμᾶς μετελθεῖν ποθήσουσιν, οἵ τινες τῷ ἔρωτι τῆς τιμῆς συμβουλεύουσι πρὸς ζωὴν, καὶ κατέχουσι πρὸς σωτηρίαν, ἀλλὰ τοῦτο καταλειπτέον κρίνω τῇ μείζονι κατανοήσει, ψηφισμένων τῶν προλεχθέντων ἀδελφῶν, ἵνα τῇ συνετωτέρᾳ αὐτῶν βουλῇ τῆς ἡμετέρας ἀναφορᾶς τὸν λόγον διαγνῶσιν· καὶ ἡμᾶς βεβαιῶσαι καταξιώ-

σωσιν, εἰς τὸ ὀφεῖλον περὶ τούτου τοῦ πράγματος παρ' ἡμῶν τυπωθῆναι· μόνον δὲ περὶ τῶν ἐν νηπιότητι βαπτισθέντων, ἀρκούμεθα, ἵνα εἰ ἀρέσκει αὐτοῖς, τῇ ἡμετέρᾳ συναινέσωσι προαιρέσει περὶ τοῦ χειροτονεῖσθαι τούτους· πάντα τοίνυν ἃ ἀνωτέρω συνηγάγομεν παρὰ τοῖς ἁγιωτάτοις ἐπισκόποις, πρακτέα εἶναι δικαιοῖ ἅμα ἐμοὶ ἡ ἔντιμος ὑμῶν ἀδελφότης.

Περὶ τοῦ τοὺς κληρικοὺς τῶν Δονατιστῶν ἐν τῷ κλήρῳ τῆς καθολικῆς ἐκκλησίας ἀναδέχεσθαι.

Ἐς ὕστερον ἤρεσεν, ἵνα γράμματα πεμφθῶσι πρὸς τοὺς ξη' ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, καὶ μάλιστα πρὸς τὴν ἀποστολικὴν καθέδραν, ἐν ᾗ προκάθηται ὁ μνημονευθεὶς προσκυνητὸς ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀναστάσιος, ἐπειδὴ γινώσκει τὴν Ἀφρικὴν, μεγάλην ἔχειν ἀνάγκην· ὥστε διὰ τὴν τῆς ἐκκλησίας εἰρήνην καὶ χρησιμότητα, καὶ αὐτῶν τῶν Δονατιστῶν οἵ τινες ὁπότε κληρικοὶ, διορθουμένης τῆς βουλῆς πρὸς τὴν καθολικὴν ἑνότητα μετελθεῖν θελήσαιεν, κατὰ τὴν ἑνὸς ἑκάστου καθολικοῦ ἐπισκόπου προαίρεσιν, καὶ βουλὴν τοῦ ἐν τῷ αὐτῷ τόπῳ κυβερνῶντος τὴν ἐκκλησίαν, ἐὰν τοῦτο συμβάλλεσθαι τῇ τῶν χριστιανῶν εἰρήνῃ φανείη, ἐν ταῖς ἰδίαις τιμαῖς αὐτοὺς ἀναδεχθῆναι· καθὼς καὶ ἐν τοῖς προλαβοῦσι χρόνοις περὶ τῆς αὐτῆς διαστάσεως γενέσθαι φανερόν ἐστιν· ὅπερ πολλῶν καὶ σχεδὸν πασῶν, τῶν ἐν τῇ Ἀφρικῇ ἐκκλησιῶν, ἐν αἷς ἡ τοιαύτη πλάνη ἀνεφύη, τὰ παραδείγματα μαρτύρονται· οὐχ' ἵνα ἡ σύνοδος ἡ ἐν τοῖς περαματικοῖς μέρεσι περὶ τούτου τοῦ πράγματος γενομένη διαλυθῇ, ἀλλ' ἵνα ἐκεῖνο μείνῃ περὶ τοὺς οὕτως μετελθεῖν πρὸς τὴν καθολικὴν ἐκκλησίαν βουλομένους· ὥστε μηδεμίαν ἐπὶ τούτων τῆς ἑνότητος συντομίαν περιεργάζεσθαι, δι' ὧν δὲ παντὶ τρόπῳ ἐκτελεσθῆναι, ἡ καθολικὴ ἑνότης φανερῷ

εἶναι δῆλόν ἐστι, καὶ ἐν τούτοις πᾶσαν τὴν τῆς ψυχῆς ἐλπίδα ὑπάρχειν· κἂν εἰ τὰ μάλιστα οὖν καὶ ἡ τῶν αἱρετικῶν προληφθεῖσα τόλμα, τῷ ὀνόματι τῆς ἀληθείας ἐναντιούμενά τινα παραδιδόναι προπετεύεται, ταῦτα ἐπειδὴ ἁπλᾶ εἰσιν, ὡς διδάσκει ὁ ἅγιος ἀπόστολος λέγων, εἷς Θεὸς, μία πίστις, ἓν βάπτισμα, καὶ ὀφεῖλον προσάπαξ δίδοσθαι, ἐπαναληφθῆναι οὐκ ἔξεστιν, ἀναθεματιζομένου τοῦ τῆς πλάνης ὀνόματος, διὰ τῆς ἐπιθέσεως τῆς χειρὸς ἀναδεχθῶσιν εἰς τὴν μίαν ἐκκλησίαν, τὴν ὡς εἴρηται περιστερὰν καὶ μόνην μητέρα τῶν χριστιανῶν· ἐν ᾗ πάντα τὰ ἁγιάσματα σωτηριωδῶς αἰώνια καὶ ζωτικὰ παραλαμβάνονται, ἅ τινα τοῖς ἐπιμένουσιν ἐν τῇ αἱρέσει, μεγάλην τῆς καταδίκης τὴν τιμωρίαν περίζευσιν· ἵνα ὅπερ ἦν αὐτοῖς ἐν τῇ ἀληθείᾳ πρὸς τὴν αἰωνίαν ζωὴν ἀκολουθητέον φωτεινότερον, τοῦτο γένηται αὐτοῖς ἐν τῇ πλάνῃ σκοτεινότερον, καὶ πλέον καταδεδικασμένον· ὅπερ τινὲς ἔφυγον, καὶ τῆς ἐκκλησίας τῆς καθολικῆς μητρὸς τὰ εὐθύτατα ἐπιγνόντες, πάντα ἐκεῖνα τὰ ἅγια μυστήρια, φίλτρῳ τῆς ἀληθείας ἐπίστευσαν καὶ ὑπεδέξαντο· τοῖς οὖν τοιούτοις, ὅταν δοκιμὴ χρησοῦ βίου προσέλθοι, ἀναμφιβόλως καὶ κλῆρος πρὸς ὑπουργίαν τῶν ἁγίων προσκυρωθήσεται· καὶ μάλιστα ἐν τῇ τοσαύτῃ τῶν πραγμάτων ἀνάγκῃ, οὐδείς ἐστιν ὁ μὴ τοῦτο παραχωρῶν· εἰ δέ τινες τοῦ αὐτοῦ δόγματος κληρικοὶ, μετὰ τοῦ πλήθους καὶ τῶν τιμῶν αὐτῶν πρὸς ἡμᾶς μετελθεῖν ποθήσουσιν, οἵ τινες τῷ ἔρωτι τῆς τιμῆς συμβουλεύουσι πρὸς ζωὴν, καὶ κατέχουσι πρὸς σωτηρίαν, ἀλλὰ τοῦτο καταλειπτέον κρίνω τῇ μείζονι κατανοήσει, ψηφισμένων τῶν προλεχθέντων ἀδελφῶν, ἵνα τῇ συνετωτέρᾳ αὐτῶν βουλῇ τῆς ἡμετέρας ἀναφορᾶς τὸν λόγον διαγνῶσιν· καὶ ἡμᾶς βεβαιῶσαι καταξιώ-

σωσιν, εἰς τὸ ὀφεῖλον περὶ τούτου τοῦ πράγματος παρ' ἡμῶν τυπωθῆναι· μόνον δὲ περὶ τῶν ἐν νηπιότητι βαπτισθέντων, ἀρκούμεθα, ἵνα εἰ ἀρέσκει αὐτοῖς, τῇ ἡμετέρᾳ συναινέσωσι προαιρέσει περὶ τοῦ χειροτονεῖσθαι τούτους· πάντα τοίνυν ἃ ἀνωτέρω συνηγάγομεν παρὰ τοῖς ἁγιωτάτοις ἐπισκόποις, πρακτέα εἶναι δικαιοῖ ἅμα ἐμοὶ ἡ ἔντιμος ὑμῶν ἀδελφότης.

Περὶ τοῦ τοὺς κληρικοὺς τῶν Δονατιστῶν ἐν τῷ κλήρῳ τῆς καθολικῆς ἐκκλησίας ἀναδέχεσθαι.

Ξη' Ἐς ὕστερον ἤρεσεν, ἵνα γράμματα πεμφθῶσι πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, καὶ μάλιστα πρὸς τὴν ἀποστολικὴν καθέδραν, ἐν ᾗ προκάθηται ὁ μνημονευθεὶς προσκυνητὸς ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀναστάσιος, ἐπειδὴ γινώσκει τὴν Ἀφρικὴν, μεγάλην ἔχειν ἀνάγκην· ὥστε διὰ τὴν τῆς ἐκκλησίας εἰρήνην καὶ χρησιμότητα, καὶ αὐτῶν τῶν Δονατιστῶν οἵ τινες ὁπότε κληρικοὶ, διορθουμένης τῆς βουλῆς πρὸς τὴν καθολικὴν ἑνότητα μετελθεῖν θελήσαιεν, κατὰ τὴν ἑνὸς ἑκάστου καθολικοῦ ἐπισκόπου προαίρεσιν, καὶ βουλὴν τοῦ ἐν τῷ αὐτῷ τόπῳ κυβερνῶντος τὴν ἐκκλησίαν, ἐὰν τοῦτο συμβάλλεσθαι τῇ τῶν χριστιανῶν εἰρήνῃ φανείη, ἐν ταῖς ἰδίαις τιμαῖς αὐτοὺς ἀναδεχθῆναι· καθὼς καὶ ἐν τοῖς προλαβοῦσι χρόνοις περὶ τῆς αὐτῆς διασάσεως γενέσθαι φανερόν ἐστιν· ὅπερ πολλῶν καὶ σχεδὸν πασῶν, τῶν ἐν τῇ Ἀφρικῇ ἐκκλησιῶν, ἐν αἷς ἡ τοιαύτη πλάνη ἀνεφύη, τὰ παραδείγματα μαρτύρονται· οὐχ' ἵνα ἡ σύνοδος ἡ ἐν τοῖς στρατιωτικοῖς μέρεσι περὶ τούτου τοῦ πράγματος γενομένη διαλυθῇ, ἀλλ' ἵνα ἐκεῖνο μείνῃ περὶ τοὺς οὕτως μετελθεῖν πρὸς τὴν καθολικὴν ἐκκλησίαν βουλομένους· ὥστε μηδεμίαν ἐπὶ τούτων τῆς ἑνότητος συντομίαν περιεργάζεσθαι, δι' ὧν δὲ παντὶ τρόπῳ ἐκτελεσθῆναι, ἡ καθολικὴ ἑνότης φανερῷ

κέρδει τῶν ἀδελφικῶν ψυχῶν φανείη, ἐν τοῖς τόποις οἷς διάγουσι μὴ ἐμποδίσῃς τούτοις τὸ ὁρισθὲν κατὰ τῶν τιμῶν αὐτῶν ἐν τῇ περαματικῇ συνόδῳ· ὁπόταν τὸ σωθῆναι οὐδενὶ προσώπῳ ἀπεκκέκλεισται· τουτέστιν ἵνα οἱ χειροτονηθέντες ἐν τῷ τῶν Δεκατιστῶν μέρει, ἐὰν πρὸς τὴν καθολικὴν σύνοδον μὴ δεχθῶσιν ἐν ταῖς οἰκείαις τιμαῖς, ἀλλὰ μᾶλλον οὗτοι προσδεχθῶσι, δι' ὧν τῇ καθολικῇ ἑνότητι γίνεται πρόνοια.

Βασιλείου κανὼν α'.

Τὸ μὲν οὖν περὶ τοὺς Καθαροὺς ζήτημα etc. ut p. 379.

Οἱ τοίνυν Πεπουζηνοὶ etc. ut p. 380.

Οἱ δὲ Καθαροὶ etc. ut p. 381.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κεφ. α'.

α' Περὶ τῶν κοινωνησάντων τοῖς Ἀρειανοῖς, καὶ μέχρι τοῦ νῦν τὰς ἐκκλησίας κατεχόντων, ὡς ἔθει τὸ ἔθος γινέσθω· οὕτω μέν τοι, ὥστε ἑτέρους καταστῆναι μαρτυρουμένους ἐν ὀρθοδοξίᾳ κἀκείνους ἀλίζεσθαι· οὕτως οἰκονομουμένων καὶ τούτων, ὥσπερ καὶ ἐν ταῖς ἄλλαις πόλεσι πεποιήκασιν οἱ ἐν Θηβαΐδι ὀρθόδοξοι ἐπίσκοποι, οἱ καταστάντες παρὰ Ἀπόλλωνος τοῦ ἐπισκόπου, καὶ κοινωνήσαντες τοῖς ἔχουσι τὰς ἐκκλησίας Ἀρειανοῖς ἐπιτιμάσθωσαν, εἴ γε γνώμῃ αὐτῶν πεποιήκασι τοῦτο· εἰ δὲ ὑπήκοοι γεγόνασι τῷ οἰκείῳ ἐπισκόπῳ, ἀλιζέσθωσαν, ὡς μὴ ἐπεγνωκότες τὸ εὔλογον· καὶ εἰ μὲν πάντες οἱ λαοὶ τούτους ἀποπειοῦνται μετὰ τῶν ἄλλων, ἕτεροι χειροτονείσθωσαν· εἰ δὲ ἀντιποιοῦνται αὐτῶν μετ' ἐκείνων οἷς κεκοινωνήκασι ταύτης, οὗτοι ἀποπειράσθωσαν τῆς συνηθείας, ᾗ ἐχρήσαντο οἱ ἐν Θηβαΐδι πάντες ὀρθόδοξοι ἐπίσκοποι.

ΚΕΦ. Η.

Περὶ ἐπισκόπων, ἢ κληρικῶν συγκοινωνούντων, ἢ συνευχομένων αἱρετικοῖς, ἢ ἐπιτρεπόντων αὐτοῖς ἐνεργεῖν, ἢ δεχομένων αὐτῶν βάπτισμα ἢ θυσίαν.

Ἀποστόλων κανὼν ι΄ με΄ μς΄.

Εἴ τις ἀκοινωνήτῳ κἂν, ἐν οἴκῳ συνεύξεται, οὗτος ἀφο- ι΄
ριζέσθω. (ut p. 148.)

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, αἱρετικοῖς συν- με΄
ευξάμενος etc. ut p. 148.

Ἐπίσκοπον ἢ πρεσβύτερον αἱρετικῶν δεξαμένους βάπτι- μς΄
σμα etc. ut p. 148.

Συνόδου Ἀντιοχείας κανὼν β΄.

Πάντας τοὺς εἰσιόντας εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ etc. β΄
ut p. 145.

Συνόδου Λαοδικείας κανὼν λγ΄.

Ὅτι οὐ δεῖ αἱρετικοῖς ἢ σχισματικοῖς συνεύχεσθαι. λγ΄

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιε΄ κεφ. τοῦ γ΄ τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. Θ.

Περὶ ἐπισκόπων ἢ κληρικῶν λαμβανόντων εὐλογίας ἐξ αἱρετικῶν ἢ ἰουδαίων, ἢ εὐχεμένων ἐν ἐκκλησίαις ἢ μοναστηρίοις αἱρετικῶν, ἢ ἐθνικῶν, ἢ σαββατιζόντων, ἢ συνεορταζόντων τοῖς ἰουδαίοις, ἢ προσφερόντων συναγωγαῖς ἢ ἱεροῖς ἐθνῶν, καὶ περὶ Ἀγγελιτῶν.

Ἀποστόλων κανὼν ξε΄ ό΄.

Εἴ τις κληρικὸς ἢ λαϊκὸς, εἰσέλθοι εἰς συναγωγὴν ἰου- ξε΄

δαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω καὶ ἀφορι-
ζέσθω. (ut p. 266.)

ο' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως
τοῦ καταλόγου τῶν κληρικῶν, νηστεύοι μετὰ ἰουδαίων etc.
ut p. 266.

Συνόδου Λαοδικείας κανὼν ϑ' κϑ' λβ' λε' λζ' λϑ' μϑ'.

ϑ' Περὶ τοῦ μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια, ἢ εἰς τὰ λε-
γόμενα μαρτυρεῖα πάντων τῶν αἱρετικῶν, ἀπιέναι τοὺς τῆς
ἐκκλησίας, εὐχῆς ἢ ϑεραπείας ἕνεκα· ἀλλὰ τοὺς τοιούτους,
ἐὰν ὦσι πιστοὶ, ἀκοινωνήτους γίνεσθαι μέχρι τινὸς· μετα-
νοοῦντας δὲ καὶ ἐξομολογουμένους ἐσφάλθαι, παραδέχεσθαι.

κϑ' Ὅτι οὐ δεῖ χριστιανοὺς ἰουδαΐζειν etc. ut p. 181.

λβ' Ὅτι οὐ δεῖ αἱρετικῶν εὐλογίας λαμβάνειν, αἵ τινές εἰσιν
ἀλογίαι μᾶλλον ἢ εὐλογίαι.

λε' Ὅτι οὐ δεῖ χριστιανοὺς, ἐγκαταλείπειν τὴν ἐκκλησίαν
τοῦ ϑεοῦ, καὶ ἀπιέναι, καὶ ἀγγέλους ὀνομάζειν, καὶ συνα-
άξεις ποιεῖν· ἅπερ ἀπηγόρευται· εἴ τις οὖν εὑρεθῇ ταύτῃ τῇ
κεκρυμμένῃ εἰδωλολατρείᾳ σχολάζων, ἔστω ἀνάθεμα· ὅτι
ἐγκατέλιπε τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ
ϑεοῦ, καὶ εἰδωλολατρείᾳ προσῆλθεν.

λζ' Ὅτι οὐ δεῖ παρὰ τῶν αἱρετικῶν, ἢ ἰουδαίων τὰ πεμ-
πόμενα ἑορταστικὰ λαμβάνειν, μὴ δὲ συνεορτάζειν αὐτοῖς.

λη' Ὅτι οὐ δεῖ παρὰ τῶν ἰουδαίων ἄζυμα λαμβάνειν ἢ κοι-
νωνεῖν ταῖς ἀσεβείαις αὐτῶν.

λϑ' Ὅτι οὐ δεῖ τοῖς ἔϑνεσι συνεορτάζειν καὶ κοινωνεῖν τῇ
ἀϑεότητι αὐτῶν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ια'.

ια' Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι ἢ λαϊ-
κὸς, τὰ παρὰ τῶν ἰουδαίων ἄζυμα ἐσϑιέτω etc. ut p. 266.

Ἡ α΄ διάτ. τοῦ θ΄ τίτ. τοῦ α΄ βιβλ. τοῦ κώδ. φησὶν, ὅτι τὸ τῇ ὁμάδι τῶν ἰουδαίων ληγατευόμενον, οὐκ ἀπαιτεῖται· λέγει δὲ βιβλ. λδ΄ τίτ. ε΄ διάτ. κ΄, ὅτι τὸ ληγατευόμενον θεμιτῷ σωματείῳ ἢ συςήματι, ἔῤῥωται· τὸ ἐναντίον δὲ ἐπὶ ἀθεμίτου, πλὴν εἰ μὴ τοῖς ἐν τῷ αὐτῷ καθ᾽ἕκαστον ληγατευθῇ, τότε γὰρ ἔῤῥωται· πολλὰ δὲ τοιαῦτα θέματα ἔχει ὁ μή τίτ. τοῦ ς΄ βιβλ. τοῦ κώδ. ἡ δὲ θ΄ διάτ. τοῦ ια΄ τίτ. τοῦ α΄ βιβλ. φησὶν, ὅτι ἐάν τι δωρηθῇ ἢ καταλειφθῇ τόποις ἢ προσώποις ἐπὶ συστάσει τῆς τῶν ἑλλήνων πλάνης, ἡ πόλις αὐτὸ λαμβάνει ἐν ᾗ τὰ πρόσωπα οἰκεῖ· ἢ ὑφ᾽ ἣν οἱ τόποι διάκεινται καὶ δαπανῶνται, καθ᾽ ὁμοιότητα τῶν πολιτικῶν προσόδων.

ΚΕΦ. Ι.

Περὶ ἐπισκόπου ἐν εἰδήσει λέγοντος κοινωνικὸν τὸν αἱρετικόν.

Συνόδου Καρθαγέννης κανὼν ρκδ΄.

Περὶ τῶν τοὺς δεινατιστὰς κοινωνῆσαι ψευδομένων ἐπισκόπων.

Ἐὰν δὲ ἀποδειχθῇ τὸν τοιοῦτον ψευσάμενον παρὰ τῆς ἐκείνων κοινωνίας, ἐν τῷ λέγειν αὐτοὺς κεκοινωνηκέναι, οὓς δείκνυται συνειδήσει αὐτοῦ μὴ κοινωνῆσαι, καὶ τὴν ἐπισκοπὴν ἔτι μὴν ἀπολέσει. ρκδ΄

ΚΕΦ. ΙΑ.

Περὶ τοῦ μὴ ἀπιέναι πρὸς τοὺς τῶν αἱρετικῶν ψευδομάρτυρας.

Συνόδου Λαοδικείας κανὼν λδ΄.

Ὅτι οὐ δεῖ πάντα χριστιανὸν ἐγκαταλείπειν μάρτυρας λδ΄

Χριστοῦ, καὶ ἀπιέναι πρὸς τοὺς ψευδομάρτυρας, τουτέστιν αἱρετικῶν ἢ αὐτοὺς πρὸς τοὺς προειρημένους αἱρετικοὺς γενομένους· οὗτοι γὰρ ἀλλότριοι τοῦ Θεοῦ τυγχάνουσιν, ἔσωσαν οὖν ἀνάθεμα οἱ ἀπερχόμενοι πρὸς αὐτούς.

ΚΕΦ. ΙΒ.

Περὶ τοῦ μὴ εἰσιέναι τοὺς αἱρετικοὺς, εἰς τὴν ἐκκλησίαν.

Συνόδου Λαοδικείας κανὼν ς'.

ς' Περὶ τοῦ μὴ συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς τὸν οἶκον τοῦ Θεοῦ, ἐπιμένοντας τῇ αἱρέσει.

ΚΕΦ. ΙΓ.

Περὶ γάμων αἱρετικῶν πρὸς ὀρθοδόξους.

Συνόδου Λαοδικείας κανὼν ι' λα'.

ι' Περὶ τοῦ μὴ δεῖν τοὺς τῆς ἐκκλησίας ἀδιαφόρως πρὸς γάμου κοινωνίαν συνάπτειν τὰ ἑαυτῶν παιδία αἱρετικοῖς.

λα' Ὅτι οὐ δεῖ πρὸς πάντας αἱρετικοὺς ἐπιγαμίαν ποιεῖν, ἢ διδόναι υἱεῖς ἢ θυγατέρας, ἀλλὰ μᾶλλον λαμβάνειν, εἴ γε ἐπαγγέλλοιντο χριστιανοὶ γενέσθαι.

Συνόδου Χαλκηδόνος κανὼν ιδ'.

ιδ' Ἐπειδὴ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις etc. ut p. 303.

Συνόδου Καρθαγέννης κανὼν κα'.

Ὥστε τὰ τέκνα τῶν κληρικῶν ἐν συνοικεσίῳ μὴ συνάπτεσθαι αἱρετικοῖς.

κα' Ὁμοίως ἤρεσεν, ὥστε τὰ τέκνα τῶν κληρικῶν, ἐθνικοῖς ἢ αἱρετικοῖς γαμικῶς μὴ συνάπτεσθαι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν οβ'.

Μὴ ἐξέστω ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικὶ, μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον ζεύγνυσθαι· ἀλλ' εἰ καὶ φανῇ τί τοιοῦτον ὑπό τινος τῶν ἀπάντων γινόμενον, ἄκυρον τὸν γάμον ἡγεῖσθαι, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον· οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ λύκον συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ μερίδι τὸν τῶν ἁμαρτωλῶν κλῆρον· εἰ δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω· εἰ δέ τινες ἔτι ἐν τῇ ἀπιςίᾳ τυγχάνοντες, καὶ σὔπω τῇ τῶν ὀρθοδόξων ἐγκαταλεγέντες ποίμνῃ, ἀλλήλοις γάμῳ νομίμῳ ἡρμόσθησαν, εἶτα ὁ μὲν τὸ καλὸν ἐκλεξάμενος τῷ φωτὶ τῆς ἀληθείας προσέδραμεν, ὁ δὲ ὑπὸ τοῦ τῆς πλάνης κατεσχέθη δεσμοῦ, μὴ πρὸς τὰς θείας ἀτενίσαι ἀκτίνας ἐλόμενος, εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν, ἢ τὸ ἔμπαλιν ὁ ἄπιστος τῇ πιστῇ, μὴ χωριζέσθωσαν, κατὰ τὸν θεῖον ἀπόστολον· ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, καὶ ἡγίασται ἡ ἄπιστος γυνὴ ἐν τῷ ἀνδρί. οβ'

Ὁ πολιτικὸς νόμος, εἰ καὶ τὰ μάλιστα τὸν γάμον ὁριζόμενος φησὶν, βιβλ. κγ' τίτ. β' διάτ. α', ὅτι γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συναφεια, καὶ συγκλήρωσις πάσης τῆς ζωῆς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία, καὶ κατὰ τοῦτον τὸν ὅρον ἔδει τοὺς γάμῳ συναπτομένους, ὁμοθρήσκους εἶναι· ὅμως οἶδε καὶ δέχεται μεταξὺ ὀρθοδόξου καὶ αἱρετικοῦ γάμον· φησὶ γὰρ βιβλ. α' τοῦ κώδ. τίτ. ε', διάτ. ιβ', ὅτι ἀμφισβητούντων τῶν γονέων, ἐπικρατέστερος ἐστὶν ὁ θέλων τῇ ὀρθοδόξῳ πίστει τοὺς παῖδας προσαγαγεῖν· καὶ διάτ. ιη' τοῦ αὐτοῦ τίτ. ὅτι ἐὰν θάτερος τῶν συνοικούντων ὀρθόδοξος εἴη, καὶ ὁ ἄλλος αἱρετικὸς, δεῖ γίνεσθαι τοὺς παῖδας αὐ-

τῶν ὀρθοδόξους· καὶ βιβλ. ε' τίτ. α' διάτ. ε', ἐὰν ἡ μνηστὴ παραιτῆται τὸν γάμον διὰ τὸ τῆς θρησκείας διάφορον, εἰ μὲν προήδει τὴν αἰτίαν, ἡ γυνὴ ἢ οἱ γονεῖς αὐτῆς ὑπόκεινται· εἰ δὲ ἠγνόουν, ἢ μετὰ τὸ λαβεῖν τοὺς ἀῤῥαβῶνας ἡ αἰτία συνέβη, τὸ ἁπλοῦν ἀναδίδοται· τὸ αὐτὸ καὶ ἐπὶ μνηστῆρος· ἡ δὲ ς' διάτ. τῶν θ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι χριστιανὸς λαμβάνειν ἰουδαίαν γαμετὴν, ἢ χριστιανὴν ἰουδαῖος, ἐπὶ μοιχείᾳ κατηγορεῖται.

ΚΕΦ. ΙΔ.

Περὶ τῶν ἐξ αἱρετικῶν εἰς ὀρθοδοξίαν ἐπιστρεφόντων, καὶ εἰ δυνατὸν τούτους κληροῦσθαι, καὶ τίνες αὐτῶν βαπτίζονται, καὶ τίνες μόνον χρίονται, καὶ ὅτι πράως δεῖ τοῖς αἱρετικοῖς κεχρῆσθαι διὰ τὸ ἐπιστρέψαι αὐτούς.

Συνόδου Νικαίας κανὼν ἡ' ιθ'.

η' Περὶ τῶν ὀνομαζόντων μὲν ἑαυτοὺς Καθαροὺς etc. ut p. 59.

ιθ' Περὶ τῶν παυλιανισάντων etc. ut p. 103.

Συνόδου Λαοδικείας κανὼν ζ' ἡ'.

ζ' Περὶ τοῦ τοὺς ἐκ τῶν αἱρέσεων, τουτέστι Ναυατιανῶν ἤτοι Φωτεινιανῶν ἢ Τεσσαρεσκαιδεκατιτῶν ἐπιστρεφομένους, εἴτουν κατηχουμένους, εἴτε πιστοὺς τοὺς παρ' ἐκείνοις, μὴ προσδέχεσθαι πρὶν ἂν ἀναθεματίσωσι πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ ἐν ᾗ κατείχοντο· καὶ τότε λοιπὸν τοὺς λεγομένους παρ' αὐτοῖς πιστοὺς, ἐκμανθάνοντας τὰ τῆς πίστεως σύμβολα, χρισθέντας τε τῷ ἁγίῳ χρίσματι, οὕτω κοινωνεῖν τῶν μυστηρίων τῶν ἁγίων.

η' Περὶ τοῦ τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν λεγομένων Φρυγῶν ἐπιστρέφοντας, εἰ καὶ ἐν κλήρῳ νομιζόμενοι παρ' αὐτοῖς τυγ-

χάνοιεν, εἰ καὶ μέγιστοι λέγοιντο, τοὺς τοιούτους μετὰ πάσης ἐπιμελείας κατηχεῖσθαι τὲ καὶ βαπτίζεσθαι ὑπὸ τῶν τῆς ἐκκλησίας ἐπισκόπων τὲ καὶ πρεσβυτέρων.

Συνόδου Κωνσταντινουπόλεως κανὼν ζ'.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ etc. ut p. 162. ζ

Συνόδου Καρθαγέννης κανὼν μζ' νζ' ξς'.

Περὶ Δονατιστῶν παιδίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων.

Ἤρεσεν, ἵνα ἐρωτήσωμεν τοὺς ἀδελφοὺς καὶ συνιερεῖς μζ ἡμῶν Σιρίκιον καὶ Σιμπλικιανὸν etc. ut p. 136.

Τούτων δὲ ἐναρχθέντων, Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι τῆς Μαυριτανίας σιτιφένσης χώρας εἶπεν.

Ἐκ πολλοῦ ὅτε πρὸς τὴν ὑμετέραν ἁγιωσύνην ἀπεστελλόμεθα, τὰ γραφέντα ὑπερεθέμεθα ταύτῃ τῇ κατανοήσει, ὅτι προσεδοκῶμεν ἀδελφοὺς ἡμῶν παραγενέσθαι τοποτηρητὰς Νουμηδίας· ἀλλ' ἐπειδὴ οὐκ ὀλίγαι ἡμέραι εἰσὶν, ἀφ' οὗ οἱ προσδοκώμενοι εὐδαμῶς κατέλαβον, περαιτέρω παριδεῖν τὰ ἐνταλέντα ἡμῖν παρὰ τῶν συνεπισκόπων οὐ δεῖ· καὶ διὰ τοῦτο, ἀδελφοὶ, τὴν ἀναφορὰν ἡμῶν προθύμως εἰσδέξασθε· περὶ τῆς πίστεως γὰρ τοῦ ἐν Νικαίᾳ τρακτάτου ἠκούσαμεν, καὶ ἀληθές ἐστι περὶ τῶν γινομένων μετὰ τὸ ἄριστον ἁγίων, ἵνα ἀπὸ νηστικῶν ὡς ἔστιν ἄξιον προσφέρωνται, καὶ τότε ἐβεβαιώθη.

Ὥστε τοὺς μικροὺς παρὰ τοῖς Δονατισταῖς βαπτιζομένους, ἐν τῇ καθολικῇ κληρικοὺς χειροτονεῖσθαι.

Διὸ ἐπειδὴ ἐν τῇ ἀνωτέρω συνόδῳ ὁρισθὲν μέμνηται etc. νζ ut p. 389.

Περὶ τοῦ μετὰ τῶν Δονατιστῶν πράως διαπράξασθαι.

Μετὰ ταῦτα ψηλαφηθέντων καὶ κατανοηθέντων πάντων, ξς'

τῶν τῇ ἐκκλησιαστικῇ χρησιμότητι συντρέχειν δοκούντων, ἐπαινεύσαντος καὶ ἐνηχήσαντος τοῦ πνεύματος τοῦ Θεοῦ, ἐπελεξάμεθα ἡπίως καὶ εἰρηνικῶς διαπράξασθαι μετὰ τῶν μνημονευθέντων ἀνθρώπων, κἂν εἰ τὰ μάλιστα ἐκ τῆς τοῦ κυριακοῦ σώματος ἑνώσεως ἀνησυχάστῳ διχονοίᾳ ἀποσχίζωσιν· ἵνα ὅσον τὸ ἐν ἡμῖν, πᾶσι καθόλου γνωσθῇ τοῖς τῇ ἐκείνων κοινωνίᾳ καὶ ἑταιρίᾳ σαγηνευθεῖσιν ἀνὰ πάσας τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, πῶς ἐλεεινῇ πλάνῃ κατεδέθησαν· ἴσως, καθὼς λέγει ὁ ἀπόστολος, ἡμῶν ἐν ἡμερότητι συναγόντων τοὺς τὰ διάφορα φρονοῦντας, δώσει αὐτοῖς ὁ Θεὸς μετανοιαν πρὸς τὸ ἐπιγνῶναι τὴν ἀλήθειαν, καὶ ἀνασφήλωσιν οἱ ἐκ τῶν τοῦ διαβόλου βρόχων αἰχμαλωτισθέντες αὐτῷ εἰς τὸ αὐτοῦ θέλημα.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιε'.

ιε' Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ etc. ut p. 162.

Βασιλείου κανὼν α' μζ'.

α' Τὸ μὲν οὖν περὶ τοὺς Καθαροὺς ζήτημα etc. ut p. 379.

Οἱ τοίνυν Πεπουζηνοὶ etc. ut p. 380.

Οἱ δὲ Καθαροὶ καὶ αὐτοὶ etc. ut p. 381.

μθ' Ἐγκρατίται καὶ Σακκοφόροι etc. ut p. 21.

Θεοφίλου ἐκ τῆς πρὸς Ἀφύγγιον ἐπίσκοπον ἐπιστολῆς.

Περὶ τῶν λεγομένων Καθαρῶν.

Δεδήλωκέ μοι ἡ σὴ εὐλάβεια, ὥς τινες τῶν ὀνομαζόντων ἑαυτοὺς Καθαροὺς προσελθεῖν βούλονται τῇ ἐκκλησίᾳ· ἐπειδὴ τοίνυν ἡ μεγάλη σύνοδος, ἡ γενομένη ἐν Νικαίᾳ παρὰ τῶν μακαρίων πατέρων ἡμῶν, ὥρισεν ὥστε χειροτονεῖσθαι τοὺς προσερχομένους, θέλησον κατὰ τὸν τύπον τοῦτον τοὺς ἐθέλοντας προσέρχεσθαι τῇ ἐκκλησίᾳ χειροτονεῖν, εἴ γε ὁ βίος αὐτῶν ὀρθός ἐστι, καὶ μηδὲν τούτων ἀντίκειται.

Ἡ κατὰ Κυπριανὸν σύνοδος πάντα αἱρετικὸν ἐρχόμενον εἰς ὀρθοδοξίαν ὁρίζει βαπτίζεσθαι, λέγουσα τὸ τῶν αἱρετικῶν μὴ εἶναι βάπτισμα.

ΚΕΦ. ΙΕ.

Περὶ τοῦ μήτε ἐπισκόπους μήτε κληρικοὺς δωρεῖσθαι, ἢ ἐν διαθήκῃ διδόναι τί αἱρετικοῖς, κἂν ὦσιν αὐτῶν συγγενεῖς.

Συνόδου Καρθαγέννης κανὼν κβ΄ πά.

Ὥζε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μηδὲν συνεισάγειν τοῖς μὴ ὀρθοδόξοις χριστιανοῖς, εἰ καὶ συγγενεῖς ἔτι μὴν ὦσιν.

Μηδὲν διὰ δωρεᾶς τῶν οἰκείων πραγμάτων, ὡς εἴρηται, κβ΄ τοὺς ἐπισκόπους ἢ κληρικοὺς τούτοις συνεισάγειν.

Περὶ ἐπισκόπων τῶν αἱρετικοὺς ἢ Ἕλληνας κληρονόμους καταλιμπανόντων.

Ὁμοίως ὡρίσθη, ἵνα ἐάν τις ἐπίσκοπος, κληρονόμους πα΄ συγγενεῖς etc. ut p. 345.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ἡ΄ κεφ. τοῦ ι΄ τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. Ις.

Περὶ αἱρετικῶν μετανοούντων.

Βασιλείου κανὼν ε΄.

Τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας etc. ut p. 325. ε΄

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λθ΄ τοῦ θ΄ τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. ΙΖ.

Πῶς ἐκδικοῦσιν οἱ ἐπίσκοποι τοὺς ἁρμόζοντας αὐτοῖς τόπους παρὰ αἱρετικῶν κατεχομένους.

Συνόδου Καρθαγέννης κανὼν ριθ' ρκα'.

Περὶ τοῦ εἴν τινα δισίκησιν ἐξ αἱρέσεως ἐλευθερώσῃ ἐπίσκοπος, καὶ ἐπὶ τριετίαν κατάσχῃ, μηδένα ταύτην ἀναζητεῖν.

ριθ' Ὡμοίως ἤρεσεν, ἵνα ἐάν τις μετὰ τοὺς νόμους, τόπον τινὰ πρὸς τὴν καθολικὴν ἑνότητα μεταστρέψῃ, καὶ τοῦτο ἐπὶ τριετίαν μηδενὸς ἀναζητοῦντος κατάσχοι, τοῦ λοιποῦ παρ' αὐτοῦ μὴ ἀναζητηθῇ, ἐὰν μέν τα ἐντὸς τῆς αὐτῆς τριετίας ὑπῆρχεν ἐπίσκοπος ὁ ὀφείλων ἀναζητῆσαι καὶ ἡσύχασεν· εἰ δὲ μὴ ἦν, προκριματισθῇ ἐν τῇ μάτρικι· ἀλλ' ὅτε ὁ χηρεύων τόπος λάβῃ ἐπίσκοπον, ἐξὸν εἴη αὐτῷ ἀπ' αὐτῆς τῆς ἡμέρας ἐντὸς τριετίας ἀναζητῆσαι· ὁμοίως δὲ καὶ ἐὰν ἐπίσκοπος ἐκ τῶν τοῦ Δονάτου μερῶν πρὸς τὴν καθολικὴν ἐπιστρέψῃ, μὴ προκριματισθῇ περὶ τοῦ προορισθέντος χρόνου· ἀλλ' ἐξ ἧς ἡμέρας ἐπέστρεψεν, ἐχέτω ἐξουσίαν ἐντὸς τριετίας ἀναζητεῖν τοὺς τόπους τοὺς τῇ αὐτοῦ ἀνήκοντας καθέδρᾳ.

Περὶ τῶν ἀμελούντων τῶν αὐτοῖς ἀνηκόντων λαῶν.

ρκα' Ὡμοίως ἤρεσεν, ἵνα εἴ τινες δήποτε ἀμελοῦσι τῶν τόπων τῶν ἀνηκόντων τῇ αὐτῶν καθέδρᾳ etc. ut p. 212.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ι' κεφ. τοῦ ἡ τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. ΙΗ.

Περὶ τῶν πειρωμένων ἀθετεῖν τὰ ἐν Ἐφέσῳ πραχθέντα.

Συνόδου Ἐφέσου κανὼν ς'.

Ὁμοίως δὲ καὶ εἴ τινες βουληθεῖεν τὰ περὶ ἑκάστου πε- ς'
πραγμένα ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ ἐν Ἐφέσῳ οἱῳδήποτε τρό-
πῳ παρασαλεύειν, ἡ ἁγία σύνοδος ὥρισεν, εἰ μὲν ἐπίσκοποι
εἶεν ἢ κληρικοὶ, τοῦ οἰκείου παντελῶς ἀποπίπτειν βαθμοῦ·
εἰ δὲ λαϊκοὶ, ἀκοινωνήτους τυγχάνειν.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ γ' τοῦ παρόντος τίτ.

ΤΙΤΛΟΣ ΙΓ.

ΠΕΡΙ ΛΑΙΚΩΝ.

TITULUS XIII.

DE LAICIS.

ΚΕΦ. Α.

Περὶ τοῦ ἀποκινεῖσθαι τὸν λαϊκὸν τῆς ἁγίας κοινωνίας, ἐπὶ τρεῖς κυριακὰς ἐν πόλει διάγοντας, καὶ μὴ συνελθόντας τῇ ἐκκλησίᾳ.

Συνόδου Σαρδικῆς κανὼν ια'.

Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο δὲ ὁρίσαι ὀφείλομεν etc. ια'
ut p. 413.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν π'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβυτέρος, ἢ διάκονος, ἢ τῶν π'
ἐν κλήρῳ καταλεγομένων, ἢ λαϊκὸς, εἰ μηδεμίαν ἀνάγκην
βαρυτέραν ἔχει etc. ut p. 144.

ΚΕΦ. Β.

Περὶ λαϊκῶν δευτερογαμούντων, ἢ πολυγαμούντων, καὶ κεκωλυμμένων γάμων, καὶ μίξεως.

Ἀποστόλων κανὼν ιθ' μή.

ιθ' Ὁ δύο ἀδελφὰς ἀγόμενος ἢ ἀδελφιδὰς, οὐ δύναται εἶναι κληρικός. (ut p. 302, ubi corr. ἀδελφιδήν.)

μή' Εἴ τις λαϊκὸς τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλὼν ἑτέραν λάβει, ἢ παρὰ ἄλλου ἀπολελυμένην, ἀφοριζέσθω.

Συνόδου Ἀγκύρας κανὼν ις' ιζ'.

ις' Περὶ τῶν ἀλογευσαμένων ἢ καὶ ἀλογευομένων, ὅσοι πρὶν εἰκοσαετεῖς γενέσθαι ἥμαρτον, πεντεκαίδεκα ἔτεσιν ὑποπεσόντες, κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχὰς· εἶτα ἐν τῇ κοινωνίᾳ διατελέσαντες ἔτη πέντε, τότε καὶ τῆς προσφορᾶς ἐφαπτέσθωσαν· ἐξεταζέσθω δὲ αὐτῶν καὶ ὁ ἐν τῇ ὑποπτώσει βίος, καὶ οὕτως τυγχανέτωσαν τῆς φιλανθρώπιας· εἰ δέ τινες κατακόρως ἐν τοῖς ἁμαρτήμασι γεγόνασι, τὴν μακρὰν ἐχέτωσαν ὑπόπτωσιν· ὅσοι δὲ ὑπερβάντες τὴν ἡλικίαν ταύτην, καὶ γυναῖκας ἔχοντες περιπεπτώκασι τῷ ἁμαρτήματι, πέντε καὶ εἴκοσι ἔτεσιν ὑποπεσόντες, κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχὰς· εἶτα ἐκτελέσαντες πέντε ἔτη ἐν τῇ κοινωνίᾳ τῶν εὐχῶν, τυγχανέτωσαν τῆς προσφορᾶς· εἰ δέ τινες καὶ γυναῖκας ἔχοντες, καὶ ὑπερβάντες τὸν πεντηκονταετῆ χρόνον ἥμαρτον, ἐπὶ τῇ ἐξόδῳ τοῦ βίου τυγχανέτωσαν τῆς κοινωνίας.

ιζ' Τοὺς ἀλογευσαμένους καὶ λεπρούς ὄντας, ἤτοι λεπρώσαντας τούτους, προσέταξεν ἡ ἁγία σύνοδος εἰς τοὺς χειμαζομένους εὔχεσθαι.

Συνόδου Νεοκαισαρείας κανὼν β' γ' δ' ζ'.

Γυνὴ ἐὰν γήμηται δύο ἀδελφοῖς etc. ut p. 322. β'

Περὶ τῶν πλείστοις γάμοις περιπιπτόντων, ὁ μὲν χρόνος γ'
σαφὴς ὁ ὡρισμένος· ἡ δὲ ἀναστροφὴ καὶ ἡ πίστις αὐτῶν,
συντέμνει τὸν χρόνον.

Ἐὰν πρόθηταί τις ἐπιθυμήσας γυναικὸς, συγκαθευδῆσαι δ'
αὐτῇ, μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτοῦ ἡ ἐνθύμησις, φαίνεται
ὅτι ὑπὸ τῆς χάριτος ἐρρύσθη.

Πρεσβύτερον εἰς γάμον δεγαμοῦντος, μὴ ἑστιᾶσθαι etc. ζ'
ut p. 224.

Συνόδου Λαοδικείας κανὼν α' ι' λα'.

Περὶ τοῦ δεῖν κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, τοὺς ἐλευ- α'
θερίους καὶ νομίμως συναφθέντας δευτέρους γάμους, μὴ λα-
θρογαμίαν ποιήσαντες, ὀλίγου χρόνου παρελθόντος σχολα-
σάντων ταῖς προσευχαῖς καὶ νηστείαις, κατὰ συγγνώμην
ἀποδίδοσθαι αὐτοῖς τὴν κοινωνίαν ὡρίσαμεν.

Περὶ τοῦ μὴ δεῖν τοὺς τῆς ἐκκλησίας ἀδιαφόρως πρὸς ι'
γάμου κοινωνίαν συνάπτειν τὰ ἑαυτῶν παιδία αἱρετικοῖς.

Ὅτι οὐ δεῖ πρὸς πάντας αἱρετικοὺς etc. ut p. 396. λα'

Συνόδου Χαλκηδόνος κανὼν ις'.

Παρθένον ἑαυτὴν ἀναθεῖσαν etc. ut p. 261. ις'

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν νγ' νδ' οβ' ψή'.

Ἐπειδὴ μείζων ἡ κατὰ πνεῦμα οἰκειότης τῆς τῶν σω- νγ'
μάτων συναφείας, ἔγνωμεν δὲ ἔν τισι τόποις τινὰς ἐκ τοῦ
ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας ἀναδεχομένους,
μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικὸν συν-
αλλάσσοντας συνοικέσιον, ὁρίζομεν ἀπὸ τοῦ παρόντος μηδὲν
τοιοῦτον πραχθῆναι· εἰ δέ τινες μετὰ τὸν παρόντα κανόνα
φωραθεῖεν τοῦτο ποιοῦντες, πρωτοτύπως μὲν οἱ τοιοῦτοι ἀφι-

στάσθωσαν τοῦ παρανόμου τούτου συνοικεσίου, ἔπειτα δὲ καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβληθήτωσαν.

νδ' Τῆς θείας ἡμᾶς οὕτω σαφῶς ἐκδιδασκούσης γραφῆς, οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, ὁ θεσφιλὴς Βασίλειος τινὰ τῶν ἀπηγορευμένων γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, σιωπῇ τὰ πλεῖστα παραδραμὼν, καὶ κατ' ἀμφότερα κατασκευάσας ἡμῖν τὸ ὠφέλιμον· τὸ γὰρ τῶν αἰσχρῶν ὀνομασιῶν πλῆθος παραιτησάμενος, ὡς ἂν μὴ τὸν λόγον καταῤῥυπαίνει, τοῖς ῥήμασι γενικοῖς ὄγκον τῆς ἀκαθαρσίας διέλαβε, δι' ὧν περιεκτικῶς ἡμῖν τοὺς παρανόμους γάμους ὑπέδειξεν· ἐπειδὴ τῇ τοιαύτῃ σιωπῇ, καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις συνέχεε, συνείδομεν γυμνότερον τὰ περὶ τούτου ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρὶ, ἢ δύο κόραις ἀδελφαῖς πατέρα καὶ υἱὸν, ἢ ἀδελφοῖς δυσὶ μητέρα καὶ θυγατέρα, ἢ ἀλελφοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου.

οβ' Μὴ ἐξέσω ὀρθόδοξον ἄνδρα, αἱρετικῇ συνάπτεσθαι γυναικὶ etc. ut p. 397.

ψη' Ὁ ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, πρὸς γάμου κοινωνίαν ἀγόμενος, τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι.

Συνόδου τῆς ἐνώσεως κανὼν α' β' γ'.

α' Τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς, καὶ τὸν, εἴ τις ἐπὶ τοιοῦτον ἐλθεῖν συνοικέσιον προθυμηθείη, πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκ-

κλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν ἐπιμένει τῷ συνοικεσίῳ· τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε πατράσι, καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐνδηλοτέραν ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς χριστιανικῆς πολιτείας ἀποκηρύττομεν· ἀλλ' οὕτω μὲν περὶ τοῦ τετάρτου γάμου.

Ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ, καὶ τοῦ τῶν χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προσαγωγὴν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου ὥστε μὴ ἁπλῶς μὴ δὲ ὡς ἔτυχεν ἐπιτελεῖσθαι αὐτὸν· καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς πατράσιν, οὐπώ ποτε καθὼς νῦν γινομένου τοῦ πράγματος ἀπηρυθριασμένου, οὐδ' εἰς πλάτος ἐξηπλωμένου, ἀλλ' ὥσπερ εἴ τις ἐν σίκῳ παραπεπτωκὸς ἐν γωνίᾳ παρίδοι πολλάκις κείμενον ῥύπασμα· νῦν ὅτι χώραν ἔλαβε παῤῥησίας, καὶ ὡς οὐδὲν ἔχον εἰς ἀσχημοσύνην οὐδὲ ῥυπαῖνον λογίζεται, ἐκ τοῦ προβῆναι εἰς πληθυσμὸν, καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτὸ ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ παρερριμμένον ἀλλ' ἐξηπλωμένον ἐπὶ τῆς οἰκίας, οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν, καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν· καὶ τῇ ἀνθρωπίνῃ τοίνυν συνυπείκοντες ἀσθενείᾳ, καὶ τῆς πρεπούσης αἰσχύνης φροντίδα ποιούμενοι τῇ χριστιανῶν ζωῇ, τοῦτο ἐπὶ τῶν τριγάμων παραφυλάττεσθαι διορίζομεν, ὥστε εἴ τις πρὸς τεσσαρακοστὸν ἀναβεβηκὼς ἔτος, καὶ μήτε τὴν φύσιν αἰδούμενος, μήτε τῆς ὀφειλομένης χριστιανοῖς εἰκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γενόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιῤῥίπτοι γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως, μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμ- β

νεσθαι τὸν χρόνον· ὃς γὰρ μετὰ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἶναι καὶ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; ἀλλὰ γὰρ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως, οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἢ ἐν μόνῃ τῇ τοῦ σωτῆρος καὶ θεοῦ ἡμῶν ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν ὅσον δυνατὸν ἀνακάθαρσιν· ταῦτα δὲ φαμὲν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων, τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος, τρίτην ἄγεσθαι προσηρημένοις γυναῖκα· ἐπεὶ ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία· λίαν γάρ ἐστιν ἄδικον, τὸν μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς καὶ τὸ ἄλυπον καὶ ἀτάραχον, καὶ ὅσον εἶδε τὸ ἀνθρώπινον καταλαμβάνειν ἐκ τῆς πολυσπόρου τεκνώσεως· καὶ εἴ τις δὲ τριακονταετὴς ὢν, καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων, τρίτῃ συνάπτοιτο γυναικὶ, καὶ οὗτος ἀσυγχώρητος μέχρι τετάρτου ἔτους τῆς κοινωνίας τῶν ἁγιασμάτων, καὶ ἀμέτοχος ἔστω· διότι θῆλος ἐστὶν ἐξ οὐδενὸς ἑτέρου, ἀλλ' ὑπὸ ἀκρασίας κινούμενος, καὶ τοῦ θηλυς εἶναι σαρκικῆς ἐπιθυμίας, ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθών· καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται ἀπολαῦσαι· ἅπαξ μὲν, ἐν σωτηρίῳ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει· δεύτερον, ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου· καὶ τρίτον, ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν· διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος· εἰ δὲ παῖδες μὴ παρεί-

ησαν, ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται· ταῦτα μὲν καὶ περὶ τοῦ τρίτου γάμου.

γ' Οὐ μὴν οὐδὲ τὸν δεύτερον οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτως συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πενηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς, ἢ ἐκ προηγησαμένης λαθραίου φθορᾶς, ἀλλὰ νομίμως καὶ καθαρευόντας τῶν τοιούτων μολυσμάτων καὶ τῆς πορνικῆς ἀκαθαρσίας· εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας τύπων, πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν συνέλθοι, τοῦτον ἡ τοῦ Χριστοῦ ἐκκλησία ἡ καθαρὰ, καὶ μηδένα σπίλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑπερβάλλουσα ἑτασμοῖς, οὐ πρὶν εἰς μετάληψιν παραδέξεται μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον ἀκριβῶς ἐκπληρώσῃ· εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγει ἀναχώρησις, τουτέστι μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος· ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμὸν, δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας πάλιν εἰς τὸ ἀκινώνητον περιϊσταμένου, μέχρι τῆς συμπληρώσεως τοῦ ἑβδόμου ἔτους· ἀλλὰ τὰ σκάνδαλα δῆλον ταῦτα μὲν ὡς δεδήλωται ὑπὸ τῶν πάλαι βασιλευσάντων ἐπράχθησαν· νῦν δὲ τῇ τοῦ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος εὐδοκίᾳ καὶ χάριτι, καὶ ταῖς τῆς παναγίου καὶ θεομήτορος, καὶ ταῖς τοῦ μεγάλου ἀρχιστρατήγου πρεσβείαις, τοὺς ἤδη πρὸ ἐνενήκοντα χρόνων ἕνεκεν τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀπορραγέντας ἱερεῖς καὶ μονάζοντας, ἢ παγγάλπινος βασιλεία τῶν θεοστεφῶν βασιλέων ἡμῶν Βασιλείου καὶ Κων-

σταντίνου συνῆψε τὲ καὶ συνήνωσε, καὶ μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν εἰργάσατο· ὅθεν χρεὼν ἀνακηρύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τοιοῦτον θεοφιλὲς καὶ ἀξιόλογον ἔργον πεπληρωκότας.

Βασιλείου κανὼν δ' ιή' κγ' κδ' μα' ν' νγ' ξζ' ξή' οέ' ος' σή' οθ' π'.

δ' Περὶ τριγάμων καὶ πολυγάμων, τὸν αὐτὸν ὥρισαν κανόνα, ὃν καὶ ἐπὶ τῶν διγάμων ἀναλόγως· ἐνιαυτὸν μὲν γὰρ ἐπὶ τῶν διγάμων, ἄλλοι δὲ δύο ἔτη· τοὺς δὲ τριγάμους, ἐν τρισὶ καὶ τέτρασι πολλάκις ἔτεσιν ἀφορίζουσιν· ὀνομάζουσι δὲ τὸ τοιοῦτον οὐκέτι γάμον, ἀλλὰ πολυγαμίαν, μᾶλλον δὲ πορνείαν κεκολασμένην· διὸ καὶ ὁ κύριος τῇ σαμαρείτιδι πέντε ἄνδρας διαμειψάσῃ, ὃν νῦν, φησὶν, ἔχεις, οὐκ ἔζι σου ἀνήρ· ὡς οὐκέτι ἀξίων ὄντων τῶν ὑπερεκπεσόντων τοῦ μέτρου τῆς διγαμίας, τῷ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς καλεῖσθαι προσρήματι· συνήθειαν δὲ κατελάβομεν ἐπὶ τῶν τριγάμων, πενταετίας ἀφορισμὸν, οὐκ ἀπὸ κανόνος ἀλλ' ἀπὸ τῆς τῶν προειληφότων ἀκολουθεν· δεῖ δὲ μὴ πάντη αὐτοὺς ἀπείργειν τῆς ἐκκλησίας, ἀλλ' ἀκροάσεως αὐτοὺς ἀξιοῦν ἐν δύο που ἔτεσιν ἢ τρισὶ· καὶ μετὰ ταῦτα ἐπιτρέπειν συγκεῖσθαι μὲν, τῆς δὲ κοινωνίας τοῦ ἁγιάσματος ἀπέχεσθαι· καὶ οὕτως ἐπιδειξαμένους καρπόν τινα μετανοίας, ἀποκαθιζᾶν τῷ τόπῳ τῆς κοινωνίας.

ιή' Περὶ τῶν ἐκπεσουσῶν παρθένων etc. ut p. 372.

κγ' Περὶ δὲ τῶν δύο ἀδελφὰς γαμούντων ἢ ἀδελφαῖς δυσὶ γαμουμένων, ἐπιστολίδιον ἡμῖν ἐκπεφώνηται, οὗ τὸ ἀντίγραφον ἀπεστείλαμέν σου τῇ εὐλαβείᾳ· ὁ δὲ ἀδελφοῦ ἰδίου γυναῖκα λαβὼν, οὐ πρότερον δεχθήσεται πρὶν ἀποστῆναι αὐτῆς.

Χήραν τὴν καταλεγεῖσαν εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, κδ'
τουτέστι τὴν διακονουμένην ὑπὸ τῆς ἐκκλησίας, ἔκρινεν ὁ
ἀπόστολος γαμουμένην παρεραῖσθαι· ἀνδρὶ δὲ χηρεύσαντι,
οὐδεὶς ἐπίκειται νόμος, ἀλλ' ἱκανὸν τῷ τοιούτῳ τὸ τῶν δι-
γάμων ἐπιτίμιον· ἡ μέν τοι χήρα ἐξηκονταετὴς γεγονυῖα,
ἐὰν ἕληται πάλιν ἀνδρὶ συνοικεῖν, οὐ καταξιωθήσεται τῆς
τοῦ ἀγαθοῦ κοινωνίας, ἕως ἂν τοῦ πάθους τῆς ἀκαθαρσίας
παύσηται· ἐὰν μέν τοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐ-
τὴν, ἡμέτερον τὸ ἔγκλημα οὐ τοῦ γυναίου.

Ἡ ἐν τῇ χηρείᾳ ἐξουσίαν ἑαυτῆς ἔχουσα συνοικεῖν ἀν- μά'
δρὶ ἀνεγκλήτου, εἰ μηδείς ἐστιν ὁ διασπῶν τὸ συνοικέσιον·
τοῦ ἀποστόλου εἰπόντος, ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα
ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ.

Τριγαμίας νόμος οὐκ ἔστιν, ὥστε νόμῳ τρίτος γάμος οὐκ ν'
ἄγεται· τὰ μέν τοι τοιαῦτα, ὡς ῥυπάσματα τῆς ἐκκλησίας
ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ' ὑποβάλλομεν, ὡς τῆς
ἀνειμένης πορνείας αἱρετώτερα.

Ἡ χήρα δούλη οὐ μέγα τί ἔπταισεν, ἑλομένη δεύτερον νγ'
γάμον ἐν σχήματι ἁρπαγῆς· ὥσε οὐδὲν τούτου ἕνεκεν ἐγκα-
λεῖσθαι χρὴ· οὐ γὰρ τὰ σχήματα κρίνεται, ἀλλ' ἡ προαί-
ρεσις· δῆλον δὲ ὅτι τὸ τῆς διγαμίας μένειν αὐτὴν ἐπιτίμιον.

Ἡ ἀδελφομιξία τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται. ξζ'

Ἡ τῆς ἀπειρημένης συγγενείας εἰς γάμον ἀνθρώπων σύ- ξη'
στασις, εἰ φωραθείη ἐν ἁμαρτήμασι γεγενημένη, τὰ τῶν
μοιχῶν ἐπιτίμια δέξεται.

Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ ἐκ μητρὸς συμμιανθεὶς etc. οε'
ut p. 325.

Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμ- ος'
βανόντων.

οη' Ὁ αὐτὸς δὲ κρατείτω τύπος, καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων εἰς συνοικέσιον, εἰ καὶ κατὰ διαφόρους χρόνους.

οθ' Οἱ δὲ ταῖς μητρυιαῖς ἑαυτῶν ἐπιμαινόμενοι, τῷ αὐτῷ ὑπόκεινται κανόνι, ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς ἐπιμαινόμενοι.

π' Τὴν δὲ πολυγαμίαν οἱ πατέρες ἀπεσιώπησαν, ὡς κτηνώδη, καὶ παντελῶς ἀλλοτρίαν τοῦ γένους τῶν ἀνθρώπων· ἡμῖν δὲ παρίσταται, πλέον τί πορνείας εἶναι τὸ ἁμάρτημα· δηλονότι ἐνιαυτὸν προσκλαύσαντας, καὶ ἐν τρισὶν ἀκροασαμένους, καὶ ἐν τρισὶν ὑποπεσόντας, οὕτω δεκτοὺς εἶναι.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Διόδωρον ἐπιστολῆς τὸν Ταρσοῦ, κατὰ τῶν δύο ἀδελφὰς γαμούντων, ἢ ἀδελφοῖς δυσὶ γαμουμένων.

Ἀφίκετο ἡμῖν γράμματα, τὴν ἐπιγραφὴν ἔχοντα Διοδώρου **etc. ut p. 12.**

Θεοφίλου ἀρχιεπισκόπου Ἀλεξανδρείας, ἐκ τῆς πρὸς Ἀγάθιν ἐπιστολῆς.

Ἀγνοῶν τοὺς τῆς ἐκκλησίας νομους Μάξιμος, διϊσχυρίσατο παρανόμῳ συμβιώσει συνῆφθαι· καὶ ἐπειδὴ θεωρεῖ αὐτὸν τὸ ἀσύνακτον εἶναι, διεβεβαιώσατο, ἐπειδὴ ἀγνοίᾳ τὸ παράνομον ἔδρασεν, ἐκ συμφωνίας ἀπέχεσθαι τῆς παρανόμου συμβιώσεως, ἐκείνης ἀγαπώσης καὶ τοῦτο· ἐὰν τοίνυν δοκιμάσῃς ὅτι τοῦτο ποιοῦσιν ἐκ συμφωνίας, καὶ μὴ ἀπατῶσιν, ἐπειδὴ δεκαέτης ἐστὶ χρόνος, εἰ σκοπεῖς μετὰ κατηχουμένων αὐτοὺς συνάγεσθαι τέως, οὕτως διείκησον· εἰ δὲ συνερρᾷς ὅτι ἀπατῆσαι βεβούληνται, καὶ δεῖται τὰ κατ' αὐτοὺς ἔτι στύψεως, ὅπερ ὁ Θεὸς ὑποβάλλει σοι, τοῦτο ποίησον, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος· ἐπὶ γὰρ τῶν τόπων τυγχάνων, τὰς γνώμας αὐτῶν μᾶλλον εἰδέναι δύνασαι.

Ὁ πολιτικὸς νόμος οὐ κολάζει τὴν δευτερογαμίαν ἢ πολυγαμίαν, ἔκπτωσιν δὲ κερδῶν ἐπάγει τοῖς γονεῦσι δευτερογαμοῦσιν, ὑπόντων αὐτοῖς παίδων ἐκ τοῦ προτέρου συνοικεσίου· περὶ δὲ ὧν ἐν πλάτει διαλαμβάνει ὁ Θ' τίτ. τοῦ ε' βιβλ. τοῦ κώδ. καὶ ἡ περὶ γάμων γεαρὰ· ἡ δὲ γυνὴ πρὸς τούτοις ἀναγκάζεται μεῖναι τὸν πένθιμον χρόνον, τουτέστιν ἐνιαυτὸν, διὰ τὴν σύγχυσιν τῆς γονῆς· ὅπερ ἐπὶ τοῦ ἀνδρὸς οὐκ ἔστι· γαμοῦσα τοίνυν πρὸ συμπληρώσεως τοῦ ἐνιαυτοῦ μετὰ θάνατον τοῦ ἀνδρὸς, ἀτιμοῦται, καὶ οὐ δύναται πλέον τοῦ τρίτου τῆς οὐσίας αὐτῆς διδόναι τῷ δευτέρῳ ἀνδρὶ, ἢ ἐν διαθήκῃ καταλιπεῖν· καὶ αὐτὴ οὐδὲν ἕξει ἀπὸ κληρονομίας ἢ ληγάτου, ἢ **mortis causa** δωρεᾶς· ἀλλὰ ταῦτα λαμβάνουσιν οἱ κληρονόμοι τοῦ καταλιπόντος· καὶ εἴτι κατέλιπεν αὐτῇ ὁ πρῶτος ἀνὴρ, λαμβάνουσι κατὰ βαθμὸν τὰ δέκα πρόσωπα, ἀνιόντες καὶ κατιόντες καὶ ἐκ πλαγίου, μέχρι δευτέρου βαθμοῦ· ἐξ ἀδιαθέτου κληρονομεῖ τῶν συγγενῶν αὐτῆς μέχρι μόνου τρίτου βαθμοῦ, καὶ πάσης ἀξίας στερεῖται, καὶ τῶν ἀπὸ τοῦ πρώτου ἀνδρὸς εἰς αὐτὴν ἐλθόντων προφάσει **sponson**, ἢ κατὰ βούλησιν τοῦ τελευτήσαντος· μηδενὸς τῶν εἰρημένων δέκα προσώπων εὑρισκομένου, χώρα τῷ φίσκῳ· οὔτε τῆς πρὸ γάμου δωρεᾶς ἀπολαύει· εἰ δὲ καὶ κληρονόμος ἐγράφη, εἰ μὲν μηρικὴ, τὸ μέρος αὐτῆς παρὰ τοῖς συγκληρονόμοις μένει· εἰ δὲ μόνη ἐγράφη, εἰς τοὺς ἐξ ἀδιαθέτου ὁ κλῆρος ἔρχεται· ἡ δὲ ἀτιμία λύεται, δεήσεως παρ' αὐτῆς τῷ βασιλεῖ προσαγομένης, καὶ αὐτοῦ φιλοτιμουμένου τοῦτο· παίδων δὲ αὐτῇ ἐκ τοῦ προτέρου συνοικεσίου ὑπόντων, οὐκ ἄλλως τῆς τοιαύτης τεύξεται φιλοτιμίας, καὶ τῶν ἄλλων ποινῶν καὶ τῆς ἀτιμίας ἀπαλλαγήσεται, εἰ μὴ τῆς οὔσης αὐτῇ οὐσίας ἐν τῷ δευτερογαμεῖν, τοῖς παισὶ δω-

ρήσεται κατὰ χρῆσιν καὶ δεσποτείαν, ὡς βιβλ. ε' τοῦ κώδ. τίτ. θ', διάτ. α' καὶ β', καὶ ἐν τῇ περὶ γάμων νεαρᾷ· ἔζι δὲ καὶ ἀκινδύνως καὶ ἀξημίως ἐντὸς τοῦ πενθίμου χρόνου γαμεῖν, τουτέστιν ἀπὸ κελεύσεως βασιλέως· καὶ ὅτε ἐν τῷ πενθίμῳ χρόνῳ τέκῃ, ὡς βιβλ. γ' τῶν διάτ. τίτ. β' διάτ. ί, ια'· περὶ δὲ ἀθεμίτων καὶ κεκωλυμένων γάμων, διαλαμβάνει ὁ ε' καὶ ὁ ς' καὶ ὁ ζ' τίτ. τοῦ ε' βιβλ. τοῦ κώδ. καὶ βιβλ. κγ' τίτ. β' διάτ. λή' να' νέ' ξζ'.

ΚΕΦ. Γ.

Περὶ τῶν ὑπονοσυσῶν ἀποθανεῖν τοὺς ἄνδρας αὐτῶν ἀπολιμπανομένους, καὶ γαμουσῶν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιγ'.

ιγ' Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς καὶ ἀφανοῦς ὄντος, πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ, ἑτέρῳ συνοικοῦσα μοιχᾶται· ὡσαύτως καὶ στρατιώτιδες αἱ τῶν ἀνδρῶν ἀφανῶν ὄντων γαμηθεῖσαι, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ᾧπερ καὶ αἱ διὰ τὴν ἀποδημίαν τοῦ ἀνδρὸς μὴ ἀναμείνασαι τὴν ἐπάνοδον· πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν· ἡ δὲ τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς κατὰ ἄγνοιαν γημαμένη, εἶτα ἀφεθεῖσα, διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσε μὲν, ἐν ἀγνοίᾳ δὲ· γάμου γοῦν οὐκ εἰρχθήσεται· κάλλιον δὲ ἐὰν μείνῃ οὕτως· εἰ δέ γε ὁ στρατιώτης ἐπανέλθοι χρόνῳ ποτὲ, οὗ ἡ γυνὴ διὰ τὴν ἐπὶ πολὺ ἐκείνου ἀπόλειψιν ἑτέρῳ συνήφθη ἀνδρὶ, οὗτος εἰ προαιρεῖται, τὴν οἰκείαν ἂν ὅθις ἀπολαβέτω γυναῖκα, συγγνώμης αὐτῇ ἐπὶ τῇ ἀγνοίᾳ διδομένης, καὶ τῷ ταύτην εἰσεικισαμένῳ κατὰ δεύτερον γάμον ἀνδρί.

Βασιλείου κανὼν λα΄ λς΄ μς΄.

λα΄ Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς καὶ ἀφανοῦς ὄντος, πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ ἑτέρῳ συνοικήσασα, μοιχᾶται.

λς΄ Στρατιώτιδες αἱ τῶν ἀνδρῶν ἀφανῶν ὄντων γαμηθεῖσαι, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ᾧπερ καὶ αἱ διὰ τὴν ἀποδημίαν τῶν ἀνδρῶν μὴ ἀναμείνασαι τὴν ἐπάνοδον· πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν.

μς΄ Ἡ δὲ τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς κατὰ ἄγνοιαν γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσε μέν, ἐν ἀγνοίᾳ δὲ γάμου οὖν οὐκ εἰρχθήσεται· κάλλιον δὲ ἂν μείνῃ οὕτως.

Ἡ περὶ ῥεπσυδίων διαλεγομένη ῥᾴ νεαρὰ φησὶν, ὡς ἐὰν στρατιώτης, ἢ σχολάριος, ἢ φοιδεράτος, ἢ ἄλλως ἔνοπλος, ἐν ἐξπεδίτῳ διάγει ὁσουσδήποτε ἐνιαυτοὺς, περιμενέτω αὐτὸν ἡ αὐτοῦ γαμετὴ, κἂν μὴ γράμματα ἢ ἀπόκρισιν ἐδέξατο παρ' αὐτοῦ· εἰ δὲ ἀκούσει αὐτὸν τελευτῆσαι, μὴ γαμείτω, εἰ μὴ πρότερον δι' ἑαυτῆς, ἢ τῶν γονέων αὐτῆς, ἢ ἑτέρου ἀξιοπίστου τοὺς πριόρας τοῦ ἀριθμοῦ, καὶ τοὺς χαρτουλαρίους ἐν ᾧ στρατεύεται, καὶ τὸν τριβοῦνον ἐρωτήσῃ εἰ τῇ ὀληθείᾳ ἐτελεύτησε· κἀκεῖνοι τῶν ἁγίων εὐαγγελίων προκειμένων κατάθωνται αὐτὸν τελευτῆσαι· καὶ τὴν πρᾶξιν ἡ γυνὴ λαμβανέτω, καὶ μετὰ τὸ λαβεῖν μενέτω ἐνιαυτὸν, καὶ τότε νομίμως γαμείτω· εἰ δὲ παρὰ ταύτην τὴν διάστιξιν γαμήσει, καὶ αὐτὴ καὶ ὁ λαβὼν αὐτὴν, ὡς μοιχοὶ τιμωροῦνται· εἰ δὲ οἱ καταθέμενοι δειχθῶσι ψευσάμενοι, ἀποστρατεύονται, καὶ δέκα λιτρῶν ποινὴν διδόασιν ᾧ εἶπον ἀποθανεῖν· καὶ ἔχει ἄδειαν, εἰ βούλοιτο, τὴν ἰδίαν ἀναλαβεῖν

γαμετὴν· εἰ δὲ σχολάριος ἦν, παρὰ τῶν πρώτων τῆς σχολῆς καὶ τοῦ ἀκτουαρίου ἡ λεχθεῖσα γινέσθω κατάθεσις· εἰ δὲ φοιδεράτος, παρὰ τοῦ ὀπτίονος αὐτοῦ.

ΚΕΦ. Δ.

Περὶ τῶν διαζευγνυμένων.

Ἀποστόλων κανὼν ε'.

ε' Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα, μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας· ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω.

Συνόδου Γάγγρας κανὼν ιδ'.

ιδ' Εἴ τις γυνὴ καταλιμπάνει τὸν ἄνδρα, καὶ ἀναχωρεῖν ἐθέλοι βδελυττομένη τὸν γάμον, ἀνάθεμα ἔστω.

Συνόδου Καρθαγένης κανὼν ρβ'.

Περὶ τῶν τοὺς ἄνδρας ἢ τὰς γυναῖκας ἀπολυόντων ἵνα οὕτως μείνωσιν.

ρβ' Ἤρεσεν ὥστε κατὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν ἐπιστήμην, μήτε ὁ ἀπὸ γυναικὸς ἐαθεὶς, μήτε ἡ ἀπὸ ἀνδρὸς καταλειφθεῖσα ἑτέρῳ συζευχθῇ, ἀλλ' ἢ οὕτως μείνωσιν, ἢ ἑαυτοῖς καταλλαγῶσιν· οὗπερ ἐὰν καταφρονήσωσι, πρὸς μετάνοιαν καταναγκασθῶσιν· ἐν ᾧ πράγματι, νόμον βασιλικὸν ἐκτεθῆναι χρεών ἐστιν αἰτῆσαι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν πζ'.

πζ' Ἡ τὸν ἄνδρα καταλιποῦσα μοιχαλίς ἐστιν, εἰ ἐπ' ἄλλον ἦλθε, κατὰ τὸν ἱερὸν καὶ θεῖον Βασίλειον, ἐκ τῆς Ἱερεμίου προφητείας ἄριστα τοῦτο ἀναλεξάμενον, ὅτι ἐὰν γένηται γυνὴ ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται· καὶ πάλιν ὁ ἔχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβὴς· εἰ οὖν φανῇ τοῦ ἀνδρὸς ἀλόγως ἀναχω-

ρήσασα, ὁ μὲν συγγνώμης ἄξιος ἐστὶν, ἡ δὲ ἐπιτιμίων· ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται· ὁ μέν τοι καταλιμπάνων τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος, κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι· κεκανόνισται δὲ παρὰ τῶν πατέρων ἡμῶν, τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, καὶ τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσιν.

Βασιλείου κανὼν θ΄ λε΄ μὴ οζ΄.

Ἡ δὲ τοῦ κυρίου ἀπόφασις, κατὰ μὲν τὴν τῆς ἐννοίας ἀκολουθίαν, ἐξ ἴσου καὶ ἀνδράσι καὶ γυναιξὶν ἁρμόζει περὶ τοῦ μὴ ἐξεῖναι γάμου ἐξίστασθαι παρεκτὸς λόγου πορνείας· ἡ δὲ συνήθεια οὐχ' οὕτως ἔχει· ἀλλ' ἐπὶ μὲν τῶν γυναικῶν, πολλὴν εὑρίσκομεν τὴν ἀκριβολογίαν, τοῦ μὲν ἀποστόλου λέγοντος, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμα ἐστὶ· τοῦ δὲ Ἱερεμίου, ὅτι ἐὰν γένηται γυνὴ ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται· καὶ πάλιν ὁ ἔχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής· ἡ δὲ συνήθεια, καὶ μοιχεύσαντας ἄνδρας, καὶ ἐκ πορνείας ὄντας, κατέχεσθαι ὑπὸ γυναικῶν προστάσσει· ὥστε ἡ τῷ ἀφειμένῳ ἀνδρὶ συνοικοῦσα, οὐκ οἶδα εἰ δύναται μοιχαλὶς χηματίζειν· τὸ γὰρ ἔγκλημα ἐνταῦθα, τῆς ἀπολυσάσης τὸν ἄνδρα ἅπτεται, κατὰ ποίαν αἰτίαν· ἀπέστη τοῦ γάμου· εἴτε γὰρ τυπτομένη μὴ φέρουσα τὰς πληγὰς, ὑπομένειν ἐχρῆν μᾶλλον, ἢ διαζευχθῆναι τοῦ συνοικοῦντος· εἴτε τὴν εἰς τὰ χρήματα ζημίαν μὴ φέρουσα, οὐδὲ αὕτη ἡ πρόφασις ἀξιόλογος· εἰ δὲ διὰ τὸ ἐν πορνείᾳ αὐτὸν ζῆν, οὐκ ἔσχομεν τοῦτο ἐν τῇ συνηθείᾳ τῇ ἐκκλησιαστικῇ τὸ παρατήρημα· ἀλλὰ καὶ

9΄

ἀπίσου ἀνδρὸς χωρίζεσθαι οὐ προσετάχθη γυνὴ, ἀλλὰ παραμένειν διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως· τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ὥστε ἡ καταλιποῦσα, μοιχαλὶς εἰ ἐπ' ἄλλον ἦλθεν ἄνδρα· ὁ δὲ καταλειφθεὶς συγγνωστὸς, καὶ ἡ συνοικοῦσα τῷ τοιούτῳ οὐ κατακρίνεται· εἰ μέν τοι ὁ ἀνὴρ ὁ ἀποστὰς τῆς γυναικὸς ἐπ' ἄλλην ἦλθε, καὶ αὐτὸς μοιχὸς· διότι ποιεῖ αὐτὴν μοιχευσθῆναι, καὶ ἡ συνοικοῦσα αὐτῷ μοιχαλὶς, διότι ἀλλότριον ἄνδρα πρὸς ἑαυτὴν μετέστησεν.

λε' Ἐπὶ δὲ τοῦ καταλειφθέντος ἀνδρὸς ὑπὸ τῆς γυναικὸς, τὴν αἰτίαν χρὴ σκοπεῖν τῆς ἐγκαταλείψεως, κἂν φανῇ ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίου· ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται.

μη' Ἡ δὲ ἐγκαταλειφθεῖσα παρὰ τοῦ ἀνδρὸς, κατὰ τὴν ἐμὴν γνώμην μένειν ὀφείλει ἄγαμος· εἰ γὰρ ὁ κύριος εἶπεν, ἐάν τις καταλίπῃ γυναῖκα ἐκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι, ἐκ τοῦ μοιχαλίδα αὐτὴν ὀνομάσαι, ἀπέκλεισεν αὐτὴν τῆς πρὸς ἕτερον κοινωνίας· πῶς γὰρ δύναται ὁ μὲν ἀνὴρ ὑπεύθυνος εἶναι ὡς μοιχείας αἴτιος, ἡ δὲ γυνὴ ἀνέγκλητος εἶναι, ἡ μοιχαλὶς παρὰ τοῦ κυρίου διὰ τὴν πρὸς ἕτερον ἄνδρα κοινωνίαν προσαγορευθεῖσα;

οζ' Ὁ μέν τοι καταλιμπάνων τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος, κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι· κεκανόνισται δὲ παρὰ τῶν πατέρων ἡμῶν, τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσιν.

Περὶ διαζεύξεως γάμου, ἐν πολλοῖς τόποις ὁ πολιτικὸς

διαλέγεται νόμος (1), καὶ μάλιστα βιβλ. ιε΄ τίτ. β΄, καὶ βιβλ. ε΄ τοῦ κώδ. τίτ. ιζ΄, καὶ ἐν τῇ περὶ γάμων νεαρᾷ· τελειότερον δὲ ἡ φιζ΄ νεαρὰ, ῥητῶς ἐκτιθεμένη τὰς αἰτίας καθ' ἃς ὁ ἀνὴρ ἢ ἡ γυνὴ δύναται ῥεπουδίου στελλομένου, εὐλόγως λῦσαι τὸν γάμον· εἰσὶ δὲ αἰτίαι καθ' ἃς ὁ ἀνὴρ εὐλόγως στέλλει ῥεπούδιον, καὶ τὴν προῖκα κερδαίνει, τὴν δεσποτείαν αὐτῆς φυλάττων τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν εἴπερ εἰσὶν, ἐὰν σύνοιδε τινὰς ἐπιβουλεύοντας τῇ βασιλείᾳ, καὶ τῷ ἰδίῳ μὴ φανερώσῃ ἀνδρὶ· ἐὰν αὐτῆς περὶ μοιχείας κατηγορῇ καὶ ἀποδείξῃ· ἐὰν ἐν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ τοῦτο ἑτέροις συγγινώσκουσα, μὴ φανερώσῃ αὐτῷ· ἐὰν ἐξωτικοῖς ἀνδράσι συμποσιάζῃ ἢ συλλούηται μὴ βουλομένου τοῦ ἀνδρὸς· ἐὰν μὴ βουλομένου αὐτοῦ, ἔξω τοῦ οἴκου μείνῃ παρὰ τοῖς γονεῦσιν αὐτῆς· εἰ μὴ αὐτὸς χωρὶς τῶν εἰρημένων αἰτιῶν αὐτὴν ἐξώσῃ· ἡ δὲ γυνὴ στέλλει ῥεπούδιον, καὶ τὴν πρὸ γάμου δωρεὰν κερδαίνει, τὴν δεσποτείαν φυλάττουσα τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν εἴπερ εἰσὶν, ἐάν τι κατὰ τῆς βασιλείας βουλεύσηται· ἢ τοῦτο συνειδὼς, ἑτέροις μὴ φανερώσῃ τῇ βασιλείᾳ δι' ἑαυτοῦ ἢ δι'

(1) Leges civiles, ad divortium quod adtinet, haud raro repugnasse iuri ecclesiastico, immo divino et evangelico, nimis heu exploratum est. Ceteroqui pro doctrina et constante traditione ecclesiastica legantur, compendii gratia, quae docte scribuntur in insigni opere: tradition ou histoire de l'Eglise sur le sacrement du mariage T. III. p. 164. seqq. praecipueque p. 224. verba Nazianzeni ex orat. XXXI: *lex quidem omnes ob causas libellum dat repudii; at Christus non ob omnem causam, sed separari tantum ab adultera uxore permittit*: ὁ μὲν νόμος κατὰ πᾶσαν αἰτίαν τὸ ἀποστάσιον δίδωσι, Χριστὸς δ' οὐ κατὰ πᾶσαν αἰτίαν, ἀλλὰ συγχωρεῖ μὲν μόνον χωρίζεσθαι τῆς πόρνης. Idem infra dicendum ad ea quae de concubinatu referuntur ex legibus.

ἑτέρου· ἐὰν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτῆς ἐπιβουλεύσῃ, ἢ τοῦτο συνειδὼς ἑτέροις, μὴ φανερώσῃ αὐτῇ καὶ σπουδάσῃ κατὰ τοὺς νόμους ἐκδικῆσαι· ἐὰν τῇ σωφροσύνῃ αὐτῆς εἰς τὸ μοιχευθῆναι σπουδάσῃ ἐπιβουλεῦσαι· ἐὰν κατηγορήσας αὐτῆς ὁ ἀνὴρ περὶ μοιχείας, μὴ ἀποδείξῃ· ἐπὶ τούτου δὲ οὐ μόνον τὴν πρὸ γάμου δωρεὰν ὁ ἀνὴρ ζημιοῦται, ἀλλὰ καὶ ἕτερον τρίτον αὐτῆς, ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας· καὶ τὰς τιμωρίας ὑφίσταται, ἃς ἔμελλεν ἡ γυνὴ καταδικαζομένη ὑφίσασθαι· ἐὰν ἑτέρᾳ συνοικῇ ἐν τῷ αὐτῷ οἴκῳ ἢ τῇ αὐτῇ πόλει, καὶ παρ' αὐτῆς, ἢ δι' ἑτέρου ὑπομνησθεὶς μὴ ἀπόσχοιτο· καὶ ἐπὶ τούτου δὲ ἕτερον μέρος τῆς πρὸ γάμου δωρεᾶς κερδαίνει, καὶ αὐτοῦ τὴν δεσποτείαν φυλάττουσα τοῖς ἐπὶ γάμου παισὶν· ἐὰν οὖν παρὰ ταύτας τὰς αἰτίας ἀνὴρ στείλῃ ῥεπούδιον, ἀπόλλει τὴν δωρεὰν καὶ ἄλλο τρίτον αὐτῆς· εἰ δὲ ἡ γυνὴ στείλῃ ἄλογον ῥεπούδιον, ἀπόλλει τὴν προῖκα, καὶ πρὸς τούτοις μοναστηρίῳ ἐμβάλλεται πᾶσαν τὴν ζωὴν αὐτῆς, καὶ τὰ πράγματα αὐτῆς διαιροῦνται· καὶ οἱ μὲν παῖδες λαμβάνουσιν οὐγγίας ή', τὸ δὲ μοναστήριον οὐγγίας ὅ'· εἰ δὲ οὐκ εἰσὶ παῖδες ἀλλὰ γονεῖς μὴ συναινέσαντες τῷ ῥεπουδίῳ, αὐτοὶ μὲν λαμβάνουσιν οὐγγίας ὅ, τὸ δὲ μοναστήριον οὐγγίας ή'· εἰ δὲ συνήνεσαν, ὅλην τὴν οὐσίαν τὸ μοναστήριον λαμβάνει· δυνατὸν δὲ ταῦτα λέγειν καὶ ἐπὶ ἀνδρὸς ἀλόγως ῥεπουδιατεύοντος ἐκ τῆς ριζ' νεαρᾶς, λεγούσης ἴσας εἶναι τὰς ποινὰς τῶν ἀλόγων ῥεπουδίων· καὶ τὸν ἄνδρα ὁμοίως ὑποκεῖσθαι τοῖς κατὰ γυναικὸς ὁρισθεῖσιν· ἀζημίως διαλύεται γάμος, ἐὰν ὁ ἀνὴρ ἐπὶ τριετίαν μετὰ τὴν ἀρχὴν τοῦ γάμου μὴ δυνηθῇ τῇ γαμετῇ συγγενέσθαι, καὶ διὰ τὸ μονάσαι, καὶ ἐὰν ὁ ἀνὴρ αἰχμάλωτος γένηται, καὶ ἄθηλον μείνῃ ἐπὶ πενταετίαν εἰ ζῇ· τὸ δὲ κατὰ συναίνεσιν πρὸς τὸ

συμφωνούμενον λύειν τὸν γάμον, εἴρητο μὲν πρώην· ἀνηρέθη δὲ ἐκ τῆς εἰρημένης ριζ νεαρᾶς, αὖθις δὲ ἀνεκαινίσθη ὑπὸ Ἰουστινιανοῦ τοῦ βασιλέως· καὶ τὴν ἄπροικον γαμετὴν ὁ ἀνὴρ ἀλόγως ἐκβάλλων, δίδωσιν αὐτῇ τὸ τέταρτον τῆς αὐτοῦ περιουσίας τῆς καθαρᾶς· εἰ δὲ συμβῇ παῖδας εἶναι πλείονας τῶν τριῶν, οὐ τὸ τέταρτον ἀλλὰ παιδὸς ἑνὸς ἀναλογίαν λαμβάνει· οὐ δύναται δὲ τὸ διδόμενον αὐτῇ, ὑπερβαίνειν τὰς ρ τοῦ χρυσοῦ λίτρας· οὐχ ὑπόκειται δὲ τούτοις ἡ ἄπροικος γυνὴ, ἀλόγως τοῦ ἀνδρὸς ἀναχωροῦσα, ὡς ἡ αὐτὴ ριζ νεαρά· τοσοῦτον δὲ ἀκώλυτός ἐστιν ἡ τῶν γάμων διάλυσις, ὅτι εἴρηται βιβλ. με τίτ. α, διατ. ιε, ὡς ἐάν τις τῶν συνοικούντων ὁμολογῇ ποινὴν, ἐκ τοῦ παρ' αἰτίαν αὐτοῦ λυθῆναι τὸν γάμον, οὐκ ἔρρωται· ἀρκεῖ γὰρ ἡ τῷ νόμῳ ἐπὶ τῶν τοιούτων ὡρισμένη ποινή· εἰ μὴ ἄρα καὶ ἡ ἐπερώτησις τοσαύτην περιέχει· καὶ διάτ. ρλδ τοῦ αὐτοῦ τίτ. ὅτι οὐ καλῶς ἐπερωτῶ τινὰ ποινὴν ἐκ τοῦ μὴ γαμηθῆναι μοι· οὔτε μὴν τὴν ἤδη γαμηθεῖσαν μοι, ποινὴν ἐπερωτᾷν δύναμαι, ἐὰν λύσῃ τὸν γάμον· τὰ αὐτὰ καὶ περὶ γυναικὸς ἐπερωτώσης τὸν ἄνδρα· καὶ βιβλ. ἡ τοῦ κώδ. τίτ. λη, διάτ. β, ὅτι ἀνισχύρως τίς πακτεύει μὴ ἐξεῖναι αὐτῷ λῦσαι τὸν γάμον, καὶ οὐκ ἔρρωται ἡ ἐπὶ τούτῳ ἐπερωτηθεῖσα ποινή.

ΚΕΦ. Ε.

Περὶ πορνείας, καὶ μοιχείας, καὶ φθορᾶς, καὶ ἀρρενοκοιτίας.

Ἀποστόλων κανὼν ξα'.

Εἴ τις κατηγορία γένηται κατὰ πιστοῦ πορνείας ἢ μοιχείας ἢ ἄλλης τινὸς ἀπηγορευμένης πράξεως, καὶ ἐλεγχθείη, εἰς κλῆρον μὴ προαγέσθω. ξα'

Συνόδου Ἀγκύρας κανὼν κ'.

κ' Ἐάν τινος γυνὴ μοιχευθῇ, ἢ μοιχεύσῃ τίς, ἐν ἑπτὰ ἔτεσι δεῖ αὐτὸν τοῦ τελείου τυχεῖν, κατὰ τοὺς βαθμοὺς τοὺς πρσάγοντας.

Συνόδου Νεοκαισαρείας κανὼν η'.

η' Γυνὴ τινὸς μοιχευθεῖσα λαϊκοῦ ὄντος, ἐὰν ἐλεγχθῇ φανερῶς, ὁ τοιοῦτος εἰς ὑπηρεσίαν ἐλθεῖν οὐ δύναται· ἐὰν δὲ μετὰ τὴν χειροτονίαν μοιχευθῇ, ὀφείλει ἀπολῦσαι αὐτήν· ἐὰν δὲ συζῇ, οὐ δύναται ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ ὑπηρεσίας.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν πς' πζ' ψη'.

πς' Τοὺς ἐπὶ ψυχῶν ὀλίσθῳ etc. ut p. 277.

πζ' Ἡ τὸν ἄνδρα καταλιποῦσα μοιχαλίς ἐστιν etc. ut p. 416.

ψη' Ὁ ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα etc. ut p. 406.

Βασιλείου κανὼν ζ' ιή' κά' κβ' κέ' κς' λ' λδ' λζ' λθ' μθ' νή' νθ' ξβ' οζ'.

ζ Ἀρρενοφθόροι, καὶ ζωοφθόροι, καὶ φονεῖς, καὶ φαρμακοὶ, καὶ μοιχοὶ, καὶ εἰδωλολάτραι, τῆς αὐτῆς καταδίκης εἰσὶν ἠξιωμένοι· ὥστε ὃν ἔχεις ἐπὶ τῶν ἄλλων τύπον, καὶ ἐπὶ τούτων φύλαξον· τοὺς δὲ ἐν τριάκοντα ἔτεσι μετανοήσαντας ἐπὶ τῇ ἀκαθαρσίᾳ ἣν ἐν ἀγνοίᾳ ἔπραξαν, οὐδ' ἀμφιβάλλειν ἡμᾶς προσῆκεν εἰς τὸ παραδέξασθαι· ἥ τε γὰρ ἁγνεια συγγνώμης αὐτοὺς ἀξίους ποιεῖ, καὶ τὸ ἑκούσιον τῆς ἐξαγορεύσεως, καὶ ἡ παράτασις ἡ ἐν τοσούτῳ χρόνῳ γενομένη· σχεδὸν γὰρ ἕλην γενεὰν ἀνθρώπου παρεδόθησαν τῷ σατανᾷ, ἵνα παιδευθῶσι μὴ ἀσχημονεῖν· ὥςε κέλευσον αὐτοὺς ἤδη ἀνυπερθέτως δεχθῆναι, μάλιστα εἰ καὶ δάκρυα ἔχουσι δυσωποῦντά σου τὴν εὐσπλαγχνίαν, καὶ βίον ἐπιδείκνυνται ἄξιον συμπαθείας.

Περὶ τῶν ἐκπεσουσῶν παρθένων etc. ut p. 372. ιη'

Εἰ ἀνὴρ γυναικὶ συνοικῶν, ἐπειδὰν μὴ ἀρκεσθεὶς τῷ γά- κα'
μῳ εἰς πορνείαν ἐμπέσῃ, πόρνον κρίνομεν τὸν τοιοῦτον· καὶ πλεῖον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις· οὐ μέν τοι ἔχομεν κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπαγαγεῖν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται· διότι ἡ μοιχαλὶς μὲν μιαινομένη φησὶ μιανθήσεται, καὶ οὐκ ἀναστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, καὶ ὁ κατέχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβὴς· ὁ μέν τοι πορνεύσας, οὐκ ἀποκλεισθήσεται τῆς πρὸς τὴν γυναῖκα αὐτοῦ συνοικήσεως· ὥστε ἡ μὲν γυνὴ ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς παραδέξεται, ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν, τῶν οἴκων ἑαυτοῦ ἀποπέμψει· καὶ τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος, ἡ δὲ συνήθεια οὕτω κεκράτηκεν.

Τοὺς ἐξ ἁρπαγῆς ἔχοντας γυναῖκας, εἰ μὲν ἄλλοις προ- κβ'
μεμνηστευμένας εἶεν ἀφῃρημένοι, οὐ πρότερον χρὴ παραδέχεσθαι, πρὶν ἢ ἀφελέσθαι αὐτὰς αὐτῶν, καὶ ἐπ' ἐξουσίᾳ τῶν ἐξ ἀρχῆς μνηστευσαμένων ποιῆσαι, εἴτε βούλοιντο λαβεῖν αὐτὰς, εἴτε ἀποστῆναι· εἰ δὲ σχολάζουσάν τις λάβοι, ἀφαιρεῖσθαι μὲν δεῖ καὶ τοῖς οἰκείοις ἀποκαθιστᾶν· ἐπιτρέπειν δὲ τῇ γνώμῃ τῶν οἰκείων, εἴτε γονεῖς εἶεν, εἴτε ἀδελφοὶ, εἴτε οἱτινεσοῦν προεζῶτες τῆς κόρης· κἂν μὲν ἕλωνται αὐτῷ παραδοῦναι, ἴσασθαι τὸ συνοικέσιον· ἐὰν δὲ ἀνανεύωσι, μὴ βιάζεσθαι· τὸν μέν τοι ἐκ διαφορᾶς εἴτε λαθραίας εἴτε βιαιοτέρας γυναῖκα ἔχοντα, ἀνάγκη τὸ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμιον· ἔστι δὲ ἐν τέσσαρσιν ὡρισμένη τοῖς πορνεύουσιν ἡ ἐπιτίμησις· χρὴ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν, καὶ προσκλαίειν αὐτοὺς τῇ θύρᾳ τῆς ἐκκλησίας· τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν· τῷ τρίτῳ εἰς μετάνοιαν·

τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ, ἀπεχομένους τῆς προσφορᾶς, εἶτα αὐτοὺς ἐπιτρέπεσθαι τὴν κοινωνίαν τοῦ ἁγιάσματος.

κα' Ὁ τὴν διεφθαρμένην ὑφ' ἑαυτοῦ εἰς γυναῖκα κατέχων, τὸ μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται, τὴν δὲ γυναῖκα ἔχειν συγχωρηθήσεται.

κβ' Ἡ πορνεία γάμος οὐκ ἔστιν, ἀλλ' οὐδὲ γάμου ἀρχή· ὥστε ἐὰν ἦ δυνατὸν τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον· ἐὰν δὲ στέργωσιν ἐκ παντὸς τρόπου τὸ συνοικέσιον, τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν, ἀφιέστωσαν δὲ ἵνα μὴ χεῖρον τί γένηται.

κγ' Περὶ τῶν ἁρπαζόντων, κανόνα μὲν παλαιὸν οὐκ ἔχομεν, ἰδίαν δὲ γνώμην ἐποιησάμεθα, τρία ἔτη καὶ αὐτοὺς καὶ τοὺς συναρπάζοντας αὐτοῖς, ἔξω τῶν εὐχῶν γίνεσθαι· τὸ δὲ μὴ βιαίως γενόμενον, ἀνεύθυνόν ἐστιν ὅταν μὴ φθορὰ ᾖ, μὴ δὲ κλοπὴ ἡγουμένη τοῦ πράγματος· αὐτεξουσία δὲ ἡ χήρα καὶ ἐπ' αὐτῇ τὸ ἀκολουθῆσαι· ὥστε τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον.

κδ' Τὰς μοιχευθείσας καὶ ἐξαγορευούσας etc. ut p. 325.

κε' Μετὰ τὸ ἀφαιρεθῆναι τὴν ἀλλοτρίαν ὁ γαμήσας, ἐπὶ μὲν τῇ πρώτῃ μοιχείᾳ, ἐγκληθήσεται· ἐπὶ δὲ τῇ δευτέρᾳ, ἀνεύθυνος ἔσται.

κς' Ἡ τῷ μοιχῷ συζῶσα, μοιχαλίς ἐστι πάντα τὸν χρόνον.

κζ' Αἱ πρὸς ἀνάγκην γενόμεναι φθοραὶ, ἀνεύθυνοι ἔσωσαν· ὥστε καὶ ἡ δούλη εἰ ἐβιάσθη παρὰ τοῦ οἰκείου δεσπότου, ἀνεύθυνός ἐστιν.

κη' Ὁ μοιχεύσας, ἐν δέκα καὶ πέντε ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων, ἐν τέσσαρσι μὲν προσκλαίων ἔτεσιν, ἐν πέντε δὲ ἀκροώμενος, ἐν τέσσαρσιν ὑποπίπτων, ἐν δυσὶ συνεστὼς, ἄνευ κοινωνίας.

Ὁ πόρνος ἐν ἑπτὰ ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων, δύο προσκλαίων, καὶ δύο ἀκροώμενος, καὶ δύο ὑποπίπτων, καὶ ἑνὶ συνεστὼς· μόνον τῷ ὀγδόῳ δεχθήσεται εἰς κοινωνίαν. νθ΄

Ὁ τὴν ἀσχημοσύνην ἐν τοῖς ἄῤῥεσιν ἐπιδεικνύμενος, τὸν χρόνον τοῦ ἐν τῇ μοιχείᾳ παρανομοῦντος οἰκονομηθήσεται. ξβ΄

Ὁ μέν τοι καταλιμπάνων etc. ut p. 418. οζ΄

Γρηγορίου Νύσσης κεφ. γ΄.

Τῶν δὲ δι' ἐπιθυμίαν τὲ καὶ ἡδονὴν γινομένων ἁμαρτημάτων τοιαύτη ἐστὶν ἡ διαίρεσις etc. ut p. 327. γ΄

Περὶ φθορᾶς καὶ μοιχείας καὶ ἀῤῥηνοκοιτίας διαλαμβάνει ὁ νόμος, βιβλ. Δ΄ τοῦ κώδ. τίτ. Θ΄, καὶ βιβλ. μή τίτ. ε΄, κεφαλικὴν τοῖς ταῦτα πλημμελοῦσιν ἐπάγων τιμωρίαν, ἔνθα εἴρηται ὅτι τὸ μοιχικὸν, οὐ μόνον ἐπὶ φθορᾷ νομίμου γαμετῆς κινεῖται, ἀλλὰ καὶ ἐπὶ ἀσυστάτου καὶ ἀθεμίτου γάμου καὶ μνηστείας καὶ παλλακισμοῦ· ἡ μέν τοι πορνεία οὐκ ἐπαινεῖται μὲν παρὰ τῷ πολιτικῷ νόμῳ, οὐκ ἀπηγόρευται δὲ· ἀμέλει εἴρηται βιβλ. ιβ΄, τίτ. ε΄, διάτ. ϑ΄, ὅτι τὸ διδόμενον πόρνῃ, οὐκ ἀποδίδεται· ἐπειδὴ γάρ ἐστι πόρνη, οὐκ ἔστιν αἰσχρὸν τὸ λαβεῖν αὐτὴν, εἰ καὶ αἰσχρόν ἐστι τὸ εἶναι αὐτὴν πόρνην· καὶ βιβλ. λϑ΄ τίτ. ε΄, διάτ. ς΄, ὅτι καὶ διὰ ἄσεμνον αἰτίαν γίνεται καλῶς δωρεὰ, οἷον εἰς πόρνην, καὶ ἔῤῥωται· καὶ βιβλ. μζ΄ τίτ. β΄ διάτ. λϑ΄, ὅτι ὁ ἁρπάζων ἢ ἀποκρύπτων ἀλλοτρίαν δούλην πόρνην οὖσαν, οὔτε ὡς ἀνδραποδιστὴς, οὔτε ὡς κλέπτης ἐνέχεται· οὐ γὰρ κλοπῆς ἀλλ' ἡδονῆς χάριν ἐποίησε τοῦτο· εἰ γὰρ καὶ θυρίδας τίς κλάσει, καὶ εἰσελθόντες ἕτεροι μὴ παρ' αὐτοῦ εἰσαχθέντες κλέψουσι τὰ πράγματα αὐτῆς, οὐκ ἐνέχεται ὡς κλέπτης· λέγει δὲ καὶ βιβλ. λή΄, τίτ. η΄, ὅτι οἱ πορνογεν-

νεῖς οὐ μόνον τῆς μητρὸς, ἀλλὰ καὶ τῶν κατὰ μητέρα συγγενῶν κληρονομοῦσι, καὶ ὑπ' αὐτῶν κληρονομοῦνται· ἡ δὲ ἑλλουσρία νομίμους ἔχουσα παῖδας πορνογεννεῖς, οὐδὲν δύναται παρασχεῖν τοῖς πορνογεννέσιν, οὔτε ζῶσα, οὔτε τελευτῶσα, ὡς βιβλ. ς' τοῦ κώδ. τίτ. νζ', διάτ. ε'· ὁ δὲ ἀπὸ πορνείας, οὔτε λέγεται ἔχειν πατέρα, ὡς βιβλ. α', τίτ. ε', διάτ. κγ'· ὁ μέν τοι παλλακισμὸς νόμιμός ἐστι, κἀκείνας ἔχειν δυνάμεθα παλλακὰς ἄνευ ἐγκλήματος, πρὸς ἃς οὐ πλημμελεῖται ἀθέμιτον, οἷον τὴν παλλακὴν τοῦ ἰδίου πατρὸς ἢ πάππου, ἢ τὴν θυγατέρα τῆς ἰδίας ἀδελφῆς, ὡς βιβλ. κέ, τίτ. ζ', καὶ βιβλ. κγ', τίτ. β', διάτ. νέ, καὶ βιβλ. μή τίτ. α', διάτ. ια'· παλλακεύονται δὲ αἱ ἀπελεύθεροι καὶ εὐγενεῖς ἄσημοι· ὁ γὰρ εὐγενῆ καὶ σεμνὴν παλλακευόμενος, χρήζει περὶ τούτου ποιεῖν ἐκμαρτύριον, ἐπεὶ γαμετὴν αὐτὴν ἔχει· καὶ ἢ τοῦτο ϖαραιτούμενος, ἀθέμιτον ϖρὸς αὐτὴν πλημμελεῖ, οὐ μὴν καὶ μοιχείαν, ἐπειδὴ τὸ τῆς παλλακῆς ὄνομα τοῖς νόμοις ἔγνωσται· ὅθεν εἴρηται βιβλ. ς' τοῦ κώδ. τίτ. νζ', διάτ. ε', ὅτι ἡ ἐλευθέρα νομίμως ἐλευθέρῳ παλλακευθεῖσα, τοὺς ἐκ τῆς τοιαύτης συναφείας τεχθέντας, ἕξει κληρονόμους μετὰ τῶν νομίμων παίδων· καὶ ἁπλῶς εἰπεῖν πολλὰ περὶ τῶν ἀπὸ παλλακῶν τικτομένων, ἤγουν νόθων καὶ φυσικῶν, ὁ νόμος ἐν τῷ κώδ. καὶ ταῖς νεαραῖς διαλαμβάνει, διδάσκων τίνες εἰσὶ, καὶ πῶς δύνανται γενέσθαι τῷ πατρὶ γνήσιοι, καὶ πότε καὶ πόσον δύνανται λαβεῖν τῶν τοῦ πατρὸς πραγμάτων, καὶ δούλας δὲ ἰδίας δυνάμεθα παλλακεύεσθαι· εἴρηται γὰρ βιβλ. ς', τίτ. ς', διάτ. ϑ', ὅτι ἡ τῷ δεσπότῃ μέχρι τελευτῆς αὐτοῦ παλλακευθεῖσα, μὴ ἔχοντα γαμετὴν νόμιμον, ἁρπάζεται μετὰ τῶν παίδων αὐτῆς εἰς εὐγένειαν, καὶ λαμβάνει τὸ πεκούλιον ὅπερ εἶχεν ἐν

τῷ τελευτᾷν τὸν δεσπότην πρὸς τὸ νόμιμον μέτρον· καὶ οὐκ ἔχουσι κατ' αὐτῆς πατρωνικὸν δίκαιον οἱ παῖδες, ἢ εἰ κληρονόμοι, ἢ οἱ συγγενεῖς τοῦ τελευτήσαντος· καὶ βιβλ. ζ' τοῦ αὐτοῦ κώδ. τίτ. ιε', διάτ. γ' φησὶν, ὅτι ὁ δούλην παλλακὴν μέχρι τελευτῆς ἐσχηκὼς, δύναται περιὼν, ὅπερ ἐθέλει ποιεῖν ἐπ' αὐτῇ, καὶ τοῖς ὡς εἰκὸς ἐξ αὐτῆς τεχθεῖσι, καὶ ἐν τελευταίᾳ βουλήσει καταλιμπάνειν ἄλλῳ, ἢ ῥητῶς τῷ κληρονόμῳ· εἰ δὲ τελευτήσει μηδὲν εἰπών, ἀναρπόζονται εἰς ἐλευθερίαν καὶ οἱ ὡς εἰκὸς τεχθέντες· ταῦτα ἐν ᾧ μὴ ἔσχεν ὁ τελευτήσας νόμιμον γαμετὴν· ὁ γὰρ νόμιμον ἔχων γαμετὴν, οὔτε ἐλευθέραν, οὔτε δούλην δύναται παλλακεύεσθαι· τὸ δὲ μοιχικὸν κινεῖται καὶ περὶ φθορᾶς παλλακῆς, ὡς βιβλ. μή', τίτ. ε', διάτ. ιβ' ιγ'· παλλακὴ δέ ἐστιν ἡ νομίμως τινὶ συζῶσα χωρὶς γάμου· ἡ δὲ ἧττον τιμιωτέρα, παράκοιτις λέγεται, ὡς βιβλ. ν', τίτ. ιβ', διάτ. ρμδ'.

ΚΕΦ. ς.

Ἐὰν γυνὴ λαϊκοῦ μοιχευθῇ.

Συνόδου Ἀγκύρας κανὼν κ'.

Ἐάν τινος γυνὴ μοιχευθῇ ἢ μοιχεύσῃ τίς, ἐν ἑπτὰ ἔτεσι δεῖ αὐτὸν τοῦ τελείου τυχεῖν, κατὰ τοὺς βαθμοὺς τοὺς πρεσάγοντας. κ'

Συνόδου Νεοκαισαρείας κανὼν ή'.

Γυνὴ τινὸς μοιχευθεῖσα λαϊκοῦ ὄντος etc. ut p. 422. ή'

Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ λβ' κεφ. τοῦ α' τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. Ζ.

Περὶ φθορᾶς, καὶ γάμου χήρας, καὶ τίς λέγεται χήρα.

Βασιλείου κανὼν τὴ κδ'.

ιη' Περὶ τῶν ἐκπεσουσῶν παρθένων etc. ut p. 372.

κδ' Χήραν τὴν καταλεγεῖσαν etc. ut p. 411.

ΚΕΦ. Η.

Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων, ἢ βιαζομένων, ἢ φθειρόντων παρθένους, καὶ περὶ συνιζόρων αὐτῶν.

Ἀποστόλων κανὼν ξζ'.

ζξ' Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχει etc. ut p. 308.

Συνόδου Ἀγκύρας κανὼν ια' κέ.

ια' Τὰς μνηστευθείσας κόρας etc. ut p. 308.

κε' Μνηστευσάμενός τις κόρην etc. ut p. 308.

Συνόδου Χαλκηδόνος κανὼν κζ'.

κζ' Τοὺς ἁρπάζοντας γυναῖκας etc. ut p. 275.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιβ'.

ιβ' Τοὺς ἁρπάζοντας γυναῖκας etc. ut p. 308.

Βασιλείου κανὼν κβ' λ' νγ'.

κβ' Τοὺς ἐξ ἁρπαγῆς ἔχοντας γυναῖκας etc. ut p. 423.

λ' Περὶ τῶν ἁρπαζόντων, κανόνα μὲν παλαιὸν οὐκ ἔχομεν etc. ut p. 424.

νγ' Ἡ χήρα δούλη etc. ut p. 411.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λ' κεφ. τοῦ θ' τίτ. τούτου τοῦ συντάγματος.

ΚΕΦ. Θ.

Περὶ τῶν παρὰ γνώμην τῶν οἰκείων γονέων ἢ δεσποτῶν γαμούντων.

Βασιλείου κανὼν λή μ' μβ'.

Αἱ κόραι αἱ παρὰ γνώμην πατρὸς ἀκολουθήσασαι, πορ- λη'
νεύουσι· διαλλαγέντων δὲ τῶν γονέων, δοκεῖ θεραπείαν λαμβάνειν τὸ γεγονός· οὐκ εὐθὺς δὲ εἰς τὴν κοινωνίαν ἀποκαθίστανται, ἀλλ' ἐπιτιμηθήσονται τρία ἔτη.

Ἡ παρὰ γνώμην τοῦ δεσπότου ἀνδρὶ ἑαυτὴν ἐκδιδοῦσα, μ'
ἐπόρνευσεν· ἡ δὲ μετὰ ταῦτα πεπαῤῥησιασμένῳ γάμῳ χρησαμένη, ἐγήματο· ὥστε ἐκεῖνο μὲν πορνεία, τοῦτο δὲ γάμος· αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσιῶν, οὐδὲν ἔχουσι βέβαιον.

Οἱ ἄνευ τῶν κρατούντων γάμοι, πορνεῖαι εἰσιν· οὔτε οὖν μβ'
πατρὸς ζῶντος, οὔτε δεσπότου, οἱ συνιόντες ἀνεύθυνοι εἰσὶν· ὥστε ἐὰν ἐπινεύσωσιν οἱ κύριοι τὴν συνοίκησιν, τότε λαμβάνει ὁ γάμος τὸ βέβαιον.

Ἡ ὑπεξουσία ἢ ὁ ὑπεξούσιος, οὐ δύνανται νομίμως γαμεῖν, μὴ συναινοῦντος τοῦ ἔχοντος αὐτοὺς ὑπεξουσίους, ὡς βιβλ. ε' τοῦ κώδ. τίτ. δ', καὶ βιβλ. κγ', τίτ. β'· εἰ μὴ γεγονυῖαν τὴν θυγατέρα κε' ἐνιαυτῶν ὑπερέθετο ζεῦξαι· τότε γὰρ ἑαυτὴν ἐλευθέρῳ ζεῦξαι δύναται, ὡς ἡ περὶ τῶν ἐπὶ κλήρῳ ἀχαμιστιῶν ρβ'.

ΚΕΦ. Ι.

Περὶ πορνευσῶν καὶ ἀναιρουσῶν τὰ τικτόμενα.

Συνόδου Ἀγκύρας κανὼν κά.

Περὶ τῶν γυναικῶν τῶν ἐκπορνευουσῶν καὶ ἀναιρουσῶν τὰ κά
γεννώμενα, καὶ σπουδαζουσῶν φθόρια ποιεῖν, ὁ μὲν πρότε-

ρος ὅρος μέχρις ἐξόδου ἐκώλυε, καὶ τούτῳ συντίθενται· φιλανθρωπότερον δέ τι εὑρόντες, ὡρίσαμεν δεκαετῆ χρόνον κατὰ τοὺς βαθμοὺς τοὺς ὡρισμένους πληρῶσαι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιϛ'.

ιϛ' Τὰς τὰ ἀμβλωθρίδια διδούσας φάρμακα, καὶ τὰς δεχομένας τὰ ἐμβρυκτόνα θηλητήρια, τῷ τοῦ φονέως ἐπιτιμίῳ καθυποβάλλομεν.

Βασιλείου κανὼν β' ἡ νβ'.

β' Ἡ φθείρασα κατ' ἐπιτήδευσιν, φόνου δίκην ὑπέχει· ἀκριβολογία γὰρ ἐκμεμορφωμένου καὶ ἀνεξεικονίστου παρ' ἡμῖν οὐκ ἔστιν· ἐνταῦθα γὰρ ἐκδικεῖται οὐ μόνον τὸ γεννησόμενον, ἀλλὰ καὶ αὐτὴ ἡ ἑαυτῆ ἐπιβουλεύσασα· διότι ὡς ἐπὶ πολὺ ἐναποθνήσκουσι ταῖς τοιαύταις ἐπιχειρήσεσιν αἱ γυναῖκες· πρόσεστι δὲ τούτῳ καὶ ἡ φθορὰ τοῦ ἐμβρύου, ἕτερος φόνος κατά γε τὴν ἐπίνοιαν τῶν ταῦτα τολμώντων· δεῖ μέν τοι μὴ μέχρι τῆς ἐξόδου παρατείνειν αὐτῶν τὴν ἐξομολόγησιν, ἀλλὰ δέχεσθαι μὲν τῶν δέκα ἐτῶν τὸ μέτρον· ὁρίζειν δὲ μὴ χρόνῳ, ἀλλὰ τρόπῳ τῆς μετανοίας τὴν θεραπείαν.

η' Ὁ ἀξίνῃ παρὰ τὸν θυμὸν κατὰ τῆς ἑαυτοῦ γαμετῆς χρησάμενος, φονεύς ἐστιν· καλῶς δέ με ὑπέμνησας καὶ ἀξίως τῆς ἑαυτοῦ συνέσεως, εἰπεῖν περὶ τούτων πλατύτερον· διότι πολλαὶ ἐν τοῖς ἑκουσίοις καὶ τοῖς ἀκουσίοις διαφοραί· ἀκούσιον μὲν γάρ ἐστι παντελῶς καὶ πόρρω τοῦ κατάρξαντος, τὸ ἀκοντίσαι λίθον ἐπὶ κύνα ἢ δένδρον, καὶ ἀνθρώπου τυχεῖν· ἡ μὲν γὰρ ὁρμὴ ἦν τὸ θηρίον ἀμύνασθαι, ἢ τὸν καρπὸν κατασεῖσαι· ὑπέβη δὲ αὐτομάτως τῇ πληγῇ κατὰ πάροδον ὁ παραπεσών· ὥστε τὸ τοιοῦτον ἀκούσιον· ἀκούσιον μέν τοι, καὶ εἴ τις βουλόμενος ἐπισρέψαι τινὰ, ἱμάντι ἢ ῥάβδῳ μὴ σκληρῶς τύπτοι, ἀποθάνοι δὲ ὁ τυπτόμενος· ἡ γὰρ πρό-

θεσις ἐνταῦθα σκοπεῖται, ὅτι βελτιῶσαι ἠβούλετο τὸν ἁμαρτάνοντα, οὐκ ἀνελεῖν· ἐν τοῖς ἀκουσίοις ἔστι καὶκεῖνο, τὸ ἀμυνόμενόν τινα ἐν μάχῃ, ξύλῳ, ἢ χειρὶ, ἀφειδῶς ἐπὶ τὰ καίρια τὴν πληγὴν ἐνεγκεῖν, ὥςε κακῶσαι αὐτὸν, οὐχ' ὥςε παντελῶς ἀνελεῖν· ἀλλὰ τοῦτο ἤδη προσεγγίζει τῷ ἑκουσίῳ· ὁ γὰρ τοσούτῳ χρησάμενος ὀργάνῳ πρὸς ἄμυναν, ἢ ὁ μὴ πεφεισμένως τὴν πληγὴν ἐπαγαγὼν, θῆλος ἐστὶ διὰ τὸ κεκρατῆσθαι ὑπὸ τοῦ πάθους ἀφειδῶς τοῦ ἀνθρώπου· ὁμοίως καὶ ὁ ξύλῳ βαρεῖ καὶ ὁ λίθῳ μείζονι τῆς δυνάμεως τῆς ἀνθρωπίνης χρησάμενος, τοῖς ἀκουσίοις ἐναριθμεῖται, ἄλλο μέν τι προελόμενος, ἄλλο δέ τι ποιήσας· ὑπὸ γὰρ τοῦ θυμοῦ τοιαύτην ἤνεγκε τὴν πληγήν· ὥστε ἀνελθεῖν τὸν πληγέντα, καί τοι ἡ σπουδὴ ἦν αὐτῷ συντρίψαι τυχὸν, οὐχὶ δὲ καὶ παντελῶς θανατῶσαι· ὁ μέν τοι ξίφει χρησάμενος, ἢ φτινιοῦν τοιούτῳ, οὐδεμίαν ἔχει παραίτησιν· καὶ μάλιςα ὁ τὴν ἀξίνην ἀκοντίσας· καὶ γὰρ οὐδὲ ἀπὸ χειρὸς φαίνεται πλήξας, ὥςε τὸ μέτρον τῆς πληγῆς ἐπ' αὐτῷ εἶναι, ἀλλ' ἠκόντισεν· ὥστε καὶ τῷ βάρει τοῦ σιδήρου, καὶ τῇ ἀκμῇ, καὶ τῇ διὰ πλείςου φορᾷ, ὀλεθρίαν ἀναγκαίως τὴν πληγὴν γενέσθαι· ἑκούσιον δὲ πάλιν παντελῶς, καὶ οὐδεμίαν ἀμφιβολίαν ἔχον, οἷον ἐστὶ τὸ τῶν ληστῶν καὶ τὸ τῶν πολεμικῶν ἐφόδων· οὗτοι μὲν γὰρ διὰ χρήματα ἀναιροῦσι, τὸν ἔλεγχον ἀποφεύγοντες· οἵ τε ἐν τοῖς πολέμοις ἐπὶ φόνους ἔρχονται, οὔτε φεβῆσαι, οὔτε σωφρονῆσαι, ἀλλ' ἀνελεῖν τοὺς ἐναντιουμένους ἐκ τοῦ φανεροῦ προαιρούμενοι· καὶ μέν τοι κἂν δι' ἄλλην τινὰ αἰτίαν περίεργον, φάρμακόν τις ἐγκεράσῃ, ἀνέλῃ δὲ, ἑκούσιον τιθέμεθα τὸ τοιοῦτον, οἷον πιοῦσιν αἱ γυναῖκες πολλάκις ἐπασιδαῖς τισι καὶ καταδέσμοις, πρὸς τὸ ἑαυτῶν φίλτρον ἐπάγεσθαι πειρώμεναι, καὶ προδιδοῦσαι αὐ-

τοῖς φάρμακα, σκότωσιν ἐμποιοῦντα ταῖς διανοίαις· αἱ τοιαῦται ἀνελοῦσαι, εἰ καὶ ἄλλο προελόμεναι, ἄλλο ἐποίησαν, ὅμως διὰ τὸ περίεργον καὶ ἀπηγορευμένον τῆς ἐπιτηδεύσεως, ἐν τοῖς ἑκουσίως φονεύουσι καταλογίζονται· καὶ αἱ τοίνυν τὰ ἀμβλωθρίδια διδοῦσαι φάρμακα, φονεύτριαι εἰσὶ καὶ αὐταὶ, καὶ αἱ δεχόμεναι τὰ ἐμβροκτόνα θηλήτηρια.

νβ' Ἡ τοῦ κυήματος κατὰ τὴν ὁδὸν ἀμελήσασα, εἰ μὲν δυναμένη περισώσασθαι κατεφρόνησεν, ἢ συγκαλύψειν τὴν ἁμαρτίαν ἐντεῦθεν νομίζουσα, ἢ ὅλως θηριώδει καὶ ἀπανθρώπῳ λογισμῷ χρησαμένη, ὡς ἐπὶ φόνῳ κρινέσθω· εἰ δὲ σὺκ ἠδυνήθη περιστεῖλαι, καὶ διὰ ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων διεφθάρη τὸ γεννηθὲν, συγγνωστὴ ἡ μήτηρ.

Εἴρηται βιβλ. μζ', τίτ. ιά, διάτ. δ', ὅτι ἡ ἐπίτηδες ἐκτρώσασα, προσκαίρως ἐξορίζεται· τὸ αὐτὸ καὶ βιβλ. μή, τίτ. ή, διάτ. ή· ἐν δὲ τῇ λϑ' διάτ. τοῦ ιϑ' τίτ. τοῦ μή βιβλ. φησὶν, ὅτι ἡ ἐπὶ χρήμασιν ἐκτρώσασα, κεφαλικῶς τιμωρεῖται· ἡ δὲ μετὰ διαζύγιον πρὸς μῖσος τοῦ ἀνδρὸς τοῦτο ποιήσασα, προσκαίρως ἐξορίζεται· καὶ διάτ. λή τοῦ αὐτοῦ τίτ. ὅτι ὁ πόμα δεδωκὼς πρὸς ἀμβλωθρίδιον, ἐυτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ ἐξορίζεται μετὰ μερικῆς δημεύσεως· ἐσχάτη δὲ τιμωρία ἐπάγεται, ἐάν τις ἀπέθανεν ἐκ τούτου· ταῦτα, κἂν χωρὶς δόλου τὸ πόμα δέδωκεν.

ΚΕΦ. ΙΑ.

Περὶ τῶν βδελυττομένων τὸν γάμον καὶ κρέας καὶ οἶνον.

Ἀποστόλων κανὼν να'.

να' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου καὶ κρεῶν etc. ut p. 259.

Συνόδου Γάγγρας κανὼν α' β' δ' θ' ι'.

Εἴ τις τὸν γάμον μέμφοιτο, καὶ τὴν καθεύδουσαν μετὰ α'
τοῦ ἀνδρὸς αὐτῆς, οὖσαν πιστὴν καὶ εὐλαβῆ, βδελύσσοιτο
ἢ μέμφοιτο, ὡς ἂν μὴ δυναμένους εἰς βασιλείαν εἰσελθεῖν,
ἀνάθεμα ἔστω.

Εἴ τις ἐσθίοντα κρέα, χωρὶς αἵματος καὶ εἰδωλοθύτου β'
καὶ πνικτοῦ μετ' εὐλαβείας καὶ πίστεως, κατακρίνοι, ὡς ἂν
διὰ τὸ μεταλαμβάνειν ἐλπίδα μὴ ἔχοντα, ἀνάθεμα ἔστω.

Εἴ τις διακρίνοιτο παρὰ πρεσβυτέρου γεγαμηκότος, μὴ δ'
χρῆναι λειτουργήσαντος αὐτοῦ προσφορᾶς μεταλαμβάνειν,
ἀνάθεμα ἔστω. (ut p. 140.)

Εἴ τις παρθενεύοι ἢ ἐγκρατεύοιτο, ὡς ἂν βδελυκτῶν τῶν θ'
γάμων ἀναχωρήσας, καὶ μὴ δι' αὐτὸ τὸ καλὸν καὶ ἅγιον
τῆς παρθενίας, ἀνάθεμα ἔστω.

Εἴ τις τῶν παρθενευόντων διὰ τὸν κύριον, κατεπαίρατο ι'
τῶν γεγαμηκότων, ἀνάθεμα ἔστω.

Βασιλείου κανὼν κη' πε'.

Ἐκεῖνο γε μὴν γελοῖον κατεφάνη, τὸ εὔξασθαι τινὰ ὑείων κη'
ἀπέχεσθαι κρεῶν· ὥστε καταξίωσον διδάσκειν αὐτοὺς τῶν
ἀπαιδεύτων προσευχῶν καὶ ἐπαγγελιῶν ἀπέχεσθαι· τὴν μέν
τοι χρῆσιν, ἀδιάφορον εἶναι συγχώρησον· οὐδὲν γὰρ κτίσμα
Θεοῦ ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον· ὥστε ἡ εὐχὴ
καταγέλαστος, οὐχ' ἡ ἀποχὴ ἀναγκαία.

Τοῖς δὲ κομψοῖς Ἐγκρατίταις πρὸς τὸ σεμνὸν αὐτῶν πρό- πε'
βλημα, διὰ τί καὶ οὐχ' ἡμεῖς πάντα ἐσθίομεν, ἐκεῖνο λε-
γέσθω· ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα· κατὰ
μὲν γὰρ τὴν ἀξίαν, λάχανα χόρτου ἡμῖν ἐστὶ τὰ κρέα·
κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχά-
νοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν· οὕτω καὶ ἐν

τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν, ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων· οὔτε κυνὸς ἅψαιτο, μὴ μεγάλης ἀνάγκης κατεπειγούσης· ὡς ὅ γε φαγὼν οὐκ ἠνόμησε.

ΚΕΦ. ΙΒ.

Περὶ λαϊκῶν ἑαυτοὺς ἀκρωτηριαζόντων.

Ἀποστόλων κανὼν κβ' κδ'.

κβ' Ὁ ἀκρωτηριάσας ἑαυτὸν, μὴ γινέσθω κληρικὸς· αὐτοφονευθὴς γάρ ἐστιν ἑαυτοῦ, καὶ τῆς τοῦ Θεοῦ δημιουργίας ἐχθρός. (ut p. 53.)

κδ' Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας, ἀφοριζέσθω ἔτη τρία· ἐπίβουλος γάρ ἐστι τῆς ἑαυτοῦ ζωῆς. (ut p. 265.)

Συνόδου Νικαίας κανὼν α'.

α' Εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη etc. ut p. 54. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιδ' κεφ. τοῦ α' τίτ. τοῦ παρόντος συνταγμάτος.

ΚΕΦ. ΙΓ.

Περὶ λαϊκῶν ἐσθιόντων εἰδωλόθυτα, ἢ κρέας ἐν αἵματι, ἢ πνικτὰ, ἢ θηριάλωτα, ἢ θνησιμαῖα.

Ἀποστόλων κανὼν ξγ'.

ξγ' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, φάγῃ κρέα etc. ut p. 272.

Συνόδου Ἀγκύρας κανὼν γ'.

γ' Τοὺς φεύγοντας καὶ συλληφθέντας etc. ut p. 282.

Συνόδου Γάγγρας κανὼν β'.

β' Εἴ τις ἐσθίοντα κρέα χωρὶς αἵματος etc. ut p. 433.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξζ'.

Θεία ἡμῖν γραφὴ ἐνετείλατο etc. ut p. 283. ξζ

Γρηγορίου τοῦ Θαυματουργοῦ ἐκ τῆς ἐπιστολῆς τῆς περὶ τῶν εἰδωλόθυτα φαγόντων κανὼν α'.

Οὐ τὰ βρώματα ἡμᾶς βαρεῖ, ἱερὲ πάππα, εἰ ἔφαγον οἱ α'
ἀϊχμάλωτοι ταῦτα, ἅπερ παρετίθεσαν αὐτοῖς οἱ κρατοῦντες αὐτῶν· μάλιστα ἐπειδὴ εἷς λόγος παρὰ πάντων, τοὺς καταδραμόντας τὰ ἡμέτερα μέρη βαρβάρους, εἰδώλοις μὴ τεθυκέναι· ὁ δὲ ἀπόστολος φησὶν, τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· ἀλλὰ καὶ ὁ σωτὴρ ὁ πάντα καθαρίζων τὰ βρώματα, οὐ τὸ εἰσπορευόμενον φησὶ κοινοῦ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον.

Βασιλείου κανὼν πα'.

Ἐπειδὴ δὲ πολλοὶ ἐν τῇ τῶν βαρβάρων καταδρομῇ παρ- πα'
έβησαν τὴν εἰς Θεὸν πίστιν, ὅρκους ἐθνικοὺς τελέσαντες, καὶ ἀθεμίτων τινῶν γευσάμενοι, τῶν ἐν τοῖς εἰδώλοις τοῖς μαγικοῖς προσενεχθέντων αὐτοῖς, οὗτοι κατὰ τοὺς ἤδη παρὰ τῶν πατέρων ἡμῶν ἐξενεχθέντας κανόνας, εἰ μὲν ἀνάγκην χαλεπὴν ἐκ βασάνων ὑπομείναντες, καὶ μὴ φερόντες τοὺς πόνους, καὶ αἰκισθέντες πρὸς τὴν ἄρνησιν ἦλθον, ἐν τρισὶν ἔτεσιν ἀδέκτους εἶναι, καὶ ἐν δυσὶν ἀκροᾶσθαι, καὶ ἐν τρισὶν ὑποπεσόντας, οὕτως δεκτοὺς γενέσθαι εἰς τὴν κοινωνίαν· εἰ δὲ ἄνευ ἀνάγκης μεγάλης προδόντες τὴν εἰς Θεὸν πίστιν, καὶ ἁψάμενοι τῆς τραπέζης τῶν δαιμονίων, καὶ ὀμόσαντες ὅρκους ἑλληνικοὺς, ἐκβάλλεσθαι μὲν ἐν τρισὶν ἔτεσι, καὶ ἐν δυσὶν ἔτεσιν ἀκροᾶσθαι, ἐν ὑποπτώσει δὲ εὐξαμένους ἐν τρισὶν ἔτεσι, καὶ ἐν ἄλλοις τρισὶ συστάντας τοῖς πιστοῖς εἰς τὴν δέησιν, οὕτω δεκτοὺς εἶναι τῇ τοῦ ἀγαθοῦ κοινωνίᾳ.

ΚΕΦ. ΙΔ.

Περὶ λαϊκοῦ ὑβρίζοντος βασιλέα.

Ἀποστόλων κανὼν πδ'.

πδ' Ὃς τις ὑβρίσει βασιλέα etc. ut p. 266.

Τῆς ἐπὶ Φωτίου συνόδου κανὼν γ'.

γ' Εἴ τις τῶν λαϊκῶν αὐθεντήσας, καὶ καταφρενήσας μὲν τῶν θείων καὶ βασιλικῶν προσταγμάτων, καταγελάσας δὲ καὶ τῶν φρικτῶν τῆς ἐκκλησίας θεσμῶν τε καὶ νόμων, τολμήσειεν ἐπίσκοπόν τινα τύψαι, ἢ φυλακίσαι, ἢ χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔζω.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λς' κεφ. τοῦ Θ' τίτ. τοῦ παρόντος συνταγμάτος.

ΚΕΦ. ΙΕ.

Περὶ ὀρθοδόξων λαμβανόντων εὐλογίας ἀπὸ αἱρετικῶν ἢ ἰουδαίων, ἢ συνεορταζόντων ἰουδαίοις· καὶ ὅτι οὐ δεῖ τοῖς σαββάτοις σχολάζειν, ἀλλὰ κατὰ τὸ δυνατὸν τῇ κυριακῇ· καὶ περὶ τῶν εὐχομένων ἐν μοναστηρίοις ἢ ἐκκλησίαις αἱρετικῶν.

Ἀποστόλων κανὼν ξε' ο'.

ξε' Εἴ τις κληρικὸς ἢ λαϊκὸς εἰσέλθοι εἰς συναγωγὴν ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω καὶ ἀφοριζίσθω. (ut p. 266.)

ο' Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, νηστεύοι μετὰ ἰουδαίων etc. ut p. 266.

Συνόδου Λαοδικείας κανὼν Θ' κθ' λβ' λδ' λζ' λη' λθ'.

θ' Περὶ τοῦ μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια etc. ut p. 394.

Ὅτι οὐ δεῖ χριστιανοὺς ἰουδαΐζειν etc. ut p. 181. κθ'

Ὅτι οὐ δεῖ αἱρετικῶν εὐλογίας λαμβάνειν, αἵ τινές εἰσιν λβ'
ἀλογίαι μᾶλλον ἢ εὐλογίαι. (ut p. 394.)

Ὅτι οὐ δεῖ πάντα χριστιανὸν ἐγκαταλείπειν μάρτυρας λδ'
Χριστοῦ etc. ut p. 395.

Ὅτι οὐ δεῖ παρὰ τῶν αἱρετικῶν ἢ ἰουδαίων τὰ πεμπό- λζ'
μενα ἑορταστικὰ λαμβάνειν, μὴ δὲ συνεορτάζειν αὐτοῖς.
(ut p. 394.)

Ὅτι οὐ δεῖ παρὰ τῶν ἰουδαίων ἄζυμα λαμβάνειν, ἢ κοι- λη'
νωνεῖν ταῖς ἀσεβείαις αὐτῶν. (ut p. 394.)

Ὅτι οὐ δεῖ τοῖς ἔθνεσι συνεορτάζειν καὶ κοινωνεῖν τῇ λθ'
ἀθεότητι αὐτῶν. (ut p. 394.)

Συνόδου Καρθαγέννης κανὼν ξ'.

Περὶ τοῦ ἀφελέσθαι τὰ τῶν ἑλλήνων συμπόσια.

Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι παρὰ τῶν χριστιανῶν βα- ξ
σιλέων, ἐπειδὴ παρὰ τὰ θεῖα παραγγέλματα ἐν πολλοῖς τό-
ποις συμπόσια οὕτως ἐπιτελοῦνται, ἐκ τῆς ἐθνικῆς πλάνης
προενεχθέντα, ὡς καὶ χριστιανοὺς τοῖς ἔθνεσι λάθρα προσ-
συνάγεσθαι ἐπὶ τῇ τούτων τελετῇ, ἵνα κελεύσωσι τὰ τοιαῦ-
τα κωλυθῆναι καὶ ἐκ τῶν πόλεων καὶ ἐκ τῶν κτήσεων, μά-
λιστα ὅτι καὶ ἐν αὐτοῖς τοῖς γενεσίοις τῶν μακαρίων μαρ-
τύρων ἀνά τινας πόλεις καὶ εἰς αὐτοὺς τοὺς ἱεροὺς τόπους
τοιαῦτα πλημμελεῖν οὐχ ὑφορῶνται· ἐν αἷς ἡμέραις, ὃ καὶ
λέγειν αἰσχύνη ἐστὶν, ὀρχήσεις μυσαρὰς εἰς τοὺς ἀγροὺς καὶ
εἰς τὰς πλατείας ἐκτελοῦσιν, ὥστε τῇ τῶν οἰκοδεσποινῶν
τιμῇ, καὶ ἄλλων ἀναριθμήτων γυναικῶν τῇ αἰδοῖ τῶν εὐλα-
βῶς εἰς τὴν ἁγίαν ἡμέραν παραγενομένων, λάγναις ὕβρεσιν
ἐφορμᾷν, ὡς καὶ αὐτῆς τῆς ἁγίας πίστεως σχεδὸν φεύγε-
σθαι τὴν προσέλευσιν.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιε΄ κεφ. τοῦ γ΄ τίτ. τοῦ παρόντος συντάγματος, καὶ δ΄ κεφ. τοῦ ζ΄ τίτ.

ΚΕΦ. Ις.

Περὶ λαϊκῶν πειρωμένων μὴ εἶναι τοὺς κληρικοὺς τῶν μοναστηρίων καὶ πτωχείων καὶ μαρτυρείων, ὑπὸ τὴν ἐξουσίαν ἐν ταῖς πόλεσιν ἐπισκόπων.

Συνόδου Χαλκηδόνος κανὼν ή΄.

η΄ Οἱ κληρικοὶ τῶν πτωχείων καὶ μοναστηρίων καὶ μαρτυρείων etc. ut p. 102.

ΚΕΦ. ΙΖ.

Περὶ λαϊκῶν προσιθεμένων τοῖς ἀφοριζομένοις ἢ ἀποσχίζουσι πρεσβύτερους, καὶ χωρὶς τῶν ἐπισκόπων αὐτῶν, θυσιαστήρια πηγνυμένους.

Ἀποστόλων κανὼν λα΄.

λα΄ Εἴ τις πρεσβύτερος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, χωρὶς συναγάγῃ, καὶ θυσιαστήριον etc. ut p. 124.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιδ΄ κεφ. τοῦ γ΄ τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. ΙΗ.

Περὶ ἐπιόρκων, καὶ ἐν ποίοις δεῖ τοὺς ὀμνύοντας μὴ εὐορκεῖν.

Βασιλείου κανὼν ί ιζ΄ κθ΄ ξδ΄ πβ΄.

ί Οἱ ὀμνύοντες μὴ καταδέχεσθαι τὴν χειροτονίαν etc. ut p. 55.

ιζ΄ Ἠρώτησας ἡμᾶς περὶ Βιάνορος etc. ut p. 297.

κθ΄ Ἄρχοντας μέν τοι ὀμνύειν ἐπὶ τῷ κακοποιεῖν τοὺς ἀρ-

χομένους, καὶ πάνυ θεραπεύεσθαι προσῆκεν· ὧν ἡ θεραπεία διττὴ, μία μὲν μὴ ὀμνύειν αὐτοὺς διδάσκεσθαι προχείρως· ἑτέρα δὲ, μὴ ἐπιμένειν ἐν ταῖς πονηραῖς κρίσεσιν· ὥστε ὅρκῳ προληφθείς τις εἰς κακοποιίαν ἑτέρου, τὴν ἐπὶ τῇ προπετείᾳ τοῦ ὅρκου μετάνοιαν ἐπιδεικνύσθω, μὴ μέν τοι προσχήματι εὐλαβείας, τὴν πονηρίαν ἑαυτοῦ βεβαιούτω· οὐδὲ γὰρ Ἡρώδῃ συνέφερεν εὐορκήσαντι, ὃς ἵνα μὴ ἐπιορκήσῃ δῆθεν, φονεὺς ἐγένετο τοῦ προφήτου· ἅπαξ μὲν ὁ ὅρκος ἀπηγόρευται, πολλῷ δέ που εἰκὸς τὸν ἐπὶ κακῷ γινόμενον κατακεκρίσθαι· ὥστε μεταφρονεῖν χρὴ τὸν ὀμνύοντα, οὐχὶ σπουδάζειν βεβαιοῦν αὐτοῦ τὸ ἀνόσιον· ἐξέτασον γὰρ πλατύτερον τὴν ἀτοπίαν· εἴ τις ὀμόσειεν ἐξορύξειν τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, εἰ καλὸν τῷ τοιούτῳ εἰς ἔργον ἀγαγεῖν αὐτὸ· εἴ τις φονεῦσαι, εἴ τις ὅλως δι' ὅρκου ἐντολήν τινα παραβήσεσθαι· ὤμοσα γὰρ καὶ ἔστησα οὐχὶ τὴν ἁμαρτίαν, ἀλλὰ τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου· ὥσπερ δὲ τὴν ἐντολὴν ἀμεταθέτοις κρίμασι προσῆκε βεβαιοῦσθαι, οὕτω τὴν ἁμαρτίαν παντοίως καθήκει ἀκυροῦσθαι καὶ ἀφανίζεσθαι.

Ὁ ἐπίορκος ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται, δυσὶν ἔτεσι προσκλαίων, τρισὶν ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων· ἐνιαυτὸν συνεστὼς μόνον, καὶ τότε τῆς κοινωνίας ἀξιούμενος. ξδ'

Καὶ περὶ τῶν ἐπιορκησάντων, εἰ μὲν ἐκ βίας καὶ ἀνάγκης παρέβησαν τοὺς ὅρκους, κουφοτέροις ὑπόκεινται τοῖς ἐπιτιμίοις, ὥστε μετὰ ἓξ ἔτη εἶναι αὐτοὺς δεκτούς· εἰ δὲ ἄνευ ἀνάγκης προδόντες τὴν ἑαυτῶν πίστιν, ἐν δυσὶν ἔτεσι προσκλαύσαντες, καὶ ἐν δυσὶν ἀκροασάμενοι, καὶ ἐν πέντε ἐν ὑποπτώσει εὐξάμενοι, καὶ ἐν δυσὶν ἄλλοις ἄνευ προσφορᾶς εἰς τὴν κοινωνίαν τῆς προσευχῆς παραδεχθέτωσαν οὕτω τελευταῖον· ἀξιόλογον δηλαδὴ τὴν μετάνοιαν ἐπιδειξάμενοι, πβ'

ἀποκαταστα-θήσονται εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ Χριστοῦ.

Περὶ ἐπιόρκων εἴρηται βιβλ. ιβ', τίτ. β', καὶ βιβλ. δ' τίτ. α'· καὶ ὁ μὲν γενικὸς λόγος βούλεται μὴ ζητεῖσθαι περὶ ἐπιορκίας· εἰσὶ δέ τινες ἐξαιρέσεις· εἴρηται γὰρ βιβλ. ιβ', τίτ. β', διάτ. λα', ὅτι ἐν τοῖς ἀμφιβόλοις εἴωθεν ὁ δικαστὴς ἐπιφέρειν ὅρκον, καὶ οὕτω ψηφίζεσθαι· ἐὰν οὖν ὁ οὕτω καταδικασθεὶς, εὑρηκέναι μετὰ ταῦτα δικαιώματα λέγῃ, καὶ μόνοις αὐτοῖς θέλῃ χρήσασθαι, ἄνωθεν κινεῖ· εἰ δὲ ὁ ἀντίδικος αὐτοῦ ἐπάγει τὸν ὅρκον, οὐκ ἀναψηλαφᾶται ἡ ὑπόθεσις· ἔστι δὲ εὑρεῖν βιβλ. δ' τοῦ κώδ. τίτ. α', διάτ. ιγ', καὶ ὅρκον ὁμοθέντα ἐξ ἐπαγωγῆς τοῦ ἀντιδίκου ἀναψηλαφώμενον· φησὶ γὰρ, ὅτι ἐὰν ὁ ληγάτον ἀπαιτῶν, τῆς διαθήκης μὴ φαινομένης, ἐξ ἐπαγωγῆς τοῦ κληρονόμου ὁμόσῃ κεχρεωστῆσθαι, καὶ λάβῃ, μετὰ ταῦτα δὲ εὑρεθῇ μὴ κεχρεωστημένος, ἢ κεχρεωστημένος μὲν, μὴ ὀφείλων δὲ τὸ πᾶν λαβεῖν, διὰ τὸν φαλκίδιον ἀναδίδωσιν· ἡ δὲ περὶ τῆς καθαρότητος τῶν ὅρκων τῶν δικῶν διαλαμβάνουσα ρκ' νεαρὰ, δίδωσιν ἄδειαν ἐντὸς τεσσάρων μηνῶν ἀναψηλαφᾶσθαι, ἤγουν ἐλέγχεσθαι τὸ ψεῦδος τοῦ ὁμόσαντος· εἴρηται δὲ καὶ βιβλ. ιβ', τίτ. β', διάτ. ιγ', ὅτι ὁ ἐπὶ χρήμασι κατὰ τοῦ βασιλέως ὁμόσας, καὶ ἐπιορκήσας τυχὸν, ὅτι οὐ χρεωστεῖ, ἢ ὅτι χρεωστεῖ, ἢ ὅτι δίδωσιν εἴσω προθεσμίας, ῥοπαλίζεται· ἐν δὲ τῷ β' βιβλ. τοῦ κώδ. τίτ. α', διάτ. μα' φησὶν, ὅτι ὁ τέλειος τὴν κατὰ τοῦ θεοῦ ἢ τοῦ βασιλέως ἐνομότως χωρὶς ἀνάγκης γενομένην παρ' αὐτοῦ διάλυσιν παραβαίνων, ἐν τῷ προσιέναι βασιλεῖ ἢ ἄρχουσιν, ἢ μὴ πιεῖν τὰ δόξαντα, ἀτιμοῦται, καὶ τῆς ἀγωγῆς ἐκπίπτει, καὶ ὧν ἔμελλεν ἐκ τῆς διαλύσεως κερδαίνειν, καὶ δίδωσι τὴν ὁρισθεῖσαν ποι-

νὴν, καὶ πάντα λαμβάνουσιν οἱ ἐμμένοντες· καὶ διάτ. μβ΄, ὅτι ἐὰν ἀπὸ πλαστῶν δικαιωμάτων, πάκτον ἢ διάλυσις γένηται, καὶ ὅρκον ἔχει προκείμενον, ἀνατρέπεται, εἰ καὶ χρηματικῶς ἐζητήθη τὸ πλαστὸν, εἰ μὴ καὶ ἐπ' αὐτῷ γέγονε διάλυσις· καὶ βιβλ. δ΄ τοῦ κώδ. τίτ. α΄, διάτ. β΄, ὅτι εἰ καὶ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως κατὰ θερμότητά τις ὀμόσας ἐπιορκήσει, οὐ βασανίζεται, οὔτε καθοσιώσει ὑπόκειται· καὶ βιβλ. θ΄ τοῦ κώδ. τίτ. η΄, διάτ. β΄, ὅτι ὁ διὰ παντὸς ὀργίζεσθαι τῷ ἰδίῳ δούλῳ ὀμόσας, οὐχ ὑπόκειται καθοσιώσει παυσάμενος τῆς ὀργῆς· λέγει δὲ καὶ βιβλ. β΄, τίτ. ιδ΄, διάτ. ζ΄, ὅτι παρὰ τὰ κοινὰ νόμιμα πακτεύειν ἢ ληγατεύειν οὐκ ἔξεστι· καὶ ἐάν τις ἐπὶ τούτοις ὀμόσῃ μὴ ἐνάγειν, οὐκ ἔρρωται· ἡ δὲ περὶ τῶν σκηνικῶν μς΄ νεαρὰ φησὶν, ὅτι αἱ σκηνικαὶ κἂν ὀμόσωσιν ὡς οὐκ ἀποστήσονται τῆς πορνείας, ἀναχωροῦσι, μὴ φοβούμεναι τὴν ἐκ τῆς ἐπιορκίας ποινήν· καὶ κανονικῶς προστίθησιν, ὅτι ἐπὶ τοῖς αἰσχροῖς οὐ δεῖ τὸν ὅρκον φυλάττειν.

ΚΕΦ. ΙΘ.

Περὶ τῶν ὀμνυόντων ἑλληνικοὺς ὅρκους.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιθ΄.

Τοὺς ὀμνύοντας ὅρκους ἑλληνικοὺς ὁ κανὼν ἐπιτιμίοις καθυποβάλλει· ὅθεν καὶ ἡμεῖς τούτοις τὸν ἀφορισμὸν ὁρίζομεν. ιθ΄

Βασιλείου κανὼν πα΄.

Ἐπειδὴ δὲ πολλοὶ ἐν τῇ τῶν βαρβάρων καταδρομῇ etc. πα΄ ut p. 435.

Ἐν τῷ ε΄ διατάγ. τοῦ β΄ τίτ. τοῦ ιβ΄ βιβλ. φησὶν, ὅτι καλῶς ἐποίησε σοι κατὰ τῆς σωτηρίας σου ὀμόσαι· πᾶς γὰρ

θεμιτὸς ὅρκος ἐξ ἐπαγωγῆς ὁμοθεὶς φυλάττεται, καὶ ὃν τίς ὀμόσει κατὰ τὴν ἰδίαν θρησκείας· ὁ δὲ κατὰ ἀδοκίμου θρησκείας ὁμοθεὶς ὅρκος, οὐ φυλάττεται.

ΚΕΦ. Κ.

Περὶ ἀποστατῶν καὶ θυτῶν καὶ μάγων καὶ ἐπαοιδῶν καὶ ἀστρολόγων, μαθηματικῶν, μάντεων, καὶ περιάπτων.

Ἀποστόλων κανὼν ξβ'.

ξβ' Εἴ τις κληρικὸς διὰ φόβον ἀνθρώπινον etc. ut p. 272.

Συνόδου Νικαίας κανὼν ια' ιβ'.

ια' Περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης etc. ut p. 320.

ιβ' Οἱ δὲ προσκληθέντες μὲν ὑπὸ τῆς χάριτος etc. ut p. 259.

Συνόδου Ἀγκύρας κανὼν γ' δ' ε' ς' η' θ' ιβ' κδ'.

γ' Τοὺς φεύγοντας καὶ συλληφθέντας etc. ut p. 282.

δ' Περὶ τῶν πρὸς βίαν θυσάντων etc. ut p. 320.

ε' Ὅσοι δὲ ἀνῆλθον μετὰ ἐσθῆτος πενθικῆς etc. ut p. 321.

ς' Περὶ τῶν ἀπειλῇ μόνον εἰξάντων κολασέως etc. ut p. 321.

η' Οἱ δὲ δεύτερον καὶ τρίτον θύσαντες etc. ut p. 322.

θ' Ὅσοι δὲ μὴ μόνον ἀπέστησαν etc. ut p. 322.

ιβ' Τοὺς πρὸ τοῦ βαπτίσματος τεθνηκότας, καὶ μετὰ ταῦτα βαπτισθέντας, ἔδοξεν εἰς τάξιν προάγεσθαι ὡς ἀπολουσαμένους.

κδ' Οἱ καταμαντευόμενοι, καὶ ταῖς συνηθείαις τῶν ἐθνῶν ἐξακολουθοῦντες, ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνευρέσει φαρμακειῶν ἢ καὶ καθάρσει, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς πενταετίας, κατὰ τοὺς βαθμοὺς τοὺς ὡρισμένους, τρία ἔτη ὑποπτώσεως, καὶ δύο ἔτη εὐχῆς, χωρὶς προσφορᾶς.

Συνόδου Λαοδικείας κανὼν λς'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς μάγους etc. ut p. 260. λς'

Συνόδου Καρθαγέννης κανὼν με'.

Περὶ τῶν ἀσθενούντων καὶ ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι μὴ δυναμένων.

Ὥστε τοὺς ἀσθενοῦντας etc. ut p. 159. με'

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξα' ξέ'.

Οἱ μάντεσιν ἑαυτοὺς ἐπιδιδόντες, ἢ τοῖς λεγομένοις ἑκατοντάρχαις, ἢ τισὶ τοιούτοις, ὡς ἂν παρ' ἐκείνων μάθοιεν ὅ τι ἂν ἐκκαλύπτεσθαι αὐτοῖς βούλοιντο, κατὰ τὰ πρώην ὑπὸ τῶν πατέρων περὶ αὐτῶν ὁρισθέντα, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἐξαετίας· τῷ αὐτῷ δὲ τούτῳ ἐπιτιμίῳ καθυποβάλλεσθαι δεῖ καὶ τοὺς τὰς ἄρκτους ἐπισυρομένους ἢ τοιαῦτα ζῶα πρὸς παίγνιον καὶ βλάβην τῶν ἁπλουστέρων· καὶ τύχην καὶ εἱμαρμένην καὶ γενεαλογίαν, καὶ τοιούτων τινῶν ῥημάτων ὄχλον, κατὰ τοὺς τῆς πλάνης λήρους φωνοῦντας· τούς τε λεγομένους νεφοδιώκτας καὶ γυτευτὰς καὶ φυλακτηρίους καὶ μάντεις· ἐπιμένοντας δὲ τούτοις καὶ μὴ μετατιθεμένους καὶ ἀποφεύγοντας τὰ ὀλέθρια ταῦτα καὶ ἑλληνικὰ ἐπιτηδεύματα, παντάπασιν ἀποῤῥίπτεσθαι τῆς ἐκκλησίας ὁρίζομεν, καθὰ καὶ οἱ ἱεροὶ κανόνες διαγορεύουσι· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος, ὡς φησὶν ὁ ἀπόστολος; ἢ τίς συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ξα'

Τὰς ἐν ταῖς νουμηνίαις ὑπό τινων πρὸ τῶν οἰκείων ἐργαστηρίων καὶ οἴκων ἀναπτομένας πυρκαϊὰς, ἃς καὶ ὑπεράλλεσθαί τινες κατά τι ἔθος ἀρχαῖον ἐπιχειροῦσιν, ἀπὸ τοῦ παρόντος καταργηθῆναι προστάσσομεν· ὅς τις οὖν τοιοῦτόν τι πράξοι, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ξέ'

ἀφοριζέσθω· γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν βασιλειῶν· καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ ἐν ταῖς δύο αὐλαῖς οἴκου κυρίου, καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδονίζετο, καὶ οἰωνίζετο, καὶ ἐποίησεν ἐγγαστριμύθους, καὶ γνώστας ἐπλήθυνε, καὶ ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου τοῦ παροργίσαι αὐτόν.

Πέτρου ἀλεξανδρέως κανόνες α' β' γ' δ' ε' ς' ζ' η' θ' ι' ια' ιβ' ιγ' ιδ', φερόμενοι ἐν τῷ περὶ μετανοίας αὐτοῦ λόγῳ.

α' Ἐπεὶ τοίνυν τέταρτον ἤδη πάσχα ἐπικατείληφε τὸν διωγμὸν, αὐτάρκως ἔχει τοῖς μὲν προσενεχθεῖσι καὶ φυλακισθεῖσι, βασάνους τε ἀνηκέστους ὑπομεμενηκόσι, καὶ ἀφορήτους μάστιγας, καὶ πολλὰς ἑτέρας δεινὰς ἀνάγκας, ὕστερον δὲ προδεδομένοις ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, εἰ καὶ μὴ ἐξ ἀρχῆς παρεδέχθησαν διὰ τὴν παρακολουθήσασαν μεγίστην πτῶσιν, ὅμως διὰ τὸ πολλὰ αὐτοὺς ἠθληκέναι, καὶ ἐπὶ πολὺ ἀντιμαχέσασθαι· οὐ γὰρ κατὰ προαίρεσιν εἰς τοῦτο ἐληλύθασιν, ἀλλὰ καταπροδοθέντες ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, ἐπειδὴ καὶ στίγματα τοῦ Ἰησοῦ ἐνδείκνυνται ἐν τοῖς σώμασιν ἑαυτῶν, καὶ ἤδη τρίτον τινὲς ἔτος ἔχουσι καταπενθοῦντες, πρσεπιτιμηθῆναι αὐτοῖς ἀπὸ τῆς προσελεύσεως καθ' ὑπόμνησιν, ἄλλας μ' ἡμέρας, ἃς καί περ νηστεύσας ὁ κύριος καὶ σωτὴρ ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, μετὰ τὸ βαπτισθῆναι, ἐπειράσθη ὑπὸ τοῦ διαβόλου· εἰς ἃς καὶ αὐτοὶ κατὰ περισσὸν διαγυμνασθέντες, εὐτονώτερόν τε νήψαντες, γρηγορήσουσιν εἰς προσευχὰς τοῦ λοιποῦ, καταμελετῶντες τὸ λελεγμένον ὑπὸ τοῦ κυρίου πρὸς τὸν πειράζοντα αὐτὸν, ἵνα προσκυνήσῃ αὐτὸν, ὕπαγε ὀπίσω μου σατανᾶ·

γέγραπται γὰρ, κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

Τοῖς δὲ μετὰ τὸ φυλακισθῆναι μόνον, καὶ ὑπομεμνηκέναι τὰς ἐν τῷ δεσμωτηρίῳ, ὡς ἂν ἐν πολισρκίᾳ, θλίψεις τὲ καὶ δυσωδίας, ὕστερον δὲ χωρὶς πολέμου βασάνων γενομένοις αἰχμαλώτοις, κατὰ πολλὴν πτωχείαν δυνάμεως, καὶ κατά τινα τυφλότητα τεθραυσμένοις, ἐσαρκέσει ἑαυτὸς πρὸς τῷ ἑτέρῳ χρόνῳ, ἐπεὶ ὅλως καὶ αὐτοὶ ἐπιδεδώκασιν ἑαυτοὺς ὑπὲρ τοῦ ὀνόματος θλιβῆναι, εἰ καὶ ἀπήλαυσαν ἐν τῷ δεσμωτηρίῳ τῆς παρὰ τῶν ἀδελφῶν πολλῆς ἀναπαύσεως, ἅπερ πολλαπλασίονα ἀποδώσουσι, ποθοῦντες λυτρωθῆναι ἀπὸ τῆς πικροτάτης αἰχμαλωσίας τοῦ διαβόλου, μεμνημένοι μάλιστα τοῦ λέγοντος, πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως. β

Τοῖς δὲ μηδ' ὅλως μηδέν τι τοιοῦτον πεπονθόσι, μὴ δὲ ἐνδειξαμένοις καρπὸν πίστεως, ἀλλ' αὐτομολήσασι πρὸς τὴν κακίαν, προδεδομένοις ὑπὸ δειλίας καὶ φόβου, νῦν δὲ εἰς μετάνοιαν ἐρχομένοις, ἀναγκαῖον ἐστὶ καὶ ἁρμόζειν τὴν τῆς ἀκάρπου συκῆς παραβολὴν παραθέσθαι, ὡς ὁ κύριος λέγει· συκῆν εἶχέ τις πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ, καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν· εἶπε δὲ πρὸς τὸν ἀμπελουργὸν, ἰδοὺ τρία ἔτη ἀφ' οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτὴν, ἵνα τί καὶ τὴν γῆν καταργεῖ; ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω τὰ περὶ αὐτὴν καὶ βάλω κόπρια· κἂν μὲν ποιήσῃ καρπὸν· εἰ δὲ γ

μή γε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν· ἣν πρὸ ὀφθαλμῶν λαβόντες, ἐνδειξόμενοί τε καρπὸν ἄξιον τῆς μετανοίας, ἐν τῷ διαστήματι τοῦ τοσούτου χρόνου μᾶλλον ὠφεληθήσονται.

δ' Τοῖς γὰρ παντάπασιν ἀπεγνωσμένοις καὶ ἀμετανοήτοις, δέρμα τὲ αἰθίοπος ἀμετάβλητον κεκτημένοις, καὶ ποικίλματα παρδάλεως, λεχθήσεται τὸ τῆς ἑτέρας συκῆς· μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα, διὸ καὶ παραχρῆμα ξηραίνεται· ἀποπληροῦται γοῦν ἐπ' αὐτοῖς, καὶ τὸ ὑπὸ τοῦ ἐκκλησιαστοῦ εἰρημένον· διεστραμμένον οὐ δυνηθήσεται ἐπακοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι· εἰ μὴ γὰρ πρότερον τὸ διεστραμμένον διορθωθῇ, ἀδύνατόν ἐστιν αὐτὸ ἐπικοσμηθῆναι· καὶ εἰ μὴ πρότερον τὸ ὑστέρημα ἀναπληρωθῇ, ἀδύνατόν ἐστιν αὐτὸ ἀριθμηθῆναι· ὅθεν καὶ ἐπὶ τέλους συμβήσεται αὐτοῖς τὸ λελεγμένον ὑπὸ τοῦ προφήτου Ἡσαΐου· καὶ ὄψονται, φησὶ, τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοὶ· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκὶ· ἐπεὶ καὶ ὡς προλέλεκται ὑπ' αὐτοῦ, οἱ δὲ ἄδικοι ὡς θάλασσα ἀναβεβρασμένη, οὕτω κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ μὴ δυνήσονται· καὶ οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ Θεός.

ε' Τοῖς δὲ καθυποκριναμένοις κατὰ τὸν ἐπιληπτευσάμενον Δαβὶδ ἵνα μὴ ἀποθάνῃ, οὐκ ὄντα ἐπίληπτον· καὶ μὴ γυμνῶς ἀπογραψαμένοις τὰ πρὸς ἄρνησιν, ἀλλὰ διαπαίξασι κατὰ πολλὴν στενοχωρίαν, ὡς ἂν παιδία βουλευτικὰ ἔμφρονα ἐν παιδίοις ἄφροσι τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ἤτοι ὡς διελθόντας βωμοὺς, ἤτοι ὡς χειρογραφήσαντας, ἤτοι ὡς ἀνθ' ἑαυτῶν βαλόντας ἐθνικοὺς, εἰ καί τισιν αὐτῶν συνεχώρησαν τινὲς τῶν ὁμολογητῶν ὡς ἤκουσα· ἐπεὶ μάλιστα κατὰ

πολλὴν εὐλάβειαν, ἐξέφυγον αὐτόχειρες γενέσθαι τοῦ πυρὸς καὶ τῆς ἀναθυμιάσεως τῶν ἀκαθάρτων δαιμόνων· ἐπεὶ τοίνυν ἔλαθεν αὐτοὺς ἀνοίᾳ τοῦτο πράξαντας, ὅμως ἐξάμηνος αὐτοῖς ἐπιτεθήσεται τῆς ἐν μετανοίᾳ ἐπιστροφῆς· οὕτω γὰρ μᾶλλον καὶ αὐτοὶ ὠφεληθήσονται, καταμελετῶντες τὸ προφητικὸν ῥητὸν καὶ λέγοντες, παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος· ὅπερ ὡς ἴστε ἐν τῷ ἕκτῳ μηνὶ τῆς συλλήψεως τοῦ ἑτέρου παιδίου, τοῦ προκηρύξαντος πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ μετάνοιαν εἰς ἄφεσιν ἁμαρτιῶν, συνελήφθη καὶ αὐτὸ κηρύξαι μετάνοιαν· καὶ γὰρ καὶ τῶν ἀμφοτέρων ἀκούομεν ἐν πρώτοις κηρυσσόντων οὐ μόνον περὶ μετανοίας, ἀλλὰ καὶ περὶ βασιλείας οὐρανῶν· ἥ τις καθὼς μεμαθήκαμεν ἐντὸς ἡμῶν ἐστί, τῷ ἐγγὺς ἡμῶν εἶναι τὸ ῥῆμα ὃ πιστεύομεν ἐν τῷ στόματι ἑαυτῶν, καὶ ἐν τῇ καρδίᾳ ἑαυτῶν· περὶ ἧς καὶ αὐτοὶ ὑπομνησθέντες, μαθήσονται ὁμολογεῖν ἐν τῷ στόματι ἑαυτῶν, ὅτι κύριος Ἰησοῦς· πιστεύοντες ἐν τῇ καρδίᾳ ἑαυτῶν, ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν· ἅτε δὴ ἀκούοντες, ὅτι καρδίᾳ μὲν πιστεύετε εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖτε εἰς σωτηρίαν.

Τοῖς δὲ δούλους χριστιανοὺς ἀνθ' ἑαυτῶν ὑποβεβληκόσιν, οἱ μὲν δοῦλοι ὡς ἂν ὑποχείριοι ὄντες, καὶ τρόπον τινὰ καὶ αὐτοὶ φυλακισθέντες ὑπὸ τῶν δεσποτῶν, καταπειληθέντες τε ὑπ' αὐτῶν, καὶ διὰ τὸν φόβον αὐτῶν εἰς τοῦτο ἐληλυθότες καὶ ὀλισθήσαντες, ἐν ἐνιαυτῷ τὰ τῆς μετανοίας ἔργα δείξουσι· μανθάνοντες τοῦ λοιποῦ, ὡς δοῦλοι Χριστοῦ ποιεῖν τὸ θέλημα τοῦ θεοῦ, καὶ φοβεῖσθαι αὐτὸν· ἀκούοντες μάλιστα, ὅτι ἕκαστος ἐάν τι ποιήσῃ ἀγαθὸν, τοῦτο κομίσεται παρὰ κυρίου, εἴτε δοῦλος εἴτε ἐλεύθερος.

ζ' Οἱ δὲ ἐλεύθεροι, ἐν τρισὶν ἔτεσιν ἐξετασθήσονται ἐν μετανοίᾳ, καὶ ὡς ὑποκρινάμενοι καὶ ὡς καταναγκάσαντες τοὺς ὁμοδούλους θῦσαι· ἅτε δὴ παρακούσαντες τοῦ ἀποστόλου, τὰ αὐτὰ θέλοντος ποιεῖν τοὺς δεσπότας τοῖς δούλοις, ἀνιέντας τὴν ἀπειλήν· εἰδότες, φησὶν, ὅτι καὶ ὑμῶν αὐτῶν ὁ κύριος ἐν οὐρανοῖς, καὶ προσωποληψία παρ' αὐτῷ οὐκ ἔστιν· εἰ δὲ ἕνα κύριον ἔχομεν οἱ πάντες ἀπροσωπόληπτον, ἐπεὶ καὶ πάντα καὶ ἐν πᾶσιν ἐστὶν ὁ Χριστὸς, ἔντε βαρβάροις καὶ σκύθαις, δοῦλοις καὶ ἐλευθέροις, σκοπεῖν ὀφείλουσιν ὃ κατειργάσαντο, θελήσαντες τὴν ψυχὴν ἑαυτῶν σῶσαι· τοὺς δὲ συνδούλους ἑαυτῶν ἑλκύσαντες ἐπὶ εἰδωλολατρίαν, δυναμένους καὶ αὐτοὺς ἐκφυγεῖν, εἰ τὸ δίκαιον καὶ τὴν ἰσότητα ἦσαν αὐτοῖς παρασχόντες, ὡς πάλιν ὁ ἀπόστολος λέγει.

η' Τοῖς δὲ παραδεδομένοις ἐκπεπωκόσι, τοῖς τε ἑαυτοῖς προσεληλυθόσιν εἰς τὸν ἀγῶνα, ὁμολογοῦσιν εἶναι χριστιανοῖς, ἐμβεβλημένοις τὲ ἐν τῇ φυλακῇ μετὰ βασάνων, εὔλογόν ἐστιν ἐν ἀγαλλιάσει καρδίας συνεπισχύειν καὶ κοινωνεῖς ἐν πᾶσιν ἔντε ταῖς προσευχαῖς, καὶ τῇ μεταλήψει τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ, καὶ τῇ παρακλήσει τοῦ λόγου, ἵνα εὐτονώτερον ἀγωνισάμενοι, καταξιωθῶσι καὶ αὐτοὶ τοῦ βραβείου τῆς ἄνω κλήσεως· καὶ γὰρ ἑπτάκις, φησὶ, πεσεῖται ὁ δίκαιος καὶ ἀναςήσεται· ὅπερ εἰ καὶ πάντες οἱ ἐκπεπτωκότες πεποιήκεσαν, τελειοτάτην καὶ ὁλοκάρδιον μετάνοιαν ἐνεδείξαντο.

θ' Καὶ τοῖς δὲ ὡς ἂν ἐξ ὕπνου ἑαυτοὺς παραπηδῶσιν εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκύσαι, ἑαυτοῖς δὲ πειρασμὸν ἐπισπασαμένοις θαλαττομαχίας καὶ πολλῆς κυματώσεως, μᾶλλον δὲ καὶ τοῖς ἀδελφοῖς προσεκκαίοντες ἄνθρακας ἁμαρτωλῶν, καὶ αὐτοῖς κοινωνητέον, ἅτε δὴ ἐν ὀνόματι

Χριστοῦ παρερχομένοις εἰς τοῦτο, εἰ καὶ προσέχουσιν αὐτοῦ τοῖς λόγοις, καὶ πάλιν ἐν εὐχῇ λέγειν τῷ πατρὶ, καὶ μὴ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ἴσως δὲ καὶ ἀγνοοῦσι τὰς γενομένας πολλάκις ἀναχωρήσεις τοῦ οἰκοδεσπότου καὶ διδασκάλου ἡμῶν ἀπὸ τῶν θελόντων ἐπιβουλεύειν· καὶ ὅτι ἔσθ' ὅτε οὐδὲ παῤῥησίᾳ περιεπάτει δι' αὐτοὺς· καὶ ὅτι ὅτε ὁ καιρὸς τοῦ πάθους αὐτοῦ προσήγγισεν, οὐχ' ἑαυτὸν παρέδωκεν, ἀλλ' ἐδέξατο, ἕως ἦλθον ἐπ' αὐτὸν μετὰ μαχαιρῶν καὶ ξύλων· λέγει γοῦν πρὸς αὐτοὺς· ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· οἱ καὶ παρέδωκαν αὐτὸν, φησὶ, Πιλάτῳ· καθ' ὁμοιότητα γοῦν αὐτοῦ, καὶ οἱ κατὰ σκοπὸν αὐτοῦ βαίνοντες πεπόνθασι, μεμνημένοι τῶν θείων αὐτοῦ λόγων, δι' ὧν ἐπιστηρίζων ἡμᾶς περὶ τῶν διωγμῶν λέγει· προσέχετε ἑαυτοῖς, παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς· παραδώσουσι δὲ εἶπεν, ἀλλ' οὐχὶ ἑαυτοὺς παραδώσετε· καὶ ἐπὶ ἡγεμόνας δέ, φησι, καὶ βασιλεῖς ἀχθήσεσθε διὰ τὸ ὄνομά μου, ἀλλ' οὐχὶ ἑαυτοὺς ἄξετε· ἐπεὶ καὶ μεταπηδᾷν ἡμᾶς βούλεται ἀπὸ τόπων εἰς τόπους διωκομένους διὰ τὸ ὄνομα αὐτοῦ· ὡς πάλιν ἀκούομεν αὐτοῦ λέγοντος· καὶ ὅταν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἑτέραν· οὐ γὰρ θέλει αὐτομολογεῖν ἡμᾶς πρὸς τοὺς τοῦ διαβόλου ὑπασπιστὰς καὶ δορυφόρους, ὅπως μὴ καὶ πλειόνων θανάτων αἴτιοι αὐτοῖς γενώμεθα, ὡς ἂν καταναγκάζοντες αὐτοὺς μᾶλλον καταθραχύνεσθαι καὶ τελεσιουργεῖν τὰ θανατηφόρα ἔργα, ἀλλ' ἐκδέχεσθαι καὶ προσέχειν ἑαυτοῖς, γρηγορεῖν τε καὶ προσεύχεσθαι, ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν· οὕτω Στέφανος πρῶτος, κατ' ἴχνος αὐτοῦ μαρτύριον ἀναδεξάμενος,

ἐν Ἱεροσολύμοις συναρπασθεὶς ὑπὸ τῶν παρανόμων, καὶ ἀχθεὶς ἐν τῷ συνεδρίῳ, λιθοβολούμενος ἐν ὀνόματι Χριστοῦ ἐδοξάσθη παρακαλῶν καὶ λέγων, κύριε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν· οὕτως Ἰάκωβος δεύτερος συλληφθεὶς ὑπὸ Ἡρῴδου, μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη· οὕτως ὁ πρόκριτος τῶν ἀποστόλων Πέτρος, πολλάκις συλληφθεὶς καὶ φυλακισθεὶς καὶ ἀτιμασθεὶς, ὕστερον ἐν Ῥώμῃ ἐσταυρώθη· ὁμοίως καὶ ὁ περιβόητος Παῦλος πλεονάκις παραδοθεὶς, καὶ ἕως θανάτου κινδυνεύσας, πολλά τε ἀθλήσας καὶ καυχησάμενος ἐν πολλοῖς διωγμοῖς καὶ θλίψεσιν, ἐν τῇ αὐτῇ πόλει καὶ αὐτὸς μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη, ὃς ἐν οἷς ἐκαυχήσατο κατέλεξεν, ὅτι καὶ ἐν Δαμασκῷ σπυρίδι ἐχαλάσθη διὰ τοῦ τείχους νυκτὸς, καὶ ἐξέφυγε τὰς χεῖρας τοῦ ζητοῦντος αὐτὸν πιάσαι· τὸ γὰρ προκείμενον ἦν αὐτοῖς· ἐν πρώτοις εὐαγγελίζεσθαι καὶ διδάσκειν τὸν λόγον τοῦ Θεοῦ, ἐν οἷς ἐπιστηρίζοντες τοὺς ἀδελφοὺς ἐμμένειν ἐν τῇ πίστει· καὶ τοῦτο ἔλεγον, ὅτι διὰ πολλῶν θλίψεων δεῖ εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· ἐζήτουν γὰρ οὐ τὸ ἑαυτῶν συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσι· καὶ ἦν πολλὰ λέγειν αὐτοῖς εἰς ταῦτα πρὸς τὸ κατὰ λόγον πράσσειν, εἰ μὴ, ὡς λέγει ὁ ἀπόστολος, ἐπιλείψῃ δ' ἂν ἡμᾶς διηγουμένους ὁ χρόνος.

Ὅθεν οὐκ ἔστιν εὔλογον, οὐδὲ τοὺς ἀπὸ κλήρου αὐτομολήσαντας, ἐκπετωκότας τε καὶ ἀναπαλαίσαντας, ἔτι ἐν τῇ λειτουργίᾳ εἶναι, ἅτε δὴ καταλείψαντας τὸ ποίμνιον κυρίου καὶ μωμησαμένους ἑαυτοὺς, ὅπερ οὐδεὶς τῶν ἀποστόλων πεποίηκε· καὶ γὰρ ὁ πολλοὺς διωγμοὺς ἐξαντλήσας, πολλά τε ἆθλα ἀγωνισμάτων ἐνδειξάμενος, ὁ μακάριος Παῦλος, ἐγνωκὼς ὅτι κάλλιόν ἐστιν ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, ἐπιφέρει καὶ λέγει· τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον

δι' ὑμᾶς· σκοπῶν γὰρ οὐ τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσιν, ἀναγκαιότερον τῆς ἑαυτοῦ ἀναπαύσεως ἡγήσατο τὸ παραμένειν τοῖς ἀδελφοῖς καὶ ἐπιμελεῖσθαι αὐτῶν· ὃς καὶ τὸν διδάσκοντα θέλει εἶναι ἐν τῇ διδασκαλίᾳ τύπον γινόμενον τῶν πιστῶν· ὅθεν οἱ ἐν τῇ εἱρκτῇ ἐπιδικαζόμενοι, τῆς λειτουργίας ἐκπεπτωκότες καὶ ἀναπαλαίσαντες, πάνυ ἀναισθητοῦσι· πῶς γὰρ αἰτοῦσιν ὃ κατέλειψαν, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ; ἕως μὲν οὖν ἅπταισται ἦσαν, συγγνώμην εἶχον, ἐπὶ τῇ παρὰ λόγον αὐτῶν πράξει· ὅτε δὲ ἔπταισαν, ὡς ἂν περπερευσάμενοι, καὶ ἑαυτοὺς μωμησάμενοι, οὐκέτι δύνανται λειτουργεῖν· διὸ φρονιζέτωσαν μᾶλλον ἐν ταπεινοφροσύνῃ πῶς ἐκτελέσουσι τὸ σαυσάμενοι τῆς κενοδοξίας· ἀρκεῖ γὰρ αὐτοῖς ἡ κοινωνία μετ' ἐπιτάσεως καὶ ἀκριβείας πρὸς ἀμφότερα γινομένη· καὶ ἵνα μὴ δόξωσι λυπεῖσθαι μετὰ βίας περιδρασσόμενοι τῆς ἐντεῦθεν ἀναλύσεως, καὶ ἵνα μή τινες ἐκπεσόντες προφασίσωνται, ὡς ἂν διὰ τὴν ἀφορμὴν τῆς ἐπιτιμίας ὑπεκλελυμένοι· οἵ τινες πλέον ἁπάντων αἰσχύνην καὶ ὄνειδος ἕξουσι κατ' ἐκεῖνον τὸν τεθεικότα θεμέλιον καὶ μὴ ἰσχύσαντα ἐκτελέσαι· ἄρξονται γάρ, φησι, πάντες οἱ παραπορευόμενοι ἐμπαίζειν αὐτῷ λέγοντες, οὗτος ὁ ἄνθρωπος θεμέλιον τέθεικε, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι.

Οἱ γὰρ πρῶτοι παρατηθήσαντες ἐν τῷ βράσματι τοῦ διωγμοῦ, περιεστῶτες εἰς τὸ δικαστήριον, καὶ θεωροῦντες τοὺς ἁγίους μάρτυρας σπεύδοντας ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐν καλῷ τῷ ζήλῳ προθυμούμενοι, ἐπεδίδουν ἑαυτοὺς εἰς τοῦτο, πολλῇ τῇ παῤῥησίᾳ χρώμενοι· ἐμβλέποντες μάλιστα τοὺς ὑποσυρομένους καὶ ἐκπίπτοντας, δι' οὓς ὑποθερμαινόμενοι ἔσωθεν καὶ ἐνηχούμενοι, ἔσπευδον εἰς τοῦτο,

ἵνα μὴ δοκῇ παρ' ἑαυτῷ φρόνιμος εἶναι ἐφ' οἷς κατὰ πανουργίαν ἔδοξεν ἥττᾶν, εἰ καὶ ἐλάνθανεν ἑαυτὸν νικώμενον ὑπὸ τῶν ἐγκαρτερούντων τὰς τῶν ξυστήρων καὶ μαστίγων βασάνους, τήν τε ὀξύτητα τῆς μαχαίρας, καὶ τὰς καταφλέξεις τοῦ πυρὸς, καὶ τὰς τῶν ὑδάτων καταποντώσεις· καὶ τοῖς κατὰ πίστιν ὑπεξιοῦσιν, εὐχὰς δὲ καὶ δεήσεις γίνεσθαι ἤτοι ὑπὲρ τῶν ἐν φυλακῇ κατατιμωρηθέντων καὶ προδιδομένων ὑπὸ λιμοῦ καὶ δίψους, ἤτοι ὑπὲρ τῶν ἔξωθεν τῆς φυλακῆς ἐπὶ τοῦ δικαστηρίου καταβασανισθέντων διὰ ξυστήρων καὶ μαστίγων, ὕστερον δὲ ἡττηθέντων ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, ἄξιον ἐστιν ἐπινεῦσαι· συμπάσχειν γὰρ καὶ συναλγεῖν τοῖς ὀδυρομένοις καὶ στενάζουσιν ὑπὲρ τῶν ἐν τῷ ἀγῶνι ἡττηθέντων ὑπὸ τῆς πολλῆς βίας τοῦ κακομηχάνου διαβόλου, ἤτοι ὑπὲρ γονέων ἢ ἀδελφῶν ἢ τέκνων, οὐδένα οὐδὲν καταβλάπτει· ἴσμεν γὰρ καὶ δι' ἑτέρων πίστιν, ἀπολαύσαντας τινὰς τῆς τοῦ θεοῦ ἀγαθότητος, ἐπί τε ἀφέσει ἁμαρτιῶν, καὶ ὑγείᾳ σώματος, καὶ ἀναστάσει νεκρῶν· μεμνημένοι τοίνυν τῶν πολλῶν αὐτῶν καμάτων, ὧν προϋπήνεγκαν ἐν ὀνόματι Χριστοῦ, καὶ τῶν τανταλισμῶν, οὐ μὴν ἀλλὰ καὶ μεταγνόντων αὐτῶν, καὶ ἀποδυρομένων τὸ πεπραγμένον αὐτοῖς κατὰ προδοσίαν, ἐν ἀτονίᾳ καὶ νεκρότητι τοῦ σώματος, ἔτι τε καὶ μεμαρτυρημένων εὐπολιτεύτων γενομένων ἐν τῷ βίῳ αὐτῶν, συνευχόμεθα καὶ συμπαρακαλοῦμεν ὑπὲρ ἱλασμοῦ αὐτῶν μετὰ τῶν ἄλλων καθηκόντων, διὰ τοῦ γενομένου ὑπὲρ ἡμῶν παρακλήτου πρὸς τὸν πατέρα, ἱλασκομένου ταῖς ἁμαρτίαις ἡμῶν· καὶ ἐάν τις γάρ, φησιν, ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.

Τοῖς γὰρ ἀργύρια δεδωκόσι πρὸς τὸ ἀνενοχλήτους αὐτοὺς β'
τὸ παντάπασι γενέσθαι ἀπὸ πάσης κακίας, οὐκ ἔστιν ἔγκλημα προσαγαγεῖν· ζημίαν γὰρ καὶ ἀτωλειαν χρημάτων ὑπήνεγκαν, ἵνα μὴ τὴν ψυχὴν αὐτῶν ζημιωθῶσιν ἢ ἀπολέσωσιν· ὅπερ ἄλλοι κατὰ αἰσχροκέρδειαν οὐ πεποιήκασι· καί τοι γε τοῦ κυρίου λέγοντος, τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ ἢ ἀπολέσῃ; καὶ ὅτι οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ· ἐφάνησαν γὰρ παρ' ἐκεῖνον τῷ θεῷ δουλεύοντες· τὰ γὰρ ἀργύρια μισήσαντες καὶ καταφρονήσαντες αὐτῶν, ἀπεπλήρωσάν τε καὶ ἐν τούτῳ τὸ γεγραμμένον, λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος· ἐπεὶ καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἀνέγνωμεν τοὺς συρέντας ἀντὶ Παύλου καὶ Σίλα ἐν Θεσσαλονίκῃ ἐπὶ τοὺς πολιτάρχας, μετὰ πλημονῆς ἀπολυθέντας· μετὰ γὰρ τὸ καταβαρῆσαι αὐτοὺς πολλὰ διὰ τὸ ὄνομα, καὶ ταράξαι τὸν ὄχλον καὶ τοὺς πολιτάρχας, λαβόντες φησὶ τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς· οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέρσιαν.

Ὅθεν οὐδὲ τοῖς καταλείψασι πάντα διὰ τὴν τῆς ψυχῆς γ'
σωτηρίαν καὶ ἀναχωρήσασιν ἔστιν ἐγκαλεῖν, ὡς ἂν ἑτέρων δι' αὐτοὺς κατασχεθέντων· καὶ γὰρ καὶ ἐν τῇ Ἐφέσῳ ἀντὶ Παύλου πάλιν συνήρπασαν Γάϊον εἰς τὸ θέατρον καὶ Ἀρίσταρχον συνεκδήμους Παύλου οὐ βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον· ἐπεὶ καὶ δι' αὐτὸν πείσαντα καὶ μεταστήσαντα πολὺν ὄχλον ἐπὶ τὴν θεοσέβειαν, ἡ στάσις ἦν γενομένη, καὶ οὐκ εἴων αὐτὸν οἱ μαθηταί, φησὶν· οὐ μὴν ἀλλὰ καί τινες τῶν ἀσιαρχῶν, ὄντες αὐτοῦ φίλοι, πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον· εἰ δὲ

ἐπιμένειέν τινες ἐρεσχελοῦντες τοῖς εἰλικρινῶς προσέχουσι, σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν, μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω, ὑπομνησθήτωσαν καὶ τοῦ πρωκρίτου τῶν ἀποστόλων Πέτρου βεβλημένου τὲ ἤδη εἰς φυλακὴν, καὶ παραδοθέντος τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτὸν· οὗ ἐν νυκτὶ φυγόντος καὶ ῥυσθέντος ἐκ χειρὸς τοῦ φονώδους Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων, κατ' ἐντολὴν ἀγγέλου κυρίου, γενομένης φησὶν ἡμέρας, ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο· Ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι· δι' οὓς οὐδεμία αἰτία τῷ Πέτρῳ προσάπτεται· ἐξῆν γὰρ καὶ αὐτοὺς ἑωρακότας τὸ γενόμενον ἐκφυγεῖν· ὡς καὶ πάντα τὰ παιδία τὰ ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τῆς ὁρίοις αὐτῆς, εἰ ἐγνώκεισαν οἱ γονεῖς αὐτῶν τὸ μέλλον ἔσεσθαι, ἅπερ ἀνῃρέθησαν ὑπὸ τοῦ μιαιφόνου Ἡρώδου διὰ τὸ ὑπ' αὐτοῦ ζητούμενον ἀπολέσθαι ἐν παιδίοις, ὅπερ καὶ αὐτὸ κατ' ἐντολὴν κυρίου ἐξέφυγεν, ἤδη ἀρξάμενον ὀξέως σκυλεύειν καὶ ὀξέως προνομεύειν, κατὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος, καθὼς γέγραπται· κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον· διότι πρὶν γνῶναι καλεῖν τὸ παιδίον πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκύλα Σαμαρείας, ἐναντι βασιλέως Ἀσσυρίων· οἱ γοῦν μάγοι ὡς ἤδη σκυλευθέντες καὶ προνομευθέντες, ὑποτεταγμένως καὶ τιμητικῶς προσκυνοῦσι τῷ παιδίῳ, ἀνοίγοντες τοὺς θησαυροὺς αὐτῶν, καὶ προσφέροντες αὐτῷ καιριώτατα καὶ πρεπωδέστατα δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν, ὡς βασιλεῖ καὶ θεῷ καὶ ἀνθρώπῳ· ὅθεν οὐκέτι πρὸς τὸν ἀσσύριον βασιλέα, ἠξίωσαν ὑποστρέψαι, συνεργούμενοι ὑπὸ τῆς προνοίας· χρημα-

τισθέντες γάρ, φησι, κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν· ἔνθεν ἰδὼν ὁ αἱμοβόρος Ἡρώδης, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας, φησὶν, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων· μεθ' ὧν καὶ τὸ πρὸ αὐτοῦ γεννηθὲν ἕτερον παιδίον ζητήσας ἀποκτεῖναι, καὶ μὴ εὑρὼν, τὸν πατέρα αὐτοῦ Ζαχαρίαν ἐφόνευσε, μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ἐκφυγόντος τοῦ παιδίου μετὰ τῆς μητρὸς Ἐλισάβετ· ἐφ' ὧν οὐδεμίαν μέμψιν ἔσχον.

Εἰ δέ τινες βίαν πολλὴν καὶ ἀνάγκην πεπόνθασι, χάμεν 18
λαβόντες ἐν τῷ σώματι καὶ δεσμοὺς, καὶ ἐπιμείναντες καρτερῶς τῇ διαθέσει τῆς πίστεως, καὶ τὰς χεῖρας καῆναι προσαγομένων ἀκοντὶ τῷ ἀνιέρῳ θύματι, ὥσπερ οὖν ἔγραψάν μοι οἱ ἀπὸ τῆς φυλακῆς τρισμακάριοι μάρτυρες περὶ τῶν ἐν τῇ Λιβύῃ, καὶ ἕτεροι δὲ συλλειτουργοὶ, οἱ τοιοῦτοι συμμαρτυρούντων αὐτοῖς μάλιστα καὶ τῶν ἀδελφῶν τῶν λειπῶν, δύνανται εἶναι ἐν τῇ λειτουργίᾳ, ταχθέντες ἐν τοῖς ὁμολογηταῖς, ὡς καὶ οἱ κατανεκρωθέντες ἐν ταῖς πολλαῖς βασάνοις, καὶ μηκέτι ἐξισχύσαντες λαλῆσαι, ἢ φθέγξασθαι, ἢ κινηθῆναι, εἰς τὸ ἀντιστῆναι τοῖς εἰς μάτην ἐκβιαζομένοις· οὐδὲ γὰρ συγκατέθεντο τῇ βδελυρίᾳ αὐτῶν, ὥσπερ οὖν παρὰ συλλειτουργῶν πάλιν ἤκουσα· ταχθήσεται δὲ ἐν τοῖς ὁμολογηταῖς καὶ πᾶς ὁστισοῦν κατὰ Τιμόθεον πολιτεύεται· πειθόμενος καὶ αὐτὸς τῷ λέγοντι, δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, προσπάθειαν, ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν ἐκλήθης καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.

Βασιλείου κανὼν ζ' η' μα' μϐ' με' ξε' οϐ' ογ' πα' πγ'.

ζ' Ἀρρενοφθόροι καὶ ζωοφθόροι, καὶ φονεῖς etc. ut p. 422.

η' Ὁ ἀξίνῃ παρὰ τὸν θυμὸν etc. ut p. 430.

μα' Ἡ ἐν τῇ χηρείᾳ ἐξουσίαν ἑαυτῆς ἔχουσα συνοικεῖν ἀνδρὶ, ἀνέγκλητος, εἰ μηδείς ἐστιν ὁ διασπῶν τὸ συνοικέσιον, τοῦ ἀποστόλου εἰπόντος· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ.

μϐ' Ἡ διάκονος ἡ τῷ ἕλληνι συμπορνεύσασα, δεκτὴ ἐςιν εἰς τὴν μετάνοιαν· εἰς δὲ τὴν προσφορὰν δεχθήσεται τῷ ἑβδόμῳ ἔτει, δηλονότι ἐν ἁγνείᾳ ζῶσα· ὁ δὲ μετὰ τὴν πίςιν ἕλλην πάλιν τῇ ἱερουσλίᾳ προσιὼν, ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέφει· ἡμεῖς δὲ τῆς διακόνου τὸ σῶμα ὡς καθιερωμένον, οὐκέτι ἐπιτρέπομεν ἐν χρήσει εἶναι σαρκικῇ.

μγ' Ὃς ἐάν τις τὸ ὄνομα λαβὼν τοῦ χριστιανισμοῦ ἐνυβρίζῃ τὸν Χριστὸν, οὐδὲν ὄφελος αὐτῷ ἀπὸ τῆς προσηγορίας.

ξε' Ὁ γοητείαν ἢ φαρμακείαν ἐξαγορεύων, τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται, οὕτως οἰκονομούμενος, ὡς ἐν ἐκείνῳ τῷ ἁμαρτήματι ἑαυτὸν ἐλέγξας.

οϐ' Ὁ μάντεσιν ἑαυτὸν ἐπιδιδοὺς ἢ τισὶ τοιούτοις, τὸν χρόνον τῶν φονέων καὶ αὐτὸς οἰκονομηθήσεται.

ογ' Ὁ τὸν Χριστὸν ἀρνησάμενος, καὶ παραβὰς τὸ τῆς σωτηρίας μυςήριον, ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ, προσκλαίειν ὀφείλει, καὶ ἐξομολογεῖσθαι χρεωστεῖ· ἐν τῷ καιρῷ ᾧ ἐκβαίνει τοῦ βίου, τοῦ ἁγιάσματος ἀξιούμενος πίςει τῆς παρὰ θεοῦ φιλανθρώπιας.

πα' Ἐπειδὴ δὲ πολλοὶ ἐν τῇ τῶν βαρβάρων καταδρομῇ etc. ut p. 434.

πγ' Οἱ καταμανθάνοντες, καὶ ταῖς συνηθείαις τῶν ἐθνῶν ἐξακολουθοῦντες etc. ut p. 442.

Γρηγορίου Νύσσης κεφ. α' β'.

Τούτων τοίνυν κατὰ τὸν εἰρημένον διευκρινηθέντων τρό- α'
πον, ὅσα μὲν ἁμαρτήματα τοῦ λογιστικοῦ τῆς ψυχῆς ἅπτε-
ται μέρους, χαλεπώτερα παρὰ τῶν πατέρων ἐκρίθη, καὶ
μείζονος καὶ διαρκεστέρας καὶ ἐπιπονωτέρας τῆς ἐπιστροφῆς
ἄξια· οἷον εἴ τις ἠρνήσατο τὴν εἰς Χριστὸν πίστιν, ἢ πρὸς
ἰουδαϊσμὸν, ἢ πρὸς εἰδωλολατρίαν, ἢ πρὸς μανιχαϊσμὸν, ἢ
πρὸς ἄλλό τι τοιοῦτον ἀθεΐας εἶδος, αὐτεμολήσας ἐφάνη· ὁ
μὲν ἑκουσίως ἐπὶ τὸ τοιοῦτον ὁρμήσας κακὸν, εἶτα κατα-
γνοὺς ἑαυτοῦ, χρόνον τὸν τῆς μετανοίας ἔχει ὅλον τὸν τῆς
ζωῆς αὐτοῦ· οὐδέ ποτε γὰρ μυστικῆς ἐπιτελουμένης εὐχῆς,
μετὰ τοῦ λαοῦ προσκυνῆσαι τὸν Θεὸν καταξιοῦται, ἀλλὰ
καταμόνας μὲν εὔξεται, τῆς δὲ κοινωνίας τῶν ἁγιασμάτων,
καθόλου ἀλλότριος ἔσται· ἐν δὲ τῇ ὥρᾳ τῆς ἐξόδου αὐτοῦ,
τότε τῆς τοῦ ἁγιάσματος μερίδος ἀξιωθήσεται· εἰ δὲ συμ-
βαίη παρ' ἐλπίδα ζῆσαι αὐτὸν, πάλιν ἐν τῷ αὐτῷ κρίματι
διαβιώσεται ἀμέτοχος τῶν μυστικῶν ἁγιασμάτων μέχρι τῆς
ἐξόδου γινόμενος· οἱ δὲ βασάνοις καὶ τιμωρίαις χαλεπαῖς
αἰκισθέντες, ἐν ῥητῷ χρόνῳ ἐπετιμήθησαν· οὕτω τῶν ἁγίων
πατέρων φιλανθρωπίᾳ ἐπ' αὐτῶν χρησαμένων, ὡς οὐχὶ ψυ-
χῆς γεγενημένης ἐν πτώματι, ἀλλὰ τῆς σωματικῆς ἀσθε-
νείας πρὸς τὰς αἰκίας οὐκ ἀντισχούσης· διὸ τῷ μέτρῳ τῶν
ἐν πορνείᾳ πλημμελησάντων, καὶ ἡ βεβιασμένη τε καὶ ἐπώ-
δυνος παράβασις ἐν τῇ ἐπιστροφῇ συνεμετρήθη.

Οἱ δὲ πρὸς γόητας ἀπιόντες, ἢ μάντεις, ἢ τοὺς διὰ δαι- β'
μόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνου-
μένους, οὗτοι ἐρωτῶνται δι' ἀκριβείας καὶ ἀνακρίνονται, πό-
τερον ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει ὑπ' ἀνάγκης τινὸς
συνηνέχθησαν ἐκείνῃ τῇ ἁμαρτίᾳ, κακώσεώς τινος ἢ ἀφορή-

του ζημίας ταύτην αὐτοῖς τὴν ὁρμὴν ἐμποιούσης, ἢ καθόλου καταφρονήσαντες τοῦ πεπιστευμένου παρ' ἡμῶν μαρτυρίου, τῇ τῶν δαιμόνων συμμαχίᾳ προσέδραμον· εἰ μὲν γὰρ ἐπὶ ἀθετήσει τῆς πίστεως, καὶ πρὸς τὸ μὴ πιστεύειν εἶναι θεὸν τὸν παρὰ τῶν χριστιανῶν προσκυνούμενον, ἐκεῖνο ἐποίησαν, δηλαδὴ τῷ κρίματι τῶν παραβάντων ὑπαχθήσονται· εἰ δέ τις ἀβάσακτος ἀνάγκη κατακρατήσασα τῆς μικροψυχίας αὐτῶν, εἰς τοῦτο προήγαγε διά τινος ὑπατημένης ἐλπίδος παρακρουσθέντας, ὡσαύτως ἔσται καὶ ἐπ' αὐτῶν ἡ φιλανθρωπία, καθ' ὁμοιότητα τῶν πρὸς τὰς βασάνους ἐν τῷ καιρῷ τῆς ὁμολογίας ἀντισχεῖν μὴ δυνηθέντων.

Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ κε' κεφ. τοῦ θ' τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. ΚΑ.

Περὶ σκηνικῶν καὶ μίμων καὶ τῶν ὁμοίων μετανοούντων.

Συνόδου Καρθαγέννης κανὼν μς' ξγ'.

Περὶ σκηνικῶν μετανοούντων καὶ ἐπιστρεφόντων πρὸς κύριον.

μς' Ὥστε τοῖς σκηνικοῖς καὶ μίμοις καὶ τοῖς λοιποῖς τοιουτοτρόποις προσώποις ἢ ἀποστάταις, μετανοοῦσι καὶ ἐπιστρέφουσι πρὸς θεὸν, χάριν ἢ καταλλαγὴν μὴ ἀρνεῖσθαι.

Περὶ τῶν μίμων τῶν γινομένων χριστιανῶν.

ξγ' Περὶ τούτων ἔτι μὴν αἰτῆσαι δεῖ, ἵνα ἐάν τις ἐξ οἱουδήποτε παιγνιώδους ἐπιτηδεύματος, πρὸς τὴν τοῦ χριστιανισμοῦ χάριν ἐλθεῖν θελήσοι, καὶ ἐλεύθερος ἀπ' ἐκείνων τῶν σπίλων διαμεῖναι, μὴ ἐξὸν εἶναί τινι τὸν τοιοῦτον πρὸς τὰ αὐτὰ γυμνάσματα πάλιν προτρέπεσθαι ἢ καταναγκάζειν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν να'.

να' Καθόλου ἀπαγορεύει ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ σύν-

οδος, τοὺς λεγομένους μίμους καὶ τὰ τούτων θέατρα, ἔτι γε μὴν καὶ τὰ τῶν κυνηγίων θεώρια, καὶ τὰς ἐπὶ σκηνῆς ὀρχήσεις ἐπιτελεῖσθαι· εἰ δέ τις τοῦ παρόντος κανόνος καταφρονήσει, καὶ πρός τι ἑαυτὸν τῶν ἀπηγορευμένων τούτων ἐκδῷ, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Ἡ λγ΄ διάτ. τοῦ δ΄ τίτ. τοῦ α΄ βιβλ. τοῦ κώδ. καὶ ἡ κγ΄, καὶ ἡ κθ΄ τοῦ δ΄ τίτ. τοῦ ε΄ βιβλ. καὶ ἡ λβ΄ καὶ μς΄, μεγάλας ποινὰς ἐπιφέρουσαι τοῖς πορνοβοσκοῖς καὶ τοῖς ἀναγκάζουσι δούλας ἢ ἐλευθέρας συνεῖναι μίμοις ἢ θεάτροις προΐζασθαι, καὶ διδόασιν ἄθειαν αὐταῖς ἀναχωρεῖν, καὶ μετὰ προικῶν ζεύγνυσθαι καὶ ἀξιωματικοῖς εἰ δυνηθεῖεν, καὶ τῆς ἀτιμίας ἀπαλλάττεσθαι· περὶ δὲ σκηνικῶν καὶ θεωριῶν καὶ πορνοβοσκῶν, ἰδικός ἐστι τίτ. ὁ μα΄ τοῦ ια΄ βιβλ. τοῦ κώδ. σκηνὴ δέ ἐστιν, ἔνθα τίς ἵσταται ἢ κινεῖται σκηνικὴν ἐπιδεικνύμενος τέχνην, εἴτε ἐν δημοσίῳ ἢ ἰδιωτικῷ τόπῳ ἢ ἀγρῷ, ἔνθα μέν τοι χύδην οἱ ἄνθρωποι διὰ θέαν εἰσίασιν· ἄτιμοι δέ εἰσι πάντες, οἱ διὰ πόρον εἰς ἀγῶνα κατιόντες, καὶ οἱ διὰ φιλοτιμίαν ἐπὶ σκηνῆς προσιόντες· ὁ δὲ μισθώσας ἑαυτὸν εἰς παιγνικὴν τέχνην, καὶ μὴ ἐπιδειξάμενος, οὐκ ἀτιμοῦται· καὶ ὁ ἑαυτὸν μισθώσας εἰς τὸ θηριομαχῆσαι, εἰ μὴ τὸ θηρίον τυχὸν λέων ἥμερος γέγονεν, ἀτιμοῦται· οὐ μὴν ὁ ἄνευ μισθοῦ θηριομαχήσας, εἰ μὴ λαβεῖν ἐν τῷ κυνηγίῳ φιλοτιμίαν ἠνέσχετο· ὁ δὲ μισθώσας ἑαυτὸν, κἂν μὴ θηριομαχήσῃ, ἀτιμοῦται· οὐ μὴν ὁ μισθὸν λαμβάνων ἐπὶ τῷ καταπολεμῆσαι θηρίον ἔξωθεν κυνηγίου τὴν ἐπαρχίαν βλάπτον· οὐκ ἔστι δὲ παιγνικὴ τέχνη οὔτε ἀτιμοποιὸς ἡ τῶν ἀθλητῶν καὶ τῶν λεγόντων ἐν τοῖς ὀλυμπίοις τὰ ἐνθύρια, καὶ τῶν ἐν ξυστῷ ἀγωνιζομένων, καὶ τῶν ἡνιόχων, καὶ

τῶν ἄλλως ὑπουργούντων ἐν τοῖς ἱεροῖς ἀγῶσι, καὶ τῶν ῥαινόντων ὕδωρ τοῖς ἵπποις, καὶ τῶν βραβευτῶν· προαγωγός ἐστιν ὁ πόρνον αἰσχρὸν ἀπὸ δούλων ἢ ἐλευθέρων ποιούμενος, εἴτε ὡρωτοτύπως τοῦτο πραγματεύεται, εἴτε προσχήματι πραγματείας ἑτέρας ἔχει τὰ τοιαῦτα πρόσωπα, ὡς κάπηλος, ἢ πανδοχεύς, ἢ βαλανεύς, καὶ ὁ γενόμενος ἐν δουλείᾳ προαγωγὸς, ἀτιμοῦται μετὰ τὸ ἐλευθερωθῆναι· ταῦτα πάντα κεῖται βιβλ. γ΄, τίτ. α΄, διάτ. α΄, καὶ τίτ. β΄, διάτ. δ΄, καὶ βιβλ. κγ΄, τίτ. β΄, διάτ. μβ΄· πορνοβοσκὸς δέ ἐστι καὶ ὁ πορνευθεῖσαν τὴν ἰδίαν γαμετὴν μὴ ἀπολύσας· οὐ μὴν ὁ μένων ὑποπτεύσας, ὡς βιβλ. Θ΄ τοῦ κώδ. τίτ. Θ΄, διάτ. β΄.

ΚΕΦ. ΚΒ.

Περὶ θεωρίων καὶ παιγνίων.

Συνόδου Καρθαγέννης κανὼν ιε΄ ξ΄ ξα΄.

Περὶ διαφόρων τάξεων τῇ ἐκκλησίᾳ δουλευουσῶν· ὥςε ἐάν τις εἰς ἐγκληματικὸν πρᾶγμα περιπέσῃ, καὶ παραιτήσηται τὸ ἐκκλησιαστικὸν δικαστήριον, ὀφείλειν τὸν τοιοῦτον κινδυνεύειν· καὶ ὥςε τὰ τέκνα τῶν ἱερέων κοσμικοῖς θεωρίοις μὴ προσιέναι.

ιε΄ Ὁμοίως ἤρεσεν, ἵνα ὁςισδήποτε τῶν ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, ἢ κληρικῶν, πράγματος αὐτῷ ἐγκληματικοῦ ἢ πολιτικοῦ, ἐν τῇ ἐκκλησίᾳ κινουμένου etc. ut p. 234.

Περὶ τοῦ ἀφελέσθαι τὰ τῶν ἑλλήνων συμπόσια.

ξ΄ Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι παρὰ τῶν χριστιανῶν βασιλέων etc. ut p. 437.

Περὶ θεωρίων ἐν τῇ κυριακῇ καὶ ἐν ταῖς λειπαῖς τῶν ἁγίων ἑορταῖς μηδαμῶς ἐπιτελοῦνται.

Κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι, ἵνα τὰ θεώρια τῶν θεα- ξα'
τρικῶν παιγνίων etc. ut p. 181.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν νβ' ξβ' ξέ' οά' ϙς'. ρ'.

Ἐν πάσαις ταῖς τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν νβ'
ἡμέρας, παρεκτὸς σαββάτου καὶ κυριακῆς καὶ τῆς ἁγίας τοῦ εὐαγγελισμοῦ ἡμέρας, γινέσθω ἡ τῶν προηγιασμένων ἱερὰ λειτουργία.

Τὰς οὕτω λεγομένας καλάνδας, καὶ τὰ λεγόμενα βότα, ξβ'
καὶ τὰ καλούμενα βρουμάλια, καὶ τὴν ἐν τῇ πρώτῃ τοῦ μαρτίου μηνὸς ἡμέρᾳ ἐπιτελουμένην πανήγυριν, καθάπαξ ἐκ τῆς τῶν πιστῶν πολιτείας περιαιρεθῆναι βουλόμεθα· ἀλλὰ μὴν καὶ τὰς τῶν γυναίων δημοσίας ὀρχήσεις ὡς ἀσέμνους, καὶ πολλὴν λύμην καὶ βλάβην ἐμποιεῖν δυναμένας· ἔτι μὴν καὶ τὰς ὀνόματι τῶν παρ' ἕλλησι ψευδῶς ὀνομασθέντων θεῶν ἢ ἐξ ἀνδρῶν ἢ γυναικῶν γινομένας ὀρχήσεις καὶ τελετὰς κατά τι ἔθος παλαιὸν καὶ ἀλλότριον τοῦ τῶν χριστιανῶν βίου, ἀποπεμπόμεθα· ὁρίζοντες μηδένα γυναικείαν στολὴν ἐνδιδύσκεσθαι, ἢ γυναῖκα τὴν ἀνδράσιν ἁρμόδιον· ἀλλὰ μήτε προσωπεῖα κωμικὰ ἢ σατυρικὰ ἢ τραγικὰ ὑποδύεσθαι· μήτε τὸ τοῦ βδελυκτοῦ Διονύσου ὄνομα τὴν σταφυλὴν ἐκθλίβοντας ἐν ταῖς ληνοῖς ἐπιβοᾶν· μηδὲ οἶνον ἐν τοῖς πίθοις ἐκχέοντας, γέλωτα ἐπικινεῖν, ἀγνοίας τρόπῳ ἢ ματαιότητος τὰ τῆς δαιμονιώδης πλάνης ἐνεργοῦντας· τοὺς οὖν ἀπὸ τοῦ νῦν τί τῶν προειρημένων ἐπιτελεῖν ἐπιχειροῦντας, ἐν γνώσει τούτων καθιζαμένους, τούτους εἰ μὲν κληρικοὶ εἶεν, καθαιρεῖσθαι προστάσσομεν· εἰ δὲ λαϊκοί, ἀφορίζεσθαι.

Τὰς ἐν ταῖς νεομηνίαις ὑπό τινων πρὸ τῶν οἰκείων ἐργα- ξε'
στηρίων καὶ οἴκων ἀναπτομένας πυρκαϊὰς etc. ut p. 443.

οα' Τοὺς διδασκομένους τοὺς πολιτικοὺς νόμους, μὴ δεῖν τῆς ἑλληνικοῖς ἔθεσι κεχρῆσθαι, μήτε μὴν ἐπὶ θεάτρων ἀνάγεσθαι, ἢ τὰς λεγομένας κυλίστρας ἐπιτελεῖν, ἢ παρὰ τὴν χρῆσιν σολὰς ἑαυτοῖς περιτιθέναι, μήτε καθ' ὃν καιρὸν τῶν μαθημάτων ἐνάρχονται, ἢ πρὸς τὸ τέλος αὐτῶν καταντῶσιν, ἢ καθόλου φάναι διὰ μέσου τῆς τοιαύτης παιδεύσεως· εἰ δέ τις ἀπὸ τοῦ νῦν τοῦτο πρᾶξαι τολμήσοι, ἀφοριζέσθω.

ιϛ' Οἱ τὸν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐνδυσάμενοι, τὴν ἐν σαρκὶ αὐτοῦ πολιτείαν μιμεῖσθαι καθωμολόγησαν· τοὺς οὖν τὰς ἐν τῇ κεφαλῇ τρίχας πρὸς λύμην τῶν ὁρώντων ἐν ἐπινοίαις ἐμπλοκῆς εὐθετίζοντας καὶ διασκευάζοντας, καὶ δίλεαρ προσιθέντας ἐντεῦθεν ταῖς ἀστηρίκτοις ψυχαῖς, ἐπιτιμίῳ προσφόρῳ πατρικῶς θεραπεύομεν, παιδαγωγοῦντες αὐτοὺς, καὶ σωφρόνως βιοῦν ἐκδιδάσκοντες, πρὸς τὸ ἀφέντας τὴν ἐκ τῆς ὕλης ἀπάτην καὶ ματαιότητα, πρὸς τὴν ἀνώλεθρον καὶ μακαρίαν ζωὴν, τὸν νοῦν μετάγειν δυνηκῶς, καὶ ἐν φόβῳ ἁγνὴν ἔχειν ἀναστροφὴν, καὶ θεῷ πλησιάζειν κατὰ ἐφικτὸν, διὰ τῆς ἐν βίῳ καθάρσεως· καὶ τὸν ἔνδον ἢ τὸν ἔξω ἄνθρωπον μᾶλλον κοσμεῖν ἀρεταῖς, καὶ χρηστοῖς καὶ ἀμώμοις τοῖς ἤθεσιν· ὥστε μηδὲν λείψανον φέρειν ἐν ἑαυτοῖς τῆς τοῦ ἐναντίου σκαιότητος· εἰ δέ τις παρὰ τὸν παρόντα κανόνα διαγίνοιτο, ἀφοριζέσθω.

ε' Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, καὶ πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, ἡ σοφία διακελεύεται· ῥᾳδίως γὰρ τὰ ἑαυτῶν ἐπὶ τὴν ψυχὴν, αἱ τοῦ σώματος αἰσθήσεις εἰσκρίνουσι· τὰς οὖν τὴν ὅρασιν καταγοητευούσας γραφὰς, εἴτε ἐν πίναξιν εἴτε ἄλλως πῶς ἀνατεθειμένας, καὶ τὸν νοῦν διαφθειρούσας, καὶ κινούσας πρὸς τὰ τῶν αἰσχρῶν ἡδονῶν ὑπεκκαύματα, σὺ δαμῶς ἀπὸ τοῦ νῦν ἐν οἱῳδήποτε τόπῳ προσ-

τάσσομεν ἐγχαράττεσθαι· εἰ δέ τις τοῦτο πράσσειν ἐπιχειρήσοι, ἀφοριζέσθω.

Πῶς τὰ θεώρια τελοῦνται, καὶ πῶς γίνεται ἡ δαπάνη αὐτῶν, καὶ ὅτι δύναται ὁ ἄρχων τὰ θεωρικὰ πρὸς καιρὸν ἀφορίζειν εἰς ἀνανέωσιν τειχῶν, εἴρηται βιβλ. ιά τοῦ κώδ. τίτ. μά μβ' μδ' μς'· ὁ δὲ μέ τίτ. ἀναιρεῖ τὴν θέαν τῶν μονάχων.

ΚΕΦ. ΚΓ.

Περὶ κληπτῶν καὶ τυμβωρύχων καὶ λῃστῶν.

Βασιλείου κανὼν ξά ξς'.

Ὁ κλέψας εἰ μὲν ἀφ' ἑαυτοῦ μεταμεληθεὶς κατηγορήσῃ ξά ἑαυτοῦ, ἐνιαυτὸν κωλυθήσεται μόνον τῆς κοινωνίας τῶν ἁγιασμάτων· εἰ δὲ ἐλεγχθείη, ἐν δυσὶν ἔτεσι· μερισθήσεται δὲ αὐτῷ ὁ χρόνος εἰς ὑπόπτωσιν καὶ σύστασιν· καὶ τότε ἀξιούσθω τῆς κοινωνίας.

Ὁ τυμβωρύχος, ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται, ἐν ξς δυσὶ προσκλαίων, ἐν τρισὶν ἀκροώμενος, ἐν τέσσαρσιν ὑποπίπτων, ἑνὶ δὲ συνεστὼς· καὶ τότε δεχθησόμενος.

Γρηγορίου Νύσσης κεφ. ς' ζ' η'.

Τὸ δὲ ἕτερον εἶδος τῆς εἰδωλολατρίας, οὕτω γὰρ ὀνο- ς μάζει τὴν πλεονεξίαν ὁ θεῖος ἀπόστολος, οὐκ οἶδα ὅπως ἀθεράπευτον ὑπὸ τῶν πατέρων ἡμῶν περιώφθη· καί τι γε δοκεῖ τὸ τοιοῦτον κακὸν, τῆς τριττῆς ἐν τῇ ψυχῇ καταστάσεως πάθος εἶναι· καὶ γὰρ ὁ λογισμὸς τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνων, ἐν τῇ ὕλῃ τὸ καλὸν εἶναι φαντάζεται, οὐ πρὸς ἄϋλον ἀναβλέπων κάλλος· καὶ ἡ ἐπιθυμία πρὸς τὰ κάτω ῥεῖ, τοῦ ἀληθοῦς ὀρεκτοῦ ἀποῤῥέουσα· καὶ ἡ φιλόνεικός τε καὶ θυμώδης διάθεσις πολλὰς ἐκ τῆς τοιαύτης ἁμαρτίας

τὰς ἀφορμὰς λαμβάνει· καὶ τὸ ὅλον εἰπεῖν συμφωνεῖ ἡ τοιαύτη νόσος τῷ ἀποστολικῷ τῆς πλεονεξίας ὄρῳ· ὁ γὰρ θεῖος ἀπόστολος οὐ μόνον αὐτὴν εἰδωλολατρίαν, ἀλλὰ καὶ ῥίζαν πάντων τῶν κακῶν ἀπεφήνατο· καὶ ὅμως τὸ τοιοῦτον εἶδος παρώφθη τῆς νόσου ἀνεπίσκεπτόν τε ἀτημέλητον· διὸ καὶ πλεονάζει κατὰ τὰς ἐκκλησίας τὸ τοιοῦτον ἀῤῥώστημα· καὶ οὐδεὶς τοὺς ἐπὶ τὸν κλῆρον ἀγομένους περιεργάζεται, μή πως τῷ τοιούτῳ εἴδει τῆς εἰδωλολατρίας κατεμιάνθησαν· ἀλλὰ περὶ μὲν τούτων διὰ τὸ παρεῖσθαι τοῖς πατράσιν ἡμῶν, ἀρκεῖν ἡγούμεθα τῷ θημοσίῳ τῆς διδασκαλίας λόγῳ, ὅπως ἂν οἷόν τε ᾖ, θεραπεύειν ὥσπερ τινα πάθη πληθωρικὰ τὰς πλεονεκτικὰς ἀῤῥωστίας, διὰ τοῦ λόγου καθαίροντος· μόνην δὲ τὴν κλοπὴν καὶ τυμβωρυχίαν καὶ τὴν ἱεροσυλίαν πάθη νομίζομεν, διὰ τὸ οὕτως ἐκ τῆς τῶν πατέρων ἀκολουθίας, τὴν παράδοσιν ἡμῖν περὶ τούτου γενέσθαι· καί τι γε παρὰ τῆς θείας γραφῆς, καὶ ὁ πλεονασμὸς καὶ ὁ τόκος, τῶν ἀπειρημένων ἐστὶ, καὶ τὸ ἐκ δυναστείας τινὸς τῇ ἰδίᾳ κτήσει προσαγαγεῖν τὰ ἀλλότρια, κἂν ἐν προσχήματι πραγματείας τὸ τοιοῦτον τύχῃ γινόμενον· ἐπειδὴ τοίνυν τὸ καθ' ἡμᾶς εἰς ἐξουσίαν κανόνων ἀξιόπιστον, τὴν ἐπὶ τῶν ὁμολογουμένως ἀπηγορευμένων κανονικὴν κρίσιν ἤδη τοῖς εἰρημένοις προσθήσομεν· διῄρηται ἡ κλοπὴ εἴς τε λῃστείαν καὶ εἰς τειχωρυχίαν· καὶ εἰς μὲν ἐπ' ἀμφοτέρων σποπὸς, ἡ τῶν ἀλλοτρίων ἀφαίρεσις· πολλὴ δὲ κατὰ τὴν γνώμην αὐτῶν ἡ πρὸς ἀλλήλους ἐστὶ διαφορά· ὁ μὲν γὰρ λῃστὴς, καὶ τὴν μιαιφονίαν εἰς συμμαχίαν τοῦ σπουδαζομένου παραλαμβάνει, πρὸς αὐτὸ τοῦτο παρασκευαζόμενος καὶ ὅπλοις καὶ πολυχειρίᾳ καὶ τοῖς ἐπικαίροις τῶν τόπων· ὥστε τὸν τοιοῦτον τῷ κρίματι τῶν ἀνθρωφόνων ὑπάγεσθαι, εἰ διὰ μεταμελείας ἑαυτὸν πρὸς τὴν

ἐκκλησίαν τοῦ Θεοῦ ἐπαναγάγοι· ὁ δὲ δι' ὑφαιρέσεως λανθανούσης σφετεριζόμενος τὸ ἀλλότριον, εἶτα δι' ἐξαγορεύσεως τὸ πλημμέλημα ἑαυτοῦ τῷ ἱερεῖ φανερώσας, τῇ περὶ τὸ ἐναντίον τοῦ πάθους σπουδῇ, θεραπεύσει τὴν ἀῤῥωστίαν, λέγω δὲ διὰ τοῦ τὰ προσόντα παρέχειν τοῖς πένησιν, ἵνα τῷ πρεσθαι ἃ ἔχει, φανερῶς γένηται καθαρεύων τῆς κατὰ πλεονεξίαν νόσου· εἰ δὲ καὶ μηδὲν ἔχοι, μόνον δὲ τὸ σῶμα ἔχοι, κελεύει ὁ ἀπόστολος διὰ τοῦ σωματικοῦ κόπου, τὸ τοιοῦτον ἐξιάσασθαι πάθος· ἔχει δὲ ἡ λέξις οὕτως· ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.

Ἡ δὲ τυμβωρυχία etc. ut p. 332. ζ

Ἡ δὲ ἱεροσυλία etc. ut p. 332. η

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ κζ κεφ. τοῦ θ' τίτ. τοῦ ϖαρόντος συντάγματος· περὶ δὲ λῃστῶν εἴρηται βιβλ. μή, τίτ. ιθ', διάτ. κή, ὅτι οἱ τὰς ἐφόδους ποιοῦντες διὰ τὸ προσδεῦσαι, ἐοίκασι τοῖς λῃσταῖς· καὶ ἐὰν τοῦτο μετὰ σιδήρου ποιῶσι, καὶ πολλάκις, καὶ ἐν ταῖς ὁδοῖς, εἰς κεφαλὴν κολάζονται· οἱ δὲ λοιποὶ ἐξορίζονται, ἢ δεπορτατευόνται· οἱ δὲ περιβόητοι φουρκίζονται ἢ θηριομαχοῦσιν ἐν οἷς ἐλήῤῥευσαν τόποις· παράδοξον δέ φησιν, ἡ β' διάτ. τοῦ ιή τίτ. τοῦ ζ βιβλ. τοῦ κώδ. ὅτι τοῖς οὖσι τῆς φαμιλίας τῶν λῃστῶν, καὶ ἐκ βασιλικῆς φιλοτιμίας ἢ αὐθεντίας τοῦ φίσκου γενομένοις δούλοις, ἀρνεῖται ἡ ἐλευθερία.

ΚΕΦ. ΚΔ.

Περὶ τοῦ μὴ βαλλίζειν ἢ ὀρχεῖσθαι ἐν γάμοις.

Συνόδου Λαοδικείας κανὼν νγ'.

Ὅτι οὐ δεῖ χριστιανοὺς εἰς γάμους ἀπερχομένους, βαλ- νγ'

λίζειν ἢ ὀρχεῖσθαι, ἀλλὰ σεμνῶς δειπνεῖν ἢ ἀριστᾶν, ὡς πρέπει χριστιανοῖς.

ΚΕΦ. ΚΕ.

Περὶ τοῦ μὴ συλλούεσθαι γυναιξὶν ἄνδρας.

Συνόδου Λαοδικείας κανὼν λ'.

λ' Ὅτι δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ ἀσκητὰς ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι etc. ut p. 312.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν οζ'.

οζ Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ ἀσκητὰς, ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι etc. ut p. 312.

Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ λα' κεφ. τοῦ θ' τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦ. Κς.

Περὶ τοῦ χλευάζοντος τοὺς ἀσθενεῖς.

Ἀποστόλων κανὼν νζ'.

νζ Εἴ τις κληρικὸς χωλὸν ἢ κωφὸν ἢ τυφλὸν ἢ τὰς βάσεις πεσληγμένον χλευάσει, ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκός. (ut p. 265.)

ΚΕΦ. ΚΖ.

Περὶ τοῦ μὴ εἰσιέναι γυναῖκας εἰς θυσιαστήριον, καὶ ὅτι μόνοις τοῖς ἱερατικοῖς ἔξεστι κοινωνεῖν ἐν τῷ θυσιαστηρίῳ.

Συνόδου Λαοδικείας κανὼν ιθ' μθ'.

ιθ' Περὶ τοῦ δεῖν ἰδίᾳ πρῶτον, μετὰ τὰς ὁμιλίας τῶν ἐπισκόπων etc. ut p. 128.

μθ' Ὅτι οὐ βεῖ γυναῖκας ἐν τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξϑ'.

Μὴ ἐξέστω τινὶ τῶν ἁπάντων ἐν λαϊκοῖς τελοῦντι, ἔνδον ξϑ'
ἱεροῦ εἰσιέναι ϑυσιαστηρίου etc. ut p. 140.

ΚΕΦ. ΚΗ.

Περὶ τοῦ μὴ ποιεῖν ἀπὸ συμβολῆς συμπόσια.

Συνοδου Λαοδικείας κανὼν νέ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς, ἐκ συμβολῆς συμ- νέ'
πόσια ἐπιτελεῖν, ἀλλ' οὐδὲ λαϊκούς. (ut p. 226.)

ΚΕΦ. ΚΘ.

Περὶ κυβευόντων ἢ μεθυσκομένων.

Ἀποστόλων κανὼν μγ'.

Ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης τὰ ὅμοια ποιῶν, ἢ μγ'
παυσάσθω, ἢ ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκός. (ut p. 295.)

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ν'.

Μηδένα τῶν ἁπάντων εἴτε λαϊκῶν εἴτε κληρικῶν κυβεύειν ν'
ἀπὸ τοῦ νῦν etc. ut p. 297.

